Профессоръ И. И. Соколовъ.

ΕΠΑΡΧΙΑΚΑ

ΕΚΚΛΗΣΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

СОБРАНІЕ ДОКУМЕНТОВЪ, ОТНОСЯЩИХСЯ КЪ ИСТОРІИ ЕПАРХІЙ КОНСТАНТИНОПОЛЬСКОЙ ЦЕРКВИ ОТЪ ВТОРОЙ ПОЛОВИНЫ XV ВѢКА ДО НАСТОЯЩАГО ВРЕМЕНИ.

ПЕТРОГРАДЪ.
Типографія В. Ѳ. Киршбаума (отдѣленіе), Новоисаакіевская, 20.
1915.

Библиотека ООН
L101
37

Предисловіе.

Въ составъ настоящаго собранія вошли *сто двадцать* документовъ, относящихся къ исторіи епархій Константинопольской церкви отъ второй половины XV вѣка до настоящаго времени. Это—патріаршіе и синодальные томы, сигилліи, посланія и грамоты объ учрежденіи новыхъ епархій, о возведеніи епископій и архіепископій въ достоинство митрополій, о соединеніи или раздѣленіи епархій, о возвышеніи митрополій въ оффиціальномъ синтагматіонѣ епархій, подчиненныхъ Вселенскому патріаршему престолу, объ увеличеніи или уменьшеніи состава епархій, о положеніи патріаршихъ экзархій, о пожалованіи митрополитамъ новыхъ титуловъ въ связи съ перемѣнами въ общемъ состояніи тѣхъ или иныхъ епархій, наконецъ, синтагматіоны и каталоги епархій, входившихъ въ предѣлы Константинопольской церкви. Самый ранній изъ опубликованныхъ въ собраніи документовъ относится приблизительно къ 1490 году, а самый поздній—къ марту 1913 года.

Историческіе матеріалы, вошедшіе въ составъ настоящаго изданія, извлечены нами изъ различныхъ рукописныхъ собраній. Большая ихъ часть, именно сто два документа, заимствована изъ Патріаршаго архива въ Константинополѣ, тринадцать документовъ списаны изъ кодексовъ Патріаршей библіотеки въ Іерусалимѣ, три документа получены изъ Патріаршаго архива въ Дамаскѣ, одинъ документъ изданъ по рукописи монастыря св. Георгія Перистереота въ Понтѣ и одинъ документъ опубликованъ на основаніи рукописей монастырей Богородицы Сумела и св. Іоанна Предтечи Вазелона въ Понтѣ и Синодальной библіотеки въ Москвѣ. Нѣкоторые изъ документовъ были

и раньше извѣстны по опубликованію преимущественно въ различныхъ греческихъ журналахъ, но мы признали необходимымъ включить ихъ въ наше собраніе какъ потому, что даемъ правильный ихъ текстъ, извлеченный изъ оффиціальныхъ рукописныхъ кодексовъ и свободный отъ нерѣдкихъ въ прежнихъ изданіяхъ уклоненій отъ оригинала, такъ и потому, что объединяемъ въ нашемъ изданіи болѣе или менѣе компактное собраніе матеріаловъ, связанныхъ общею идеею.

Всѣ документы, опубликованные въ настоящемъ изданіи, подвергнуты анализу и изложены въ печатающемся второмъ томѣ нашего историческаго изслѣдованія «Константинопольская церковь въ XIX вѣкѣ», въ составъ котораго все собраніе и войдетъ въ качествѣ приложенія. Въ виду же того, что настоящіе матеріалы имѣютъ и болѣе широкое научное значеніе и не ограничиваются въ своемъ разнообразномъ содержаніи спеціальнымъ историческимъ вопросомъ объ епархіяхъ въ Константинопольской церкви турецкаго періода, который именно и изслѣдуется во второмъ томѣ указаннаго нашего труда, мы признали цѣлесообразнымъ издать «Ἐπαρχιακὰ Ἐκκλησίας Κωνσταντινουπόλεως» и отдѣльно.

Текстъ документовъ опубликованъ въ настоящемъ собраніи съ буквальнымъ воспроизведеніемъ его оригинала, сохранившагося преимущественно въ оффиціальныхъ кодексахъ Великой Христовой церкви. Лишь въ немногихъ случаяхъ намъ предстояла необходимость сдѣлать его исправленія, которыя и помѣщены частью въ примѣчаніяхъ, частью въ «Διορθωτέα».

ΕΠΑΡΧΙΑΚΑ
ΕΚΚΛΗΣΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

I. 7130—1622, февраля 25, индикта V. Сигиллій патріарха Кирилла I Лукариса и священнаго синода о патріаршихъ экзархіяхъ Пиргія и Волисса на Хіосѣ.

Константинопольскій Патріаршій Архивъ, код. I, стр. 106—107.

† Κύριλλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Τοῦ νόμου, φησί, γενομένου ἐπὶ προστασίᾳ ἀληθεῖ καὶ ὑφεστῶτος, ἰδοὺ ὅτι ἡ πονηρία κατ' αὐτοῦ ἐπενοήθη· ἀλλ' ὅμως μέχρι τέλους ἡ μὲν ἀλήθεια καὶ τὸ δίκαιον, ὡς οὐσιώδη καὶ φύσει μόνιμα, αὖθις ἀναλάμπουσι καὶ διαμένουσι στερεά, ἡ δὲ κακία καὶ τὸ ψεῦδος τὰ ἐπισυμβαίνοντα, ὡς ἀνύπαρκτα, ἀκυροῦνται καὶ ἀφανίζονται· ὅτι καὶ μικρόν τι νέφος καλύπτειν οἶδε τὸν λαμπρότερον ἥλιον· ἀλλὰ τὸ μὲν νέφος ῥᾷστα σκεδάννυται, καὶ τὸ ἡλιακὸν φῶς φαιδρότερον ἀναλάμπει καὶ τὰ ἑαυτοῦ ποιεῖται ἀνεμποδίστως. Τοιοῦτόν τι συμβέβηκε κἀν τῇ παρούσῃ ὑποθέσει. Καὶ γὰρ τοῦ οἰκουμενικοῦ πατριάρχου Κωνσταντινουπόλεως πρὸ τῆς ἀπὸ τῶν λατίνων ἁλώσεως τῆς νήσου Χίου ἔχοντος αὐτὴν ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ καὶ κυβερνῶντος καὶ διοικοῦντος τὰ ἐκκλησιαστικὰ αὐτῆς διὰ δικαίου [1]) αὐτοῦ καὶ μετὰ τὴν ἅλωσιν αὐτῆς τὴν μὲν λοιπὴν πᾶσαν ἐπαρχίαν εἰς μητρόπολιν τιμήσαντος καὶ ἀρχιερέα ἐν αὐτῇ χειροτονήσαντος Γαβριὴλ τινα τὸν ἐπικεκλημένον Καλλικάντζαρον, τὰ δὲ δύο ἐν αὐτῇ χωρία τὸ Πυργίον καὶ τὴν Βολισσὸν χωρίσαντος ἀπὸ τῆς καθόλου ὁλομελείας τῆς νήσου ταύτης καὶ ἀποφηναμένου εἶναι ἐν τῇ πατριαρχικῇ περιωπῇ καὶ διοικήσει, καὶ δόντος αὐτὰ ἐξαρχικῶς ὡς πατριαρχικὰ σταυροπήγια πρός τινα ἱερέα τῶν ἐκεῖσε ὀνόματι Ἰωάννην Σέψην, καὶ μετὰ ἀποβίωσιν ἐκείνου τὰ παραπλήσια ποιησάντων καὶ τῶν καθεξῆς πατριαρχῶν καὶ δωρησάντων αὐτὰ πρὸς πρόσωπον κληρικὸν τῆς Μεγάλης Ἐκκλησίας, καὶ διαφυλαχθέντος τούτου καὶ διατηρηθέντος μέχρι τῆς ἀρχιερατείας τοῦ ἁγίου Ἱππολύτου Χίου καὶ τοῦ μετ' ἐκεῖνον κὺρ Μητροφάνους Λιβύστρου, ὁ μετ' αὐτοὺς χρηματίσας

[1]) Κ ῶ δ. δικαίῳ.

μητροπολίτης κὺρ Συμεὼν πᾶσι τρόποις καὶ μυριαις μηχαναῖς ἀπέσπασεν αὐτὰ ἀπὸ τῆς πατριαρχικῆς δεσποτείας καὶ προσεκόλλησεν ὁπωσδήποτε τῇ μητροπόλει αὐτοῦ ἀδίκως· ἥντινα πρωτοφανῆ ἀδικίαν καὶ περιφρόνησιν μὴ ἀνεχομένη ἡ μετριότης ἡμῶν, ὡς χρέος ἔχουσα ἀπαραίτητον ἐπανακαλεῖσθαι καὶ ζητεῖν τὰ δίκαια τῆς Ἐκκλησίας καὶ ἀποσπᾶν ἀπὸ τῶν ἀδίκως καὶ παραλόγως διακατεχόντων αὐτά, γράφει καὶ ἀποφαίνεται ἐν ἁγίῳ Πνεύματι γνώμῃ συνοδικῇ τῶν τε ἁγιωτάτων πατριαρχῶν, τοῦ Ἀντιοχείας κὺρ Κυρίλλου καὶ τοῦ Ἱεροσολύμων κὺρ Θεοφάνους, καὶ τῶν παρευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα μενόντων ἀκύρων καὶ ἀνισχύρων πάντων τῶν προγεγονότων πατριαρχικῶν γραμμάτων ἐπὶ τῇ ὑποθέσει ταύτῃ, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὧσι καὶ ὀνομάζωνται τὰ προρρηθέντα δύο χωρία ταῦτα ἐν τῇ νήσῳ Χίῳ, τὸ Πυργίον καὶ ἡ Βολισσός, πατριαρχικὰ σταυροπήγια, καὶ ὑπάρχωσιν ἐν τῇ ὑποταγῇ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ διοικῶνται καὶ κυβερνῶνται ὑπὸ τοῦ κατὰ καιροὺς οἰκουμενικοῦ πατριάρχου, ὀφειλόντων καὶ τῶν ἐν τοῖς δυσὶ χωρίοις αὐτοῖς εὑρισκομένων ἱερωμένων καὶ λαϊκῶν μνημονεύειν τοῦ πατριαρχικοῦ ὀνόματος καὶ παρέχειν τὰ ἐκκλησιαστικὰ αὐτῶν δικαιώματα, τὰ ἀπό τε κανονικῶν τῶν ἱερέων, συνοικεσίων, πανηγύρεων, ζητείας καὶ τῶν λοιπῶν τῷ τόπῳ συνήθων, πρὸς αὐτὸν ἢ πρὸς τὸν ἐπίτροπον καὶ ἔξαρχον αὐτοῦ, καὶ εἰ χρεία αὐτοῖς χειροτονίας γένηται, προσκαλεῖσθαι ὃν ἂν ἐθέλωσι τῶν ἀρχιερέων εἰς τὸ ἐκτελεῖν αὐτήν, μὴ τολμῶντος τοῦ τε νῦν μητροπολίτου Χίου κὺρ Ἰγνατίου καὶ τῶν καθεξῆς ἐναντιωθῆναι τῇ παρούσῃ ταύτῃ πατριαρχικῇ ἡμῶν καὶ συνοδικῇ ἀποφάσει, καὶ ἀποσπάσαι τὰ ἀνωτέρῳ δύο χωρία ἀπὸ τῆς πατριαρχικῆς διοικήσεως καὶ ἐξουσίας, καὶ εἰς τὴν ἰδίαν αὐτῶν δεσποτείαν ὑποτάξαι καθ' οἱονδήτινα τρόπον, ἢ ἀρχιερατικόν τι διαπράξασθαι ἐν αὐτῇ, ἢ ἀπὸ εἰσοδημάτων αὐτῶν σφετερίσασθαί τι πολὺ ἢ ὀλίγον, ὡς δῆθεν στηριζομένων καὶ δικαιολογουμένων ἐπὶ τοῖς προτέροις ἐκείνοις γράμμασιν, ἐν βάρει ἀργίας τῆς ἀρχιερωσύνης αὐτῶν καὶ παιδείας τῆς προσηκούσης. Καὶ γὰρ τὰ κακῶς πραχθέντα ἢ τυπωθέντα οὔτε νόμος, οὔτε χρόνος, οὔτε συνήθεια ἐπιβεβαιοῖ. Οὕτω ἀπεφηνάμεθα συνοδικῶς, δι' ὃ καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγγιλλιῶδες γράμμα.

Ἐν ἔτει ζρλ', μηνὶ φεβρουαρίῳ κε', ἰνδικτιῶνος ε'.

† Κύριλλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† Κύριλλος ἐλέῳ Θεοῦ πατριάρχης τῆς Θεουπόλεως Ἀντιοχείας.

† Θεοφάνης ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ.

Ὁ Καισαρείας Καππαδοκίας Γρηγόριος — Ὁ Ἡρακλείας Νεόφυτος — Ὁ Κυζίκου Παρθένιος — Ὁ Νικομηδείας Νεόφυτος — Ὁ Χαλκηδόνος Ἰωάσαφ — Ὁ Παλαιῶν Πατρῶν Θεοφάνης — Ὁ Ἀδριανουπόλεως Παρθένιος — Ὁ Ἀθηνῶν Θεοφάνης — Ὁ Θεσσαλονίκης Παΐσιος — Ὁ Ναυπάκτου καὶ Ἄρτης Γαβριὴλ — Ὁ Ἀγχιάλου Χριστοφόρος — Ὁ Προύσσης Ἰωάσαφ — Ὁ Λακεδαιμονίας Ἰωάσαφ — Ὁ Σηλυβρίας Λαυρέντιος — Ὁ Διδυμοτείχου Ἄνθιμος — Ὁ Ναυπλίου καὶ Ἄργους Θεοφάνης — Ὁ Μεσημβρίας Ἀκάκιος — Ὁ Προικοννήσου Κλήμης — Ὁ Μηδείας καὶ Σωζουπόλεως Θεοδόσιος — Ὁ Βάρνης Μελέτιος — Ὁ Τζιᾶς καὶ Θερμίων Νεκτάριος — Ὁ Λίνου Παρθένιος — Ὁ Μηθύμνης Κορνήλιος — Ὁ Χίου Ἰγνάτιος — Ὁ Ῥέων Δανιὴλ — Ὁ Ῥαιδεστοῦ Μελχισεδέκ — Ὁ πρώην Αἴνου Δανιὴλ — Ὁ Κερνίτζης Παρθένιος — Ὁ Ὠλένης Θεοφάνης — Ὁ Ἀγαθουπόλεως Μητροφάνης.

II. 7130—1622, мартъ, индикта V. Сигиллій патріарха Кирилла I Лукариса и священнаго синода о присоединеніи епископій Меѳоны и Сарсокороны къ митрополіи Древнихъ Патръ.

К П. А., I, 162—163.

† Κύριλλος κτλ.

Οὐδὲν οὕτως ἄρα εὔλογόν τε καὶ δίκαιον, ὡς τὸ ἀπονέμειν ἑκάστῳ τὰ ἑαυτοῦ καὶ τὰ παλαιγενῆ συνιστᾶν γράμματα, καὶ μάλιστα εἰ τύχωσι βασιλικὰ ἢ πατριαρχικά. Ἐπειδὴ τοίνυν ἀπὸ συνοδικοῦ γράμματος τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου Κων/πόλεως κυροῦ Νικολάου, τοῦ πρὸς τὸν εὐσεβέστατον βασιλέα κὺρ Ἀλέξιον τὸν Κομνηνόν, φαίνεται καὶ μαρτυρεῖται διαρρήδην ὡς διὰ τό ποτε μέγα θαῦμα, ὅπερ ἐγένετο διὰ τῆς χάριτος καὶ δυνάμεως τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀποστόλου Ἀνδρέου τοῦ Πρωτοκλήτου, ἐλυτρώθη ἐν μιᾷ ὥρᾳ καὶ μόνῃ ἡ περιφανὴς Πελοπόννησος ἀπὸ τῶν χειρῶν τῶν Ἀβάρων, τῶν ὑπὲρ τοὺς διακοσίους δεκαοκτὼ χρόνους ἀποτεμνάντων σὐτὴν τῆς Ῥωμαϊκῆς ἀρχῆς καὶ πρὸς ἰδίαν αὐτῶν δεσποτείαν κατεχόντων, ὁ τότε εὐσεβέστατος καὶ μακάριος βασιλεὺς κύριος Νικηφόρος ὁ ἀπὸ Γενικῶν, πρῶτον μὲν τὴν Παλαιῶν Πατρῶν ἐκκλησίαν, διὰ τὴν χάριν καὶ τιμὴν τοῦ γεγονότος ἐκείνου θαύματος, ἀπὸ ἀρχιεπισκοπῆς ὀνομασίας εἰς μητροπόλεως ἀξίαν προεβίβασε καὶ προετίμησεν, ἔπειτα δέ, πρὸς ταῖς λοιπαῖς δωρηθείσαις αὐτῇ ἐπισκοπαῖς, ἐδωρήσατο αὐτῇ καὶ ἑτέρας δύο ἐπισκοπάς, τὴν Μεθώνην δηλαδὴ καὶ τὴν Σαρσοκορώνην, καὶ οἱ μετὰ ταῦτα εὐλαβέστατοι βασιλεῖς Λέων καὶ Ἀλέξανδρος, Ῥωμανός τε, Χριστοφόρος καὶ Κωνσταντῖνος, Νικηφόρος ὁ τοῦ Φωκᾶ καὶ Νικηφόρος ὁ Βοτανειάτης [1]), καὶ οἱ ἐν ταῖς ἡμέραις τῶν βασιλέων αὐτῶν χρηματίσαντες ἁγιώτατοι πατριάρχαι ἑπομένως καὶ κατ' ἴχνος ἐβεβαίωσαν καὶ

[1]) Κῶδ. Βοτανιώτης.

ἐκύρωσαν, καὶ ἔμεινε τοῦτο τηρούμενον ἐπὶ πολύ, εἰ καὶ μετὰ ταῦτά τινες τῶν χρηματισάντων ἀρχιερεῖς Μονεμβασίας, στηριζόμενοι ἐπί τισι μεταγενεστέροις ὁπωσδήποτε γεγονόσι χρυσοβούλλοις, ἀπέσπασαν αὐτὰς τὰς δύο ἐπισκοπὰς ἀπὸ τῆς προειρημένης μητροπόλεως Παλαιῶν Πατρῶν καὶ προσεκόλλησαν τῇ ἐπαρχίᾳ αὐτῶν, ὅπερ πάντῃ ἀσύστατον καὶ ἀπρόσδεκτον· ἥντινα ἀτοπίαν καὶ διάστασιν καὶ προφανῆ ἀδικίαν μὴ φέρων, μηδὲ ἀνεχόμενος καὶ ὁ μακαρίτης πατριάρχης κὺρ Νεόφυτος σύνοδον ἀρχιερατικὴν συνεκρότησεν, ἀγωγὴν ποιήσαντος τοῦ ἐπὶ τῶν ἡμερῶν ἐκείνου μητροπολίτου Παλαιῶν Πατρῶν ὄντος κὺρ Τιμοθέου, καὶ ἀπόφασιν ἐποίησε γνώμῃ συνοδικῇ, καὶ ἤνωσε πάλιν τὰς προρρηθείσας δύο ἐπισκοπάς, ἤτοι τὴν Μεθώνην καὶ τὴν Σαρσοκορώνην τῇ ἁγιωτάτῃ μητροπόλει Παλαιῶν Πατρῶν, ἐπειδὴ νόμος ἐστὶ διαγορεύων οὕτωσὶ καὶ λέγων, [ὅτι] οὐ χρὴ τὸν βασιλέα καινὰς εὐεργεσίας εἰς βλάβην ἄλλων τοῖς αἰτουμένοις χαρίζεσθαι, καὶ ὅτι οὐκ ὀφείλουσιν εἶναι ἐπιζήμιοι αἱ ἐκείνων τιμαί, βεβαιωσάντων τὰ ὅμοια περὶ τούτου [1]) καὶ τῶν μετὰ τὸν κὺρ Νεόφυτον ἐκεῖνον χρηματισάντων πατριαρχῶν κὺρ Ῥαφαήλ, ὡς καὶ τοῦ Τιμοθέου. Τούτου χάριν καὶ ἡ μετριότης ἡμῶν τανῦν αἰτήσει τοῦ νῦν ἱερωτάτου μητροπολίτου Παλαιῶν Πατρῶν, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἀχαΐας κὺρ Θεοφάνους, τοῦ ἐν ἁγίῳ Πνεύματι ποθεινοτάτου αὐτῆς ἀδελφοῦ καὶ συλλειτουργοῦ, γράφει καὶ ἀποφαίνεται, γνώμῃ κοινῇ τῶν τε μακαριωτάτων καὶ ἁγιωτάτων πατριαρχῶν, τοῦ Ἀλεξανδρείας κὺρ Γερασίμου, τοῦ Ἀντιοχείας κὺρ Κυρίλλου καὶ τοῦ Ἱεροσολύμων κὺρ Θεοφάνους, καὶ τῆς παρευρεθείσης ὑπερτελοῦς ἱερᾶς τῶν ἀρχιερέων συνόδου, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ ἐν ἁγίῳ παρακελεύεται Πνεύματι, ἵνα καὶ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ἡ τῆς Μεθώνης ἐπισκοπὴ αὕτη καὶ τῆς Σαρσοκορώνης σὺν τοῖς ἐνοριακοῖς αὐτῶν χωρίοις ὧσιν ἡνωμέναι καὶ ὑποκείμεναι τῇ αὐτῇ ἁγιωτάτῃ Μητροπόλει Παλαιῶν Πατρῶν, καὶ ὁ ἤδη ἀρχιερατεύων ἐν αὐτῇ ἱερώτατος μητροπολίτης Παλαιῶν Πατρῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀχαΐας κὺρ Θεοφάνης, ὁ ἐν ἁγίῳ Πνεύματι ποθεινότατος ἡμῶν ἀδελφὸς καὶ συλλειτουργός, καὶ οἱ μετ' αὐτὸν ἀρχιερατεύσοντες ἔχωσιν αὐτὰς γνησίως καὶ ἐνοριακῶς, καὶ χειροτονῶσιν ἐν αὐταῖς ψήφῳ ἰδίᾳ ἀναντιρρήτως καὶ ἀδιαστάκτως, ὁ δὲ μητροπολίτης Μονεμβασίας καὶ οἱ μετ' αὐτὸν χρηματίσοντες, ἐὰν ὀψέποτε ἐναντιωθῶσι περὶ τούτου καὶ ἀγωγὴν ποιήσωσιν ἐπὶ τῷ ἀποσπάσαι καὶ ἀποξενῶσαι τὰς δύο ἐπισκοπὰς αὐτὰς ἀπὸ τῆς ἐξουσίας καὶ δεσποτείας τοῦ μητροπολίτου Παλαιῶν Πατρῶν, καὶ εἰς ἰδίαν ὑποταγὴν καταγαγεῖν, καὶ ἀνατρέψαι καὶ ἀθετῆσαι τὰς ἀποφάσεις τῶν παλαιῶν γραμμάτων καὶ τῆς ἤδη γεγονυίας διασκέψεως καὶ ἀποφάσεως, ὧσιν ἀργοὶ τῆς ἀρχιερωσύνης αὐτῶν καὶ ἀφωρισμένοι καὶ ἀσυγχώρητοι καὶ

[1]) Κ. τὰ ὅμοια τὰ περὶ τουτου.

μετὰ θάνατον ἄλυτοι καὶ τῇ τελείᾳ καθαιρέσει ὑπόδικοι, ὀφειλόντων καὶ τῶν κατὰ καιροὺς εὑρισκομένων ἐν αὐταῖς ἐπισκόπων πείθεσθαι καὶ ὑποτάσσεσθαι τῷ τε ἱερωτάτῳ μητροπολίτῃ Παλαιῶν Πατρῶν καὶ τοῖς διαδόχοις αὐτοῦ, καὶ μνημονεύειν τῶν ὀνομάτων αὐτῶν, ὡς κανονικόν τε καὶ δίκαιον, καὶ πᾶσαν τιμὴν καὶ εὐλάβειαν δεικνύειν, καὶ παρέχειν πρὸς αὐτοὺς τὰ ἐτήσια χαράτζια αὐτῶν, καὶ πᾶν ἄλλο σύνηθες δίκαιον εὐγνωμόνως καὶ εὐπειθῶς, καὶ κατ' οὐδένα τρόπον ἐναντιοῦσθαι ἢ ἀντιλέγειν αὐτοῖς, ἐν βάρει ἀργίας ἀσυγγνώστου τῆς ἀρχιερωσύνης αὐτῶν καὶ παιδείας τῆς προσηκούσης. Ὅστις δὲ ἀπὸ τοῦδε θελήσῃ καθ' οἱονδήτινα τρόπον ἀθετῆσαι καὶ τὴν παροῦσαν ἡμῶν συνοδικὴν διάγνωσιν καὶ ἀπόφασιν, καὶ ἀποξενῶσαι καὶ ἀποσπάσαι τὰς δύο ταύτας ἐπισκοπάς, τὴν Μεθώνην δηλαδὴ καὶ τὴν Σαρσοκορώνην, τῆς μητροπόλεως Παλαιῶν Πατρῶν, ὁ τοιοῦτος εἴτε ἀρχιερεύς ἐστιν, εἴτε ἱερεύς, εἴτε λαικός, κληρικὸς ἢ ἄρχων ἢ ἀρχόμενος, ἀνὴρ ἢ γυνή, μικρὸς ἢ μέγας, εἴη ἀφωρισμένος παρὰ τῆς ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος, καὶ παρὰ τῶν τιή θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν πασῶν ἁγίων συνόδων, καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ τυμπανιαῖος, καὶ εὕροι τὸν Θεὸν μαχόμενον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ κληρονομήσοι τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ Ἰσκαριώτου Ἰούδα, καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος εἴη. Ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν συνοδικὸν σιγγιλλιῶδες γράμμα καὶ ἐπεδόθη τῷ διαληφθέντι τούτῳ μητροπολίτῃ Παλαιῶν Πατρῶν, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Ἀχαΐας κὺρ Θεοφάνει, τῷ ἐν ἁγίῳ Πνεύματι ποθεινοτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, καὶ δι' αὐτοῦ τῇ ἁγιωτάτῃ ταύτῃ μητροπόλει Παλαιῶν Πατρῶν

Ἐν ἔτει ζρλ' ἐν μηνὶ μαρτίῳ, ἰνδικτιῶνος ε'.

Κύριλλος ἐλέῳ Θεοῦ κτλ.

Γεράσιμος ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας.

Κύριλλος ἐλέῳ Θεοῦ πατριάρχης τῆς Θεουπόλεως Ἀντιοχείας.

Θεοφάνης ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ.

Ὁ Καισαρείας Καππαδοκίας Γρηγόριος — Ὁ Ἡρακλείας Νεόφυτος — Ὁ Κυζίκου Παρθένιος — Ὁ Νικομηδείας Νεόφυτος — Ὁ Χαλκηδόνος Ἰωάσαφ — Ὁ Νικαίας Πορφύριος — Ὁ Ἀθηνῶν Θεοφάνης — Ὁ Θεσσαλονίκης Παΐσιος — Ὁ Προύσης Ἰωάσαφ — Ὁ Ἀδριανουπόλεως Παρθένιος — Ὁ Ναυπάκτου καὶ Ἄρτης Γαβριήλ — Ὁ Λαρίσσης Γρηγόριος — Ὁ Λακεδαιμονίας Ἰωάσαφ — Ὁ Διδυμο-

τείχου Ἄνθιμος — Ὁ Ἀγχιάλου Χριστοφόρος — Ὁ Μεσημβρίας Ἀκάκιος — Ὁ Σερρῶν Τιμόθεος — Ὁ Φιλίππων καὶ Δράμας Κλήμης — Ὁ Δρύστρας Μελέτιος — Ὁ Αἴνου Παρθένιος — Ὁ Γάνου καὶ Χώρας Ἰωαννίκιος — Ὁ Χίου Ἰγνάτιος — Ὁ Σμύρνης Ἰάκωβος — Ὁ Σηλυβρίας Λαυρέντιος — Ὁ Ναυπλίου καὶ Ἄργους Θεοφάνης — Ὁ Νέων Πατρῶν Ἄνθιμος — Ὁ Ἀμασείας Μελέτιος Ὁ Μηδείας καὶ Σωζουπόλεως Θεοδόσιος — Ὁ Μεθύμνης Κορνήλιος — Ὁ Βάρνης Παρθένιος — Ὁ Ῥαιδεστοῦ Μελχισεδέκ — Ὁ Προικοννήσου Κλήμης — Ὁ Κασσανδρείας Σισώης — Ὁ Θαυμακοῦ Ἰάκωβος — Ὁ Περιθεωρίου καὶ Ξάνθης Δωρόθεος — Ὁ Τζιᾶς καὶ Θερμίων Νεκτάριος — Ὁ Ῥέων Δανιήλ — Ὁ Ἀγαθουπόλεως Μητροφάνης.

III. 7130—1622, августъ, инд. V. Грамота патріарха Кирилла I Лукариса о пожалованіи патріаршихъ экзархій Пиргія и Волисса архонту Михаилу Кавaку.

К. П. А., I, 108—109.

Κύριλλος κτλ.

Ἡ καθ' ἡμᾶς αὕτη τοῦ Χριστοῦ Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία, μήτηρ πασῶν τῶν ἁπανταχοῦ Ἐκκλησιῶν οὖσα καὶ ὀνομαζομένη, οὐ μόνον ὡς τῶν ἁπάντων κατά τε τιμὴν καὶ ἀξίαν ὑπερέχουσα τῆς τοιαύτης ἐπικλήσεως καὶ ὀνομασίας τετύχηκεν, ἀλλὰ καὶ ὡς πάντα προνοουμένη καὶ τοὺς πάντας σχεδὸν τῷ οἰκείῳ νοητῷ καὶ αἰσθητῷ ἄρτῳ τρέφουσα, μήτηρ ἀληθῶς καὶ τροφὸς δικαίως ὠνόμασται. Καὶ γὰρ ἄνωθεν αὕτη οὐ μόνον τοὺς τροφίμους αὐτῆς καὶ ἐκδουλευτὰς ἐφάνη ἐπισκεπτομένη καὶ χορηγοῦσα αὐτοῖς τὰ πρὸς χρῆσιν αὐτῶν καὶ ζωάρκειαν, ἀλλὰ καὶ τοὺς ἐκ τῶν ἀρχοντικῶν προσώπων προσερχομένους οὐ διέλιπεν εὐεργετοῦσα τιμῆς καὶ ἀξίας χάριν, ὡς φαίνεται. Καὶ ἐπειδὴ πρὸς τοῖς λοιποῖς ἄλλοις ἀναγκαίοις φίλοις καὶ προθύμοις συνδρομηταῖς καὶ ὑπερμάχοις ἀόκνοις, εἷς ὑπάρχει καὶ ὁ χρησιμώτατος καὶ περιφανὴς ἄρχων κὺρ Μιχαὴλ Καβάκος, ὁ κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς τῆς ἡμῶν μετριότητος, καὶ κατὰ πάντα οἰκεῖος, ὅστις πολλάκις καὶ συνεχῶς συνδρομὰς καὶ βοηθείας ἡμῖν ἐνεδείξατο, καὶ μάλιστα ἐπὶ τοῖς προβᾶσιν ἡμῖν δεινοῖς καὶ στενοχωρίαις ἐδάνεισεν ἡμῖν ἄνευ τινὸς κέρδους, καὶ ὡς φαίνεται ἀεὶ βοηθεῖ καὶ συντρέχει λόγῳ καὶ ἔργῳ, καὶ ἔξεστι κατὰ δίκαιον τρόπον μὴ εἶναι καὶ αὐτὸν ἄμοιρον καὶ ἀμέτοχον ἐκκλησιαστικῆς τιμῆς καὶ ἀξίας, τούτου χάριν ἡ μετριότης ἡμῶν, ἐπεὶ εὗρε τὰ ἐν τῇ νήσῳ Χίῳ δύο πατριαρχικὰ καὶ σταυροπηγιακὰ χωρία, τὸ Πυργίον καὶ τὴν Βολισσόν, μὴ ὄντα δεδομένα πρὸς ἕτερον πρόσωπον, εὐεργετεῖ καὶ δωρεῖται αὐτῷ ταῦτα, καὶ γράφουσα ἀποφαί-

νεται ἐν ἁγίῳ Πνεύματι συνοδικῶς, ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς το ἑξῆς ὁ αὐτὸς χρησιμώτατος ἄρχων κὺρ Μιχαὴλ Καβάκος, ἔχων τὰ δύο χωρία ταῦτα ἐξαρχικῶς, τὸ Πυργίον δηλαδὴ καὶ τὴν Βολισσόν, νέμηται καὶ καρπῶται δι' ἐπιτρόπου αὐτοῦ τὰ ἐξ αὐτῶν εἰσοδήματα καὶ δικαιώματα, ἀπό τε κανονικῶν τῶν ἱερέων, συνοικεσίων, πανηγύρεων, ζητείας καὶ τῶν λοιπῶν τῷ τόπῳ συνήθων· καὶ ὁ κατὰ καιροὺς ἐπίτροπος αὐτοῦ ἔχῃ ἐπ' ἀδείας κρίνειν καὶ θεωρεῖν πᾶσαν ἐμπίπτουσαν ἐν αὐτοῖς ἐκκλησιαστικὴν κρίσιν καὶ ὑπόθεσιν νομίμως καὶ κανονικῶς· καὶ ὅτε χρεία χειροτονίας ἢ ἄλλης τινὸς ἀκολουθίας ἐκκλησιαστικῆς γένηται, δεομένης ἀρχιερατικῆς ἐπισκέψεως, προσκαλεῖσθαι ὃν ἂν ἐθέλῃ τῶν ἀρχιερέων εἰς τὴν τούτων ἐκπλήρωσιν, μὴ τολμῶντος τοῦ τε νῦν μητροπολίτου Χίου κὺρ Ἰγνατίου καὶ τῶν καθεξῆς ἐναντιωθῆναι περὶ τούτου ἢ κατεπεμβῆναι τῶν δύο αὐτῶν πατριαρχικῶν χωρίων καὶ ἀρχιερατικόν τι διαπράξασθαι ἐν αὐτοῖς, ἢ νοσφισθῆναί τι τῶν εἰσοδημάτων αὐτῶν, ἢ ὅλως κατεξουσιάζειν αὐτῶν, ἐν βάρει ἀργίας ἀσυγγνώστου τῆς ἀρχιερωσύνης αὐτῶν καὶ ἀφορισμοῦ ἀλύτου τοῦ ἀπὸ Θεοῦ Παντοκράτορος, καὶ παιδείας τῆς προσηκούσης, ὀφειλόντων καὶ τῶν ἐν τοῖς πατριαρχικοῖς αὐτοῖς χωρίοις τοῦ Πυργίου καὶ τῆς Βολισσοῦ εὑρισκομένων εὐλαβεστάτων ἱερέων, χρησιμωτάτων γερόντων καὶ τῶν λοιπῶν πάντων χριστιανῶν τοῦτον τὸν χρησιμώτατον ἐν ἄρχουσι κὺρ Μιχαὴλ τὸν Καβάκον γινώσκειν γνήσιον καὶ καθολικὸν αὐτῶν ἔξαρχον, καὶ πρὸς τὸν ἐπίτροπον αὐτοῦ παρέχειν εὐγνωμόνως καὶ εὐπειθῶς πάντα τὰ ἐκκλησιαστικά, ὡς δεδήλωται, εἰσοδήματα καὶ δικαιώματα, καὶ τιμᾶν καὶ ἀγαπᾶν αὐτὸν καὶ πείθεσθαι καὶ μὴ ἐναντιοῦσθαι αὐτῷ ἢ ἀντιλέγειν ἐν ἀργίᾳ ἀσυγγνώστῳ καὶ ἀφορισμῷ τῷ ἀπὸ Θεοῦ Παντοκράτορος. Οὕτως ἀπεφηνάμεθα συνοδικῶς· ἐπὶ γὰρ τούτῳ ἐγεγόνει καὶ τὸ παρὸν ἡμῶν πατριαρχικὸν συνοδικὸν εὐεργετικὸν γράμμα καὶ ἐπεδόθη τῷ διαληφθέντι χρησιμωτάτῳ ἄρχοντι κὺρ Μιχαὴλ Καβάκῳ καὶ ἐξάρχῳ τοῦ Πυργίου καὶ τῆς Βολισσοῦ καθολικῷ εἰς ἀσφάλειαν.

Ἐν ἔτει ,ζρλ', μηνὶ αὐγούστῳ, ἰνδικτιῶνος ε'.

Κύριλλος κτλ.

Ὁ Καισαρείας Καππαδοκίας Γρηγόριος — Ὁ Ἡρακλείας Νεόφυτος — Ὁ Κυζίκου Παρθένιος — Ὁ Νικομηδείας Νεόφυτος — Ὁ Χαλκηδόνος Ἰωάσαφ — Ὁ Ἀθηνῶν Θεοφάνης — Ὁ Προύσης Ἰωάσαφ — Ὁ Παλαιῶν Πατρῶν Θεοφάνης — Ὁ Ἀδριανουπόλεως Παρθένιος — Ὁ Φιλιππουπόλεως Ἰωάσαφ — Ὁ Σοφίας Τιμόθεος — Ὁ Θεσσαλονίκης Παΐσιος — Ὁ Φιλίππων καὶ Δράμας Κλήμης — Ὁ Ναυπάκτου καὶ Ἄρτης Γαβριήλ — Ὁ Ναυπλίου καὶ Ἄργους Θεοφάνης — Ὁ Μελενίκου Γαλακτίων — Ὁ Γάνου καὶ Χώρας Ἰωαννί-

κιος — Ὁ Ἀγχιάλου Χριστοφόρος — Ὁ Χίου Ἰγνάτιος — Ὁ Διδυμοτείχου Ἄνθιμος — Ὁ Λακεδαιμονίας Ἰωάσαφ — Ὁ Αἴνου Παρθένιος — Ὁ Σηλυβρίας Λαυρέντιος — Ὁ Μηδείας καὶ Σωζουπόλεως Θεοδόσιος — Ὁ Μεσημβρίας Ἀκάκιος — Ὁ πρώην Αἴνου Δανιήλ — Ὁ Προικοννήσου Κλήμης — Ὁ Βάρνης Παρθένιος — Ὁ Τζιᾶς καὶ Θερμίων Νεκτάριος — Ὁ Ὠλένης Θεοφάνης — Ὁ Ἀγαθουπόλεως Μητροφάνης — Ὁ Κερνίτζης Παρθένιος — Ὁ Ῥαιδεστοῦ Μελχισεδέκ — Ὁ Μεθύμνης Κορνήλιος — Ὁ Ῥέων Δανιήλ.

IV. 7132—1624, іюля 17, индикта VII. Грамота патріарха Кирилла I Лукариса и священнаго синода о присоединеніи епископіи Кассандріи къ Θессалоникской митрополіи.

Κ. Π. Δ., I, 155.

Κύριλλος κτλ.

Τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῆς ὑπερτελεστάτης ἱερᾶς τῶν ἀρχιερέων συνόδου, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, παραστὰς ὁ ἱερώτατος μητροπολίτης Θεσσαλονίκης, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν κὺρ Παΐσιος προέτεινεν εἰς μέσον τά τε ἡμέτερα συνοδικὰ γράμματα καὶ τὰ τοῦ κὺρ Τιμοθέου, τὰ ἀποφαινόμενα μὴ εἶναι, μηδὲ ὀνομάζεσθαι ὅλως ἀρχιεπισκοπὴν τὴν ἐπαρχίαν Κασσανδρείας, ἀλλ' ἐπισκοπὴν αὐτοῦ, καὶ τὸν νόμιμον ἀρχιερέα κὺρ Σισώην ἐπίσκοπον καὶ οὐκ ἀρχιεπίσκοπον, καὶ ἐδεήθη ἐπιμόνως ἐπικυρωθῆναι αὐτὰ καὶ αὖθις. Τούτου χάριν γνώμῃ κοινῇ συνοδικῇ γράφοντες ἀποφαινόμεθα ἐν ἁγίῳ Πνεύματι, ἵνα τῶν παρ' αὐτῷ πάντων πατριαρχικῶν καὶ συνοδικων γραμμάτων κεκυρωμένων μενόντων, βεβαίων τε καὶ ἀπαρεγχειρήτων εἰς τοὐπιόν, εἴη καὶ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἡ αὐτὴ ἐπαρχία Κασσανδρείας ἡνωμένη καὶ ὑποκειμένη τῇ ἁγιωτάτῃ μητροπόλει Θεσσαλονίκης, ὡς ἐπισκοπὴ γνησία αὐτῆς οὖσα καὶ ἐνοριακὴ ἀνέκαθεν, καὶ ὁ ἐν αὐτῇ ἀρχιερατεύων κὺρ Σισώης καλῆται ἐπίσκοπος καὶ πείθηται καὶ ὑποτάσσηται αὐτῷ, ὡς γέροντι καὶ μητροπολίτῃ αὐτοῦ, καὶ μνημονεύῃ τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος, καὶ πληροῖ πρὸς αὐτὸν τὸ ἐτήσιον χαράτζιον καὶ πᾶν ἄλλο σύνηθες δικαίωμα ἀναντιρρήτως καὶ ἀπροφασίστως, κατ' οὐδὲν ἐναντιούμενος αὐτῷ ἢ ἀντιλέγων καὶ ἀπείθειαν δεικνύων ἢ ἀποσκιρτῶν αὐτοῦ, ἐν βάρει ἀργίας ἀρχιερωσύνης αὐτοῦ καὶ παιδείας τῆς προσηκούσης καὶ ἀφορισμοῦ ἀλύτου τοῦ ἀπὸ Θεοῦ. Ὅσοι δ' ἂν εἰς τὸ μετέπειτα θελήσωσι καθ' οἱονδήτινα τρόπον ἀποξενῶσαι τὴν ἐπισκοπὴν ταύτην Κασσανδρείας τῆς ἐξουσίας καὶ ὑποταγῆς τῆς μητροπόλεως Θεσσαλονίκης καὶ πάλιν εἰς ἀρχιεπισκοπὴν δῆθεν

προβιβάσαι, παραβλέποντες καὶ ἀθετοῦντες τὰς προγεγονυίας περὶ τούτου πατριαρχικὰς καὶ συνοδικὰς ἀποφάσεις, ἐπὶ ἐκπληρώσει μὲν τῶν ἰδίων αὐτῶν θελημάτων, καταφρονήσει δὲ καὶ ἐλαττώσει τῆς μητροπόλεως Θεσσαλονίκης, τῆς τὰ δευτερεῖα ταύτης τῆς Κων/πόλεως ἐχούσης καὶ βριθούσης ἀξίων προσώπων κληρικῶν καὶ ἀρχόντων, οἱ τοιοῦτοι ὁποίου ἂν ὦσι καταλόγου ἀφωρισμένοι εἴησαν ἀπὸ τῆς ἁγίας ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου καὶ ἀσυγχύτου Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ μετὰ θάνατον ἄλυτοι αἰωνίως καὶ τυμπανιαῖοι, καὶ ἔχοιεν καὶ τὰς ἀρὰς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν ἁγίων συνόδων, καὶ κληρονομήσαιεν καὶ τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ Ἰούδα. Οὕτως ἀπεφηνάμεθα ἐν ἁγίῳ Πνεύματι συνοδικῶς. Ἐπὶ γὰρ τούτῳ ἐγένετο καὶ τὸ παρὸν συνοδικὸν ἐπικυρωτικὸν βεβαιωτήριον γράμμα καὶ ἐπεδόθη τῇ ἁγιωτάτῃ μητροπόλει Θεσσαλονίκης καὶ δι' αὐτῆς τῷ ἱερωτάτῳ μητροπολίτῃ Θεσσαλονίκης κὺρ Παισίῳ, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Θετταλίας, τῷ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ, εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἔχοντι καὶ ἄδειαν μετὰ θάνατον τοῦ ἐπισκόπου Σισώη χειροτονῆσαι ἕτερον ἀντὶ αὐτοῦ, ὃν ἂν ἐκλέξηται τῇ ἰδίᾳ ψήφῳ, νομίμως τε καὶ κανονικῶς.

.Ἐν ἔτει τῷ ἀπὸ τῆς τοῦ παντὸς οὐσιώσεως ,ζρλβ', μηνὶ ἰουλίῳ ιζ'. ἰνδικτιῶνος ζ'.

Κύριλλος κτλ.

Ὁ Ἡρακλείας Νεόφυτος — Ὁ Κυζίκου Παρθένιος — Ὁ Νικομηδείας Νεόφυτος — Ὁ Ἀδριανουπόλεως Παρθένιος — Ὁ Παλαιῶν Πατρῶν Θεοφάνης — Ὁ Ναυπάκτου καὶ Ἄρτης Γαβριήλ — Ὁ Ἀθηνῶν Θεοφάνης — Ὁ Δακεδαιμονίας Ἰωάσαφ — Ὁ Ἀγχιάλου Χριστοφόρος — Ὁ Μηδείας καὶ Σωζουπόλεως Θεοδόσιος — Ὁ πρώην Παροναξίας Ἰωσήφ — Ὁ Βάρνης Παρθένιος — Ὁ πρώην Αἴνου Δανιήλ — Ὁ Προικοννήσου Κλήμης — Ὁ Φαναρίου Εὐθύμιος — Ὁ Τζιᾶς καὶ Θερμίων Νεκτάριος — Ὁ Ἄνδρου Γρηγόριος.

V. 1628, май, инд. XI. Сигиллій патріарха Кирилла I Лукариса о возведеніи епископіи Кефаллиніи и Закинѳа въ архіепископію.

К. П. А., I, 185.

Κύριλλος κτλ.

Ἡ τοῦ Χριστοῦ Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία, τῇ τούτου εὐδοκίᾳ καὶ χάριτι τὰς ὑφ' ἑαυτὴν διατελούσας Ἐκκλησίας πνευματικῶς καὶ θεοφιλῶς ἀεὶ ἐπισκεπτομένη καὶ περιθάλπουσα, οὐ μόνον τῶν δεόντων αὐταῖς οὐκ ἀποστερεῖσθαι βούλεται, ἀλλὰ καὶ

οἴκοθεν προνοεῖσθαι αὐτῶν ὀφείλει, καὶ τὰ ἐπωφελῆ καὶ ὅσα πρὸς σύστασιν ἀφορᾷ συντείνειν τε καὶ ἀποφαίνεσθαι, ἵνα μὴ στερούμεναι τῆς αὐταῖς ἀνηκούσης ἐπισκέψεώς τε καὶ εὐδοκίας εἰς ἀκαταστασίαν κατενεχθεῖεν καὶ ἀμηχανίαν. Ἐπειδὴ τοίνυν προνοούμενοι οἷα εἰκὸς καὶ τῆς ἐπισκοπῆς Κεφαλληνίας καὶ Ζακύνθου, ὡς χρέος ἔχοντες ἀπαραίτητον ἐπισκέπτεσθαι τὰς ἁπανταχοῦ Ἐκκλησίας, εἰς τὸ ἀποκτήσασθαι ἄξιον ποιμένα καὶ ἀγαθὸν προστάτην, μετὰ τὴν τοῦ νῦν προισταμένου αὐτῆς ἀποβίωσιν ἢ παραίτησιν, εὑρόντες δὲ ἄξιον καὶ ἁρμόδιον τῆς τοῦ θρόνου αὐτοῦ διαδοχῆς τὸν τιμιώτατον καὶ λογιώτατον καὶ εὐγενῆ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι κύριον Νικόδημον τὸν Μεταξᾶν. ἄνδρα τά τε ἄλλα ἔντιμον καὶ ἐναρέτου βίου καὶ καλῆς πολιτείας, καὶ παιδιόθεν τὸ ἀγγελικὸν σχῆμα ἐνδεδυμένον, καὶ τὰ θεῖα καλῶς μεμυημένον, καὶ λόγῳ καὶ ἔργῳ ὑπέρμαχον καὶ βοηθὸν ἀναφανέντα τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, τοῦτον ἐξελεξάμεθα ψήφῳ κανονικῇ κοινῇ ἀναδέξασθαι τὸν θρόνον τῆς ἐπισκοπῆς ταύτης, καὶ ἀρχιερατικῶς προεστάναι αὐτῆς, εἰ καὶ παρὰ τῶν κατὰ τόπον ἱερωμένων κληρωθείη καὶ ψηφισθείη, ὡς ἔθος, κατὰ τοὺς τῆς πολιτείας νόμους, καὶ λέγεσθαι καὶ καλεῖσθαι αὐτὸν οὐκ ἤδη ἐπίσκοπον, ἀλλ' ἀρχιεπίσκοπον· βουλόμεθα γὰρ αὐτὴν καὶ ἀποφαινόμεθα οὐκ ἐπισκοπήν, ἀλλ' ἀρχιεπισκοπὴν εἶναι τὴν Κεφαλληνίαν καὶ Ζάκυνθον, καὶ ἀρχιεπίσκοπον εἶναι τὸν ἐν αὐτῇ ἀρχιερατεύοντα, εἰ μόνον ἐπινεύσει. καὶ εὐδοκήσει εἰς τοῦτο καὶ ἡ χριστιανικωτάτη καὶ γαληνοτάτη μεγάλη ἀρχὴ τῶν Ἐνετῶν, ἧς τοῖς δικαιοτάτοις νόμοις ὀφείλει ὑπείκειν καὶ ὑποτάσσεσθαι κατὰ τὰ ἔξω, εἰς δὲ πνευματικὰ ὑποτάσσεσθαι ἔχει τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ, μηδενὸς περὶ τούτου ἐναντιωθησομένου αὐτῷ ἢ ἀντειπεῖν τολμήσοντος, ἐν ἀργίᾳ καὶ ἀφορισμῷ. Ἐπὶ γὰρ τούτῳ ἐγράφη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν γράμμα καὶ ἐπεδόθη τῷ διαληφθέντι τιμιωτάτῳ καὶ λογιωτάτῳ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς προστάταις κυρίῳ Νικοδήμῳ, ἐπικυροῦν τὴν ἐπ' αὐτῷ γενομένην κανονικὴν ψῆφον τῆς ἐπαρχίας Ζακύνθου καὶ Κεφαλληνίας εἰς ἔνδειξιν καὶ ἀσφάλειαν.

Ἐν ἔτει ,αχκη'

[Ἡ αὐτόγραφος σημείωσις τοῦ πατριάρχου Κυρίλλου·]

† Ἐν πᾶσι καὶ πρὸ πάντων τηρητέον τὸ ἔνταλμα καὶ πρόσταγμα τῆς χριστιανικωτάτης καὶ θεοφρουρήτου αὐθεντίας τοῦ γαληνοτάτου πρίγκηπος τῶν Ἐνετῶν, εἶτα χωρεῖν εἰς τὰ λοιπὰ κατ' ἐκεῖνο.

Ἐν μηνὶ μαΐῳ. ἰνδικτιῶνος ιά.

Ὁ Ἡρακλείας Νεόφυτος — Ὁ Κυζίκου Παρθένιος — Ὁ Νικο-

μηδείας Νεόφυτος — Ὁ Χαλκηδόνος Ἰσαάκ — Ὁ Φιλιππουπόλεως Χριστόφορος — Ὁ Μονεμβασίας Νεόφυτος — Ὁ Παλαιῶν Πατρῶν Θεοφάνης — Ὁ Ναυπάκτου καὶ Ἄρτης Γαβριὴλ — Ὁ Βερροίας Κύριλλος — Ὁ Χριστιανουπόλεως Μητροφάνης — Ὁ Παροναξίας Ἱερεμίας — Ὁ Γάνου καὶ Χώρας Ἰωαννίκιος — Ὁ Εὐρίπου Ἰωάσαφ — Ὁ Θηβῶν Μητροφάνης — Ὁ Μηδείας Θεοδόσιος — Ὁ Σηλυβρίας Λαυρέντιος — Ὁ Αἴνου Παρθένιος — Ὁ Ἀρχιεπίσκοπος Τζιᾶς καὶ Θερμίων Νεκτάριος — Ὁ Ῥαιδεστοῦ Μελχισεδέκ — Ὁ Μυριοφύτου Λαυρέντιος.

VI. 1661, январь, инд. XIV. Сигиллій патріарха Парѳенія IV и священнаго синода о ставропигіальномъ достоинствѣ села св. Стефана въ Дерконской митрополіи.

К. П. А., I, 431—432.

Παρθένιος κτλ.

Τὰ ἀνέκαθεν πατριαρχικὰ προνόμια δέον φυλάττεσθαι ἀπαρασάλευτα καὶ τηρεῖσθαι ἀπαρεγχείρητα, οὐ μὴν ἀλλὰ καὶ διὰ τῆς αὐτῶν ἐνεργείας πᾶσι κατάδηλα γινεσθαι· ἕκαστον γὰρ τῶν ὄντων, τῶν τε καθ' ἑαυτὰ ὑφεστώτων καὶ τῶν ἐν ἄλλοις τὸ εἶναι ἐχόντων, τῆς οἰκείας ἐνεργείας ἕνεκα πέφυκε· πᾶσα γὰρ ἕξις, ὡσαύτως τε καὶ ὑπόστασις, ἐνεργείας ἀμοιροῦσα, ὡς μὴ οὖσα λογίζεται· προνόμιον ἄρα καὶ τῶν προνομίων ἐξαίρετον τῶν πατριαρχικῶν τὸ ἐπ' ἀδείας ἔχειν τὸν τοῦ οἰκουμενικοῦ θρόνου προϊστάμενον σταυροπήγια ἐκτελεῖν, ναούς τε καὶ μονὰς καὶ χώρας πανελευθέρους ἀποκαθιστᾶν, καὶ δεικνύειν ἐμπράκτως τὸ τῆς πατριαρχικῆς αὐθεντίας ἀξίωμα. Τοίνυν καὶ κατὰ τὴν πλησιόχωρον ἡμῖν ταύτην μητρόπολιν Δέρκων καὶ Νεοχωρίου τὸ εὑρισκόμενον χωρίον Ἅγιος Στέφανος διὰ πολλὰς αἰτίας ὑποκεῖσθαι τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ καὶ ὑποτελὲς τῷ οἰκουμενικῷ θρόνῳ ἀποκατασταθῆναι δεῖν ἔγνωσται τῇ ἡμῶν μετριότητι, καὶ μάλιστα διὰ τὸ ἐνοχλεῖσθαι ἀδιαλείπτως ὑπὸ τῶν βασιλικῶν συδοσιῶν, χασιλίων καὶ ἄλλων ἀγγαρειῶν ἀλλεπαλλήλων, μὴ φθανόντων τῶν ἐν αὐτῷ χριστιανῶν ἀπολογεῖσθαι τὰ τοιαῦτα, δεηθέντων ἐπικουρίαν τινὰ καὶ βοήθειαν ἐσχηκέναι κἂν παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ γενέσθαι μετρία τις χάρις αὐτοῖς τῶν ἐκκλησιαστικῶν δικαιωμάτων, καί τινα μετρίαν ἀποκοπὴν δίδοσθαι τὸ κατ' ἔτος παρ' αὐτῶν εἰς τὸν οἰκουμενικὸν θρόνον, διά τε τὸ ἐμβατίκιον καὶ τὸ λεγόμενον κανονικόν, καὶ τοῦτο σημεῖον ὑποταγῆς εἰς τὴν Μεγάλην τοῦ Χριστοῦ Ἐκκλησίαν, κοιλὰ κριθῆς δέκα καὶ ἀχύρου καντάρια δέκα καὶ ἄλλο οὐδέν, πλὴν τῶν συνοικεσίων, διὰ τὸ γίνεσθαι τὴν ἔρευναν παρὰ τῆς Μεγάλης Ἐκκλησίας, τῶν γαμικῶν συναλλαγμάτων ἐπὶ τῷ μὴ συμβῆναί τινα ἀτοπίαν. Ὅθεν καὶ τῆς αἰτήσεως ταύτης

εὐλόγου καταφανείσης, δεῖ γὰρ τῶν ἀδικούντων βαστάζειν τὰ βάρη, ἀπεφηνάμεθα καὶ τὴν τοιαύτην ἀπόφασιν ἐπὶ τοῦ παρόντος σιγγιλλίου γράμματος ἐπιβεβαιούμενοι γράφομεν, εἰδήσει καὶ τῶν παρατυχόντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ κατὰ τὴν μητρόπολιν Δέρκων καὶ Νεοχωρίου κείμενον χωρίον Ἅγιος Στέφανος, διὰ τὰς αἰτίας ἃς εἴρηται τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ ὑπαχθὲν καὶ ὑποταχθέν, λέγοιτο ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς πατριαρχικὸν σταυροπήγιον, ἀκαταπάτητον, ἀκαταζήτητον καὶ ἀκαταδούλωτον παρὰ παντὸς προσώπου ἱερωμένου τε καὶ λαϊκοῦ, καὶ ἀπὸ τοῦ κατὰ καιροὺς μητροπολίτου Δέρκων καὶ Νεοχωρίου, παρέχον μόνον κατ' ἔτος πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν τὴν ῥηθεῖσαν ἀποκοπὴν τῶν δέκα κοιλῶν τῆς κριθῆς καὶ τὰ δέκα καντάρια τῶν ἀχύρων, καὶ ἄλλῳ μηδενὶ μηδέν, χάριν τοῦ ἐμβατικίου καὶ τοῦ κανονικοῦ, πλὴν τῶν συνοικεσίων, καὶ ψάλλειν ἐν αὐτῷ τῷ σταυροπηγιακῷ χωρίῳ, ὃν ἂν οἱ ἐγχώριοι γέροντες ἐθέλωσιν μετ' εἰδήσεως ἡμετέρας, παραπολαύοντι τῶν προνομίων τῶν πατριαρχικῶν σταυροπηγίων, διευθυνομένῳ τε καὶ διοικουμένῳ παρ' ἡμῶν τε καὶ τῶν κατὰ καιροὺς πατριαρχευόντων, μηδενὸς μηδεμίαν ἄδειαν ἔχοντος ἱερωμένου τε καὶ λαϊκοῦ, ἄρχοντος ἢ ἀρχομένου, κληρικοῦ τε ἢ ἰδιώτου, ἢ καὶ τοῦ ἤδη μητροπολίτου Δέρκων καὶ Νεοχωρίου καὶ τῶν μετ' ἐκεῖνον κατεπεμβαίνειν τοῦ σταυροπηγιακοῦ τούτου χωρίου καὶ ζητεῖν τι παρ' αὐτοῦ πολὺ ἢ ὀλίγον, ἢ ἀργεῖν τὸν ἐν αὐτῷ γέροντα ἱερέα, ἢ ἀφορίζειν τινὰ τῶν ἐγχωρίων, ὡς οὐδεμίαν μετοχὴν ἐν αὐτῷ κεκτημένου, ἐν βάρει ἀργίας ἀσυγχώστου καὶ ἀφορισμοῦ ἀλύτου καὶ αἰωνίου τοῦ ἀπὸ Θεοῦ Παντοκράτορος. Ὅθεν εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν γραφὲν τὸ παρὸν τῆς ἡμῶν μετριότητος σιγγιλλιῶδες ἐν μεμβράναις γράμμα ἐπεδόθη τῷ πατριαρχικῷ σταυροπηγιακῷ αὐτῷ χωρίῳ τοῦ ἁγίου Στεφάνου.

Ἐν ἔτει σωτηρίῳ ,αχξα'. Ἰανουαρίῳ, ἰνδικτιῶνος ιδ'.

Παρθένιος κτλ.

Παΐσιος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ.

Ὁ Ἡρακλείας Μεθόδιος—Ὁ Κυζίκου Μητροφάνης—Ὁ Νικομηδείας Τιμόθεος—Ὁ Ἀδριανουπόλεως Νεόφυτος—Ὁ Φιλιππουπόλεως Γαβριήλ—Ὁ Τορνόβου Γεράσιμος—Ὁ Ἀμασείας Γεράσιμος—Ὁ Θεσσαλονίκης Ἰωακείμ—Ὁ Λαρίσσης Διονύσιος—Ὁ Σερρῶν Κύριλλος—Ὁ Μονεμβασίας Σωφρόνιος—Ὁ Τραπεζοῦντος Φιλόθεος—Ὁ Διδυμοτείχου Ἰάκωβος—Ὁ Ἰωαννίνων Καλλίνικος—Ὁ Παροναξίας Μακάριος—Ὁ Δρύστρας [1]) Μακάριος—Ὁ Μαρωνείας Παγκράτιος—Ὁ Σοφίας Δανιήλ—Ὁ Λακεδαιμονίας Γαβριήλ—Ὁ

[1]) Κ. Δρύστας.

Εὐρίπου Λαυρέντιος—Ὁ Νέων Πατρῶν Ἀθανάσιος—Ὁ Λιτίτζης[1]) Θεοδόσιος — Ὁ Νευροκόπου Φιλόθεος — Ὁ Ἐλασσῶνος Γερμανός.

VII. Каталогъ митрополій Константинопольской церкви, имѣвшихъ подчиненныя епископіи (XVI в.).

Изъ Номоканона XVII в. въ библіотекѣ монастыря св. Георгія Перистереота въ Понтѣ, близъ Трапезунта.

[Περὶ τῶν μητροπολιτῶν τῶν ἐχόντων τὴν σήμερον ἐπισκοπάς].

Τοῦ Ἡρακλείας. Ὁ Ἡρακλείας[2]) τῆς Εὐρώπης [ἔχει] ταύτας· τοῦ Ῥαιδεστοῦ, τοῦ Πανίου, τοῦ Καλλιουπόλεως, τοῦ Περιστάσεως καὶ Μυριοφύτου, τοῦ Τυρολόης[3]), τοῦ Μετρῶν καὶ Ἀθύρων.

Τοῦ Νικομηδείας. Ὁ Νικομηδείας τῆς Βιθυνίας ἔχει μίαν[4]), ἡ ὁποία λέγεται Ἀπολλωνιάς[5]).

Τοῦ Θεσσαλονίκης. Ὁ Θεσσαλονίκης τῆς Θετταλίας ἔχει ταύτας· τοῦ Κίτρους, τοῦ Σερβίων, τοῦ Κασσανδρείας, τοῦ Καμπανίας[6]), τοῦ Πέτρας, τοῦ Ἀρδαμερίου[7]), τοῦ Ἱερισσοῦ καὶ τοῦ Ἁγίου Ὄρους, τοῦ Λιτῆς καὶ Ῥεντίνης, τοῦ Πλαταμῶνος καὶ Λυκοστομίου.

Τοῦ Τορνόβου. Ὁ Τορνόβου τῆς Βουλγαρίας ἔχει ταύτας· τοῦ Τζερβενοῦ...

Τοῦ Ἀδριανουπόλεως. Ὁ Ἀδριανουπόλεως Αἱμιμόντου ἔχει μίαν[8])· τοῦ Ἀγαθοπόλεως.

Τοῦ Κορίνθου. Ὁ Κορίνθου τῆς Πελοποννήσου ἔχει ταύτας· Τοῦ Δαμαλῶν καὶ Πεδιάδος, τοῦ[9]) Κεφαλωνίας, τοῦ[10]) Ζακύνθου, τοῦ Ζημαινᾶς[11]) καὶ Ταρσοῦ καὶ τοῦ Πολυφέγγους.

[Τοῦ Μονεμβασίας]. Ὁ Μονεμβασίας τῆς Πελοποννήσου [ἔχει ταύτας]· τοῦ Κυθηρίας, τοῦ Μεθώνης, τοῦ Κορώνης, τοῦ Ἔλους, τοῦ Μαΐνης, τοῦ Ἀνδρούσης, τοῦ Ζευγνῶν[12]) ἤτοι Καλαμάτας καὶ τοῦ Ῥέοντος.

Τοῦ Ἀθηνῶν. Ὁ Ἀθηνῶν τῆς Ἑλλάδος ἔχει ταύτας· τοῦ Διαυλείας, τοῦ Ταλαντίου, τοῦ Ἄνδρου, τοῦ Σκύρου, τοῦ Σόλωνος καὶ τοῦ Μεδινίτζης.

Τοῦ Παλαιῶν Πατρῶν. Ὁ Παλαιῶν Πατρῶν τῆς Πελοποννήσου ἔχει ταύτας· τοῦ[13]) Ὠλένης καὶ τοῦ Κερνίτζης[14]).

Τοῦ Τραπεζοῦντος. Ὁ Τραπεζοῦντος [τῆς] Λαζικῆς ἔχει ταύτας...[15]).

Τοῦ Λαρίσσης. Ὁ Λαρίσσης τῆς Ἑλλάδος ἔχει ταύτας· τοῦ Δημητριάδος, τοῦ Λιτζᾶ καὶ Ἀγράφων, τοῦ Φαναρίου, τοῦ Ζητουνίου, τοῦ Θαυμακοῦ, τοῦ Σταγῶν, τοῦ Λοιδορικίου, τοῦ Γαρδικίου, τοῦ Ῥαδοβιζίου καὶ τοῦ Σκιάθου.

---

[1]) Κ. Λήτιτζης. [2]) Τοῦ Ἡρακλείας τῆς Εὐρώπης. [3]) Τζερούλου. [4]) μία. [5]) Ἀπολλωνιάδα. [6]) Καμπανίου [7]) Ἀρδαμάρεως [8]) μία. [9]) τῆς. [10]) τῆς [11]) τῆς Ζημενᾶς. [12]) Ζεύνων. [13]) τὸν. [14]) Περνίτζης. [15]) Ср. ниже, стр. 213 [τοῦ Κάνιν καὶ τοῦ Ὄφεως].

Τοῦ Ναυπάκτου. Ὁ Ναυπάκτου Νικοπόλεως ἔχει ταύτας· τοῦ Βενδίτζης, τοῦ Ἀετοῦ, τοῦ Ἀχελῴου καὶ τοῦ Ῥηγῶν.

Τοῦ Ῥόδου. Ὁ Ῥόδου τῶν Κυκλάδων νήσων ἔχει μίαν [1])· τοῦ Λέρνης.

Τοῦ Φιλίππων. Ὁ Φιλίππων τῆς Μακεδονίας ἔχει μίαν [2])· τοῦ Ἐλευθερουπόλεως.

Τοῦ Μυτιλήνης. Ὁ Μυτιλήνης τῆς Λέσβου ἔχει μίαν [3])· τοῦ Ἐρισσοῦ [4]).

Τοῦ Ἰωαννίνων. Ὁ Ἰωαννίνων ἔχει ταύτας· τοῦ Βελλᾶς, τοῦ Βοθροντοῦ καὶ Γλυκέων [5]), τοῦ Δρυνουπόλεως [6]) καὶ τοῦ Χειμάρας.

Τοῦ Λακεδαιμονίας. Ὁ Λακεδαιμονίας [7]) τῆς Πελοποννήσου ἔχει ταύτας· τοῦ Ἀμυκλῶν, τοῦ Καρυουπόλεως [8]) καὶ τοῦ Βρεστένης [9]).

Τοῦ Εὐρίπου. Ὁ Εὐρίπου τῆς Εὐβοίας ἔχει ταύτας· τοῦ Ὡραιῶν, τοῦ Καρύστου [10]), τοῦ Πορθμοῦ, τοῦ Λιλῶνος καὶ τῶν Καναλίων.

VIII. 1699. Грамота патріарха Каллиника II и священнаго синода о присоединеніи села Св. Стефана и агіасмы Панагіи во Флоріи къ Дерконской митрополіи.

К. П. А., III, 33—34.

Καλλίνικος κτλ.

Τὰ παρὰ κανόνας καὶ νόμους ὁπωσδήπως φθάσαντα γενέσθαι κατὰ καιρούς, εἴτε ἀπὸ βίας καὶ ἀνάγκης τινός, εἴτε ἀπὸ ἄλλης περιστάσεως, πρὸς καιρὸν μὲν ἐπιπολάζειν δοκεῖ ἐν τοῖς οὖσι, θεμέλιον δὲ καὶ βάσιν μὴ κεκτημένα, ῥᾳδίως ἀναιρεῖται καὶ διαλύεται, τοῦ δικαίου καὶ τῆς ἀληθείας ἀνακυψάντων, καὶ τὸ ἀσύστατον ἐκείνων ἐλεγξάντων, καθάπερ τὸ νέφος διαλυόμενον οἴχεται ἀνατέλλοντος τοῦ ἡλίου, καὶ εἰς τὸ οὐδὲν ἀναχωρεῖ ὡς ἀβέβαιον, ὅπερ κατὰ πάντα καιρὸν οὐ διαλείπει συμβαίνειν· δι' ὃ καὶ οἱ θεῖοι νόμοι τὴν ἀνατροπὴν προτρεπόμενοι τοῦ τοιούτου, διακελεύουσι ῥητῶς· τὰ κακῶς κριθέντα καὶ τυπωθέντα οὔτε νόμος, οὔτε χρόνος, οὔτε συνήθεια βεβαιοῖ. Κατὰ τὸν αὐτὸν τοίνυν τρόπον ἐπὶ τῆς πατριαρχείας τοῦ ἀπὸ Προύσης κὺρ Παρθενίου, τὸ χωρίον Ἁγίου Στεφάνου, τὸ ἔξω κατὰ τὰ Παράπολα κείμενον, ὑπὸ τὴν μητρόπολιν Δέρκων καὶ Νεοχωρίου εὑρισκόμενον καὶ ὡς ἐνοριακὸν ἐκείνης ὑπάρχον, Χρυσόγονός τις ὀνόματι, αὐτόχθων διατελῶν ἐκείνου τοῦ χωρίου, στενοχωρήσας τὸν πατριάρχην, ὡς ἄνθρωπος θορυβοποιὸς καὶ ταραχώδης καὶ πρὸς τὸ κακοποιῆσαι τὸν τρόπον ἔχων δραστήριον, κατέπεισεν ἐκεῖνον ἀποσπάσαι τὸ εἰρημένον αὐτὸ χωρίον τῆς μητροπόλεως, καὶ ἀκουσίως φιλοτιμῆσαι πρὸς τὸν Χρυσόγονον αὐτὸν ὡς ἐξαρχίαν τῷ πατριαρχικῷ δῆθεν ὀνόματι. Ἔπειτα, μετὰ τὸν τοῦ Χρυσογόνου θάνα-

[1]) μία. [2]) μία. [3]) μία. [4]) Ἱερισσοῦ [5]) Γλυκαίων [6]) Δρινουπόλεως. [7]) Λακεδαιμωνίας. [8]) Καριουπόλεως. [9]) Βερεστίνης. [10]) Καρίστου.

τον, καὶ εἰς ἄλλα πρόσωπα κατὰ τὸν ὅμοιον τρόπον ὑπέπεσε τὸ χωρίον σὺν τῷ ἁγιάσματι τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκου εἰς τὰ Φλώρια, μεσιτείαις καὶ δυναστείαις καὶ παραβιάσμασιν, οὗ ἕνεκεν ὁ τότε μητροπολίτης Δέρκων καὶ Νεοχωρίου κὺρ Μακάριος, κινήσας ἀγωγὴν μεθύστερον ἐπὶ τῆς πατριαρχείας κὺρ Διονυσίου τοῦ νέου, ἐζήτησεν ἀποκατασταθῆναι τὸ χωρίον καὶ τὸ ἁγίασμα εἰς τὴν μητρόπολιν αὐτοῦ, ὡς ἐνοριακὰ αὐτῆς δίκαια, καὶ κοινῇ γνώμῃ ἁπαξαπάσης τῆς ἱερᾶς συνόδου, τὸ μὲν πατριαρχικὸν ὀνομάζεσθαι τὸ χωρίον τοῦ Ἁγίου Στεφάνου καὶ τὸ ἁγίασμα τῆς Παναγίας ἀνετράπη καὶ ἀνεσκευάσθη διόλου, ἀνεκλήθησαν δ' εὐλόγως καὶ δικαίως εἰς τὴν μητρόπολιν Δέρκων ὡς γνήσια αὐτῆς καὶ οἰκεῖα· καὶ αὖθις μετ' ὀλίγον ὁ διαληφθεὶς κὺρ Παρθένιος, ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου πάλιν ἐπανελθών, καὶ τὴν αὐτὴν ὑπόθεσιν ἀνακρίνας, καὶ ὡς καλῶς εἰδώς, ὅτι παρὰ γνώμην αὐτοῦ ἀπὸ βίας ἔφθασεν ἀποσπάσαι ταῦτα τῆς μητροπόλεως Δέρκων, καὶ κακῶς δοῦναι πρὸς τὸν καταδυναστεύσαντα αὐτὸν Χρυσόγονον, ὅλαις χερσὶ καὶ προθέσεσιν ἀνέτρεψε καὶ ἀνεσκεύασε τὴν κακῶς συντελεσθεῖσαν ἐκείνην δόσιν, καὶ διὰ συνοδικοῦ γράμματος, κατὰ τὸ μικρὸν ἔμπροσθεν γράμμα τοῦ κὺρ Διονυσίου, δέδωκε καὶ αὐτὸς ἐκεῖνος γράμμα πατριαρχικὸν συνοδικὸν ἀποφαινόμενον καὶ διαβεβαιούμενον, ὅπως τὸ χωρίον τοῦ Ἁγίου Στεφάνου σὺν τῷ ἁγιάσματι τῆς Παναγίας κατὰ τὰ Φλώρια μήτε ὑπάρχωσι, μήτε λέγωνται πατριαρχικὰ καὶ σταυροπηγιακά, ἀλλὰ γνήσια καὶ ἐνοριακὰ τῆς μητροπόλεως Δέρκων. Κἀντεῦθεν ἐπὶ τῆς πατριαρχείας τοῦ κὺρ Ἰακώβου ἐμφανισθεὶς ὁ τότε πρωτοβεστιάριος διατελῶν κὺρ Χουρμούζης, ἐκίνησεν ἀγωγὴν ἀντιποιούμενος τοῦ αὐτοῦ χωρίου καὶ τοῦ ἁγιάσματος, καὶ λέγων ὡς εἶχεν ἐκεῖνα ἐξαρχικῶς· ἀνθ' ὧν, θεραπείας τρόποις τισίν, ἀπεφάνθη τέως, τὸ μὲν χωρίον σὺν τῷ ἁγιάσματι εὑρίσκεσθαι ἀναφαίρετα τοῦ ἀρχιερέως καὶ ἔχειν αὐτὰ ἀναποσπάστως ὑπὸ τὴν διοίκησιν καὶ προστασίαν αὐτοῦ κατὰ πάντα, παρέχειν δὲ πρὸς τὸν διαληφθέντα κληρικὸν κατ' ἔτος ἀνὰ γρόσια εἴκοσι πέντε ἐφ' ὅρῳ μόνῳ τῆς ζωῆς αὐτοῦ· κἀπιτούτοις, μητροπολίτης χρηματίσας Δέρκων καὶ Νεοχωρίου ὁ νῦν κὺρ Νικόδημος, κατένευσε μὲν φυλάττειν τὸν αὐτὸν τρόπον μέχρι τινός, ποτὲ μὲν φιλονεικοῦντες ἀλλήλοις μετὰ τοῦ αὐτοῦ, δικαιοφύλακος ἤδη διατελοῦντος, κὺρ Χουρμούζῃ περὶ τῆς δόσεως τῶν εἰκοσιπέντε γροσίων, ποτέ, δ' εἰρηνεύοντες μέχρι τῆς δεῦρο· τανῦν δὲ συμβιβασθεὶς ὁ αὐτὸς ἐντιμότατος δικαιοφύλαξ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κὺρ Χουρμούζης, ὁ κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς ἡμῶν, μετὰ τοῦ ἱερωτάτου μητροπολίτου Δέρκων καὶ Νεοχωρίου καὶ ὑπερτίμου, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Νικοδήμου, ἀποχὴν τελείαν ἐποίησε τῆς ἀντιποιήσεως τοῦ αὐτοῦ χωρίου καὶ τοῦ ἁγιάσματος, καὶ ἀπέστη πάσης περὶ τούτου ἀγωγῆς

καὶ φιλονεικίας, ἔμειναν δὲ τὸ χωρίον αὐτὸ καὶ τὸ ἁγίασμα ἀναφαίρετα καὶ ἀναπόσπαστα τῆς μητροπόλεως Δέρκων. Ἐφ' οἷς ὁ αὐτὸς ἱερώτατος μητροπολίτης Δέρκων κὺρ Νικόδημος, συνοδικῶς παραστάς, ἐζήτησεν ἀνανεωθῆναι τὰ προβάντα περὶ τούτου πατριαρχικὰ καὶ συνοδικὰ γράμματα, τὰ διαβεβαιούμενα τὴν οἰκειότητα καὶ γνησιότητα τοῦ αὐτοῦ χωρίου πρὸς τὴν μητρόπολιν Δέρκων, καθομολογούντων τῶν τε γεγραμμένων καὶ τῶν γινωσκόντων ζώσῃ φωνῇ καὶ μαρτυρούντων, ὅτι τὸ χωρίον τοῦ Ἁγίου Στεφάνου οὐχ ὑπῆρχεν ἐξηρημένον τῶν ἄλλων χωρίων ὁπότε συνετελέσθησαν μητρόπολις, μήτε σταυροπηγιακὸν ἦν, ὥς τινες εἰρήκασι σφαλερῶς, ἀλλὰ καὶ αὐτὸ σὺν τοῖς ἄλλοις ὁμοῦ χωρίοις τῆς μητροπόλεως ἐγένετο ἐνοριακόν, ἀπεσπάσθη δὲ κακῶς, ὡς εἴρηται, διὰ τῆς δυναστείας τοῦ Χρυσογόνου, καὶ ὑπέπεσε ταῖς εἰρημένοις περιστάσεσι, καὶ χορηγηθῆναι βεβαιωτήριον γράμμα τῆς ἐνοριακῆς οἰκειότητος τοῦ χωρίου τούτου πρὸς τὴν αὐτὴν μητρόπολιν. Τούτου χάριν, τὴν αἴτησιν αὐτοῦ δικαίαν οὖσαν καὶ εὔλογον ἀποδεξάμενοι, γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα πάντων τῶν προεκτελεσθέντων πατριαρχικῶν καὶ συνοδικῶν γραμμάτων, τῶν ἀποφαινομένων καὶ βεβαιούντων τὸ χωρίον τοῦ Ἁγίου Στεφάνου μετὰ τοῦ εἰρημένου ἁγιάσματος προϋπάρχειν γνήσια καὶ ἐνοριακὰ τῆς αὐτῆς μητροπόλεως, βεβαίων διαμεινάντων καὶ τὸ κῦρος ἐχόντων καὶ νῦν καθὼς καὶ πρότερον μέχρι παντός, αὐτὸ τὸ χωρίον τοῦ Ἁγίου Στεφάνου σὺν τῷ ἁγιάσματι τῆς Παναγίας κατὰ τὰ Φλώρια ὑπάρχωσι γνήσια τῆς μητροπόλεως Δέρκων καὶ ἀναφαίρετα ταύτης καὶ ἀναπόσπαστα. Ὅσα δὲ ὁπωσδήπως προεγράφησαν περὶ τούτων ὡς ἐξαρχικὰ καὶ σταυροπηγιακὰ δῆθεν σχεδιάσαντα ταῦτα, γείνωσιν ἄκυρα καὶ ἀνίσχυρα καὶ εἰς οὐδὲν λογιζόμενα, καὶ μήτε πατριαρχικὰ ὀνομάζωνται τὸ χωρίον καὶ τὸ ἁγίασμα αὐτό, μήτε ἐξαρχικά, ἐπισφαλεῖ τῷ ὀνόματι, ἀλλ' ὑπάρχωσι γνήσια τῆς μητροπόλεως Δέρκων δίκαια καὶ ἐνοριακὰ καὶ κατὰ πάντα καιρόν, αὐτός τε ὁ ἱερώτατος μητροπολίτης Δέρκων καὶ οἱ μετ' αὐτὸν ἐξουσιάζωσι τοῦ χωρίου καὶ τοῦ ἁγιάσματος, καθὼς καὶ τὰ ἐπίλοιπα τῆς αὐτῆς μητροπόλεως χωρία, καρπούμενοι καὶ νεμόμενοι τὰ παρ' αὐτῶν ἐκκλησιαστικὰ δικαιώματα, εὐλογοῦντες καὶ ἁγιάζοντες τοὺς ἐν αὐτοῖς χριστιανοὺς καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελοῦντες ἐν αὐτοῖς μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, κατὰ τὴν περίληψιν τῆς πράξεως αὐτῶν, μνημονευομένου ἐν αὐτοῖς τοῦ κανονικοῦ αὐτῶν ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς ἀμεταθέτως καὶ ἀμεταποιήτως· οἱ δ' ἐν αὐτοῖς χριστιανοὶ ὀφείλωσιν αὐτὸν μόνον τὸν ἱερώτατον μητροπολίτην Δέρκων καὶ Νεοχωρίου κὺρ Νικόδημον γινώσκειν γνήσιον ἀρχιερέα τοῦ χωρίου αὐτῶν, ποιμένα τε πνευματικόν, κανο-

νικὸν καὶ νόμιμον τῶν ἐν αὐτῷ χριστιανῶν, καὶ πείθεσθαι καὶ ὑποτάσσεσθαι αὐτῷ καὶ παρέχειν ἀναντιρρήτως τὰ ἐκκλησιαστικὰ δικαιώματα, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος ἱερωμένου ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ. Ὁποῖοι δ' ἂν ὀψέποτε βουληθῶσιν ἀνατρέψαι τὴν παροῦσαν ὑπόθεσιν, καὶ τὸ χωρίον αὐτὸ καὶ τὸ ἁγίασμα πατριαρχικὰ καὶ σταυροπηγιακὰ ὀνομάσαι ἢ ἀποσπάσαι καθ' ὁποιονοῦν τρόπον τῆς αὐτῆς μητροπόλεως ταῦτα, ὁποίας ὄντες τάξεως καὶ ὁποίου βαθμοῦ, ἀφωρισμένοι εἶησαν ἀπὸ Θεοῦ Παντοκράτορος καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ θάνατον αἰωνίως, καὶ ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικοι καὶ ἔνοχοι τοῦ πυρὸς τῆς γεέννης. Ὅθεν εἰς ἔνδειξιν τῆς συνοδικῆς ἐπιβεβαιώσεως τοῦ χωρίου καὶ τοῦ ἁγιάσματος πρὸς τὴν μητρόπολιν Δέρκων ἐγένετο καὶ τὸ παρὸν πατριαρχικὸν γράμμα καὶ ἐνεχειρίσθη αὐτῷ τῷ ἱερωτάτῳ μητροπολίτῃ Δέρκων καὶ Νεοχωρίου κὺρ Νικοδήμῳ.

Ἐν ἔτει ,αχξθ'.

Ὁ Ἡρακλείας Νεόφυτος — Ὁ Κυζίκου Κύριλλος — Ὁ Νικομηδείας Παρθένιος — Ὁ Χαλκηδόνος Γαβριήλ — Ὁ Θεσσαλονίκης Ἰγνάτιος — Ὁ Ἰκονίου Ἄνθιμος.

IX. 1746, октябрь, инд. X. Грамота патріарха Паисія II и священнаго синода о возведеніи Дерконской митрополіи на восьмое мѣсто въ Синтагматіонѣ епархій Константинопольской церкви.

К. П. А., V, 71—76.

Ἴσον ἀπαράλλακτον τοῦ πρωτοτύπου πατριαρχικοῦ συνοδικοῦ γράμματος τοῦ εἰς ὄγδοον θρόνον προβιβασμοῦ τῆς ἁγιωτάτης μητροπόλεως Δέρκων, πόνημα τοῦ σοφωτάτου κυρίου Δωροθέου Λεσβίου.

Παίσιος ἐλέῳ Θεοῦ κτλ.

Τοὺς τῶν κοινῶν προστατοῦντας πραγμάτων καὶ περὶ τὴν ἐκείνων σωτηρίαν τε καὶ αὔξησιν ἐκ παντὸς τρόπου σπουδάζοντας, εἰ μὴ μέλλουσι παντάπασι, τοῦ προσήκοντος ἁμαρτόντες, εἰς τὸ ἀσυμφορώτατον ἐκπεσεῖσθαι, μηδὲ λήσειν ὑπορρέοντες εἰς τοὐναντίον οὗ προὔθεντο, δεῖ μὴ πᾶσιν ἁπλῶς ἐπιέναι, μηδὲ τὸν αὐτὸν οὐ τὰ αὐτά γε τρόπον ὄντα ἄγειν τα πάντα καὶ διοικεῖν, ἀλλ' ἑκάστοις ᾧ πέφυκε τρόπῳ καὶ χρῆσθαι, νεωτερίζοντας μὲν οὐδέν, τοῖς δὲ πράγμασι τὴν διοίκησιν προβιβάζοντας, οὐ τῇ διοικήσει τὰ πράγματα· αὐτά τε γὰρ ταῦτα παντοδαπὰ καὶ ποικίλα τυγχάνει γε ὄντα, καὶ ὁ πολιτικὸς αὐτοῖς κατὰ τρόπον ἐπιβαλεῖ δήπουθεν, νῦν μὲν ἀνιεὶς καθάπερ ἁρμονίαν τὴν ἐπιστασίαν καὶ πραϋνόμενος, νῦν δ' ἐπιτείνων καὶ σφοδρευ-

όμενος, καὶ τὰ μὲν παριεὶς τῶν πραγμάτων καὶ ὑπερβαίνων ὅλως, ἢ πρὸ τούτων ἄλλα ποιούμενος, τῶν δ' αὖ ἀντιλαμβανόμενος ἐρρωμένως καὶ μηδενὶ τῶν ἀφαιρουμένων ἢ διαστρεφόντων ἄλλως αὐτὰ καὶ κακούντων εἴκων καὶ ἐξιστάμενος, ἀλλ' ὄρθιος καὶ ἀδέκαστος προσφερόμενος, καὶ πρὸς πᾶν τὸ ἀντικροῦον καὶ βιαζόμενον οὐδὲν ἧττον ἀντίτυπος ἁπάντων, καὶ τῷ τόνῳ ἀγῶνος ἀνακόπτων τοὺς συγχέοντας τὰ καθεστῶτα, καὶ τὰς πείρας ἀποκόπτων αὐτῶν κομιδῇ, καὶ εἰς ἀμηχανίαν, μᾶλλον δὲ ἀπόγνωσιν αὐτοὺς κατακλείων καὶ περιστὰς παντελῆ· ὅπου μὲν γὰρ εἰς τὰ ὅλα μεγάλην φέρει τὴν βλάβην ἡ τοῦ καὶ ἐλαχίστου δοκοῦντος ὀλιγωρία καὶ παρατροπή, ἐνταῦθα τῆς ἀκριβείας τῶν δικαίων ἰσχυρῶς ἀνθεκτέον, μήτε φόβῳ δεινοῦ, μήτε χάριτος ἐλπίδι τὸν ὑπὲρ τῶν καλῶς ἐχόντων καθυφιεμένοις ἀγῶνα, ὅπου δ' ἔστι μικρῶν ἀποστᾶσι μειζόνων τυχεῖν, καὶ μέρους ἀφέσει διασῶσαι τὸ πᾶν, ἢ καὶ μετακοσμήσει τινὸς τῶν δεόντων τὸ ὅλον σεμνότερον ἀποφῆναι καὶ παρὰ πολὺ μεγαλοπρεπέστερον καὶ λαμπρότερον, ζημίας μὲν ἐπικειμένης οὐδεμιᾶς, ὠφελείας δὲ καὶ χάριτος καὶ μάλα πολλῆς, ἀμαθίας ἂν εἴη δεινῆς, ἢ τάχα που καὶ μισοκαλίας, προφάσει τινὸς τάξεως καὶ ταύτης τυχὸν κεκινημένης πολλάκις ἀπισχυρίζεσθαι πρός τι τῶν τοιούτων, ἐθελοκακοῦντας, εἴργοντας, τὸ παρ' ἑαυτούς, τὴν ἀρίστην, ἂν οὕτω τύχῃ, κατάστασιν, καὶ προιεμένους ἐν οὐδενὶ λόγῳ τὰ καλὰ καὶ χρήσιμα· οὐ μὴν ὅ γε τῷ ὄντι πολιτικὸς καὶ τοῖς πράγμασιν εἰς δέον καὶ κατὰ καιρὸν ἐπιστάμενος χρῆσθαι σφαλεραῖς τισι τὰ τοιαῦτα προήσεται δόξαις, οὐδὲ ἣν ὀπωσοῦν ἔλαχέ τινα τῶν πραγμάτων τάξιν, ταύτην ἀεὶ φερόμενα περιόψεται, εἴτε φαύλην οὖσαν εἴτε χρηστήν, ἀλλὰ τὰ μὲν κατὰ χώραν ἐάσει τούτων καλῶς ποιῶν, τὰ δέ γε κινήσει πρὸς τὸν καιρὸν καὶ μεταρρυθμιεῖ πρὸς τὸ βέλτιον, χαίρειν εἰπών, ὥσπερ ἀγαθὸς κυβερνήτης ἐπιβατῶν ναυτιώντων οἰμωγαῖς [καὶ] ταῖς τῶν δυσπαθούντων, εἰ τύχοι, διαβολαῖς καὶ καταβοήσεσι, χρώμενος δὲ τοῖς ἀρίστοις λογισμοῖς καὶ τὴν εὐκοσμίαν τε καὶ ἀσφάλειαν ἐκ τῶν ἀεὶ παρόντων τοῖς πράγμασι μηχανώμενος, καὶ μηδαμοῦ τὴν ὑπόθεσιν τῆς ἡγεμονίας τε καὶ ἀρχῆς καταισχύνων.

Εἶεν· ὁ πολιτικὸς μὲν οὖν ἐπιστήσεται τοῖς κοινοῖς οὕτως, ὁ δ' ἆρά γε προεστηκὼς ἐκκλησίας καὶ ταύτης τῆς ἀνωτάτω τε καὶ μεγίστης ἄλλως; ἢ τὴν αὐτὴν μὲν οὖν καὶ αὐτὸς βαδιεῖται καὶ τοὺς οἴακας τῆς παγκοσμίου ναυαρχίδος ἐγκεχειρισμένος ἄλλοτε ἄλλως στρέψει καὶ περιάξει, πρὸς εὐόρμους ἀπευθύνων λιμένας τὴν ναῦν; Καὶ μὴν κοινότητι πραγμάτων ὁ διέπων τὰ τῆς ἐκκλησίας οὐχ ὅπως ἠλάττωται τοῦ περὶ τὰ τῶν πόλεων ἔχοντος, ἀλλὰ καὶ πολλῷ τῷ μέτρῳ πλεονεκτεῖ, ὅσῳ μηδ' ἔχων ἐφ' ἑαυτῶν καὶ μόνων χρῆσθαι τοῖς παρὰ τῆς Ἐκκλησίας, προσαρτᾶσθαι τὰ πολλὰ τοῖς πολιτικοῖς ἀναγκάζεται, ἐπεισφέρων τὴν χρείαν, ἣν δέῃ, τούτοις ἐκείνων, καὶ ταῦτα τὰ κοινὰ παρέχων κοινό-

τερα, οὐχ ὡς ἐν τοῖς αὐτὸ τοῦτο πολιτικοῖς ἐξαταζόμενος καὶ πολυπραγμονῶν ἐκεῖνα καὶ ἐφαπτόμενος καὶ παραδυόμενος εἰς τὰ μὴ προσήκοντα, ἀλλ' ὡς τὰ ἐκκλησιαστικὰ πράττων οὐκ ἐν ἐρημίαις καὶ ὄρεσιν, ἀλλ' ἐν πόλεσι καὶ δήμοις καὶ πλήθεσιν ἀνθρώπων, ἐκ ποικίλων χρειῶν κατὰ διαφόρους τύχας καὶ δυσαρμόστων, ὡς ἐπίπαν, ἠθῶν συμβαλλόντων ἀλλήλοις, ὡς μὴ μόνον ταύτῃ κοινοπραγεῖν τὸν ἐκκλησιαστικόν, καὶ ταῖς πράξεσι δημοσιεύειν μᾶλλον τοῦ καλουμένου πολιτικοῦ, ἀλλὰ καὶ πλείοσι κεχρῆσθαι ταῖς δυσχερείαις καὶ τοῖς κωλύμασι χαλεπωτέροις καὶ μείζοσιν· ὁ μὲν γάρ, ἢν ἐκλίπῃ τὰ τῆς γλώττης, καὶ τὴν πειθὼ κατίδῃ μηδὲν περαίνουσαν, ἀλλ' ἐκχεομένην εἰκῇ, θᾶττον τὴν βίαν προσαγαγών, ἐκ γειτόνων παρακαλέσας, πολλῶν ἀπηλλάχθη πραγμάτων, καὶ ὅπερ οὐχ ὑπῆρξεν αὐτῷ εὑρέσθαι ἀπὸ τοῦ λόγου, τοῦτο τῇ ῥάβδῳ ῥαδίως ἐξέπραξε· τῷ δέ γε ἐκκλησιαστικῷ λειπομένῳ μὲν τούτοις ἅπασιν, ἐκ δὲ μόνης ὁρμωμένῳ φωνῆς, οὗ τοι δὴ παντάπασιν ἐρρωμένης εἰς ὦτα προκατειλημμένα κακίᾳ, καὶ βίαν μὲν καὶ μάχην ἐχθραίνοντι, ἅτε δὴ δίκην τιμῶντι καὶ τὴν εἰρήνην πρεσβεύοντι· τὸ δὲ σύμπαν ὁμιλίᾳ τε καὶ πειθοῖ προσανέχοντι, ἀνάγκη πολλοῖς τοῖς ἀπόροις ἀπαντᾶν καὶ συχνῶν προσκρουσμάτων πειρᾶσθαι πρὸς ἅ, κωλυόμενος ἄλλως θέσθαι τὰ τῆς ἐκκλησίας καλῶς καὶ βραβεῦσαι, τρέψεται καὶ αὐτὸς οὐδὲν ἧττον τοῦ πολιτικοῦ βουλὰς μυρίας καὶ τῇ γνώμῃ ἐπὶ πολλὰ ἑαυτὸν κινήσει, τὰ μὲν ἐκδιδοὺς καὶ παρείκων, τὰ δ' ἀναλαμβάνων καὶ περιποιούμενος, ἕτερα μεταφέρων καὶ μετατιθεὶς καὶ ἄλλα ἄλλως οἰκονομῶν πρὸς τὸ συμφέρον καὶ καθιστάμενος. Οὐκ οὖν δὴ ἁπλοῦς, ὡς ἂν οἰηθείη τις, ὁ ἐκκλησιαστικός ἐστι καὶ ἀπράγμων, οὐδὲ τὴν ἡσυχίαν ἐν ἡσυχίᾳ καρπούμενος, ἀλλά τις πολύφροντις καὶ πολυάσχολος καὶ ταῖς μερίμναις ἀεὶ τεταμένος καὶ νήφων καὶ τὰς τῆς διανοίας ὄψεις, εἴποι τις ἄν, κατὰ τὸν Ἄργον πάντῃ περιδινῶν, ἄλλως τε κατὰ τούσδε τοὺς χρόνους, ἐν οἷς τὰ τῆς Ἐκκλησίας ὅσῳ τοῖς ἄλλοις ἐλλέλειπται, τοσούτῳ τοῖς λυπηροῖς πεπλεόνακεν, καὶ δεῖται τῶν χεῖρας ὡς ἀληθῶς ὀρεξόντων οὐ χεῖρα.

Διόπερ ἡμεῖς ἤδη κοινῇ συνοδικῇ γνώμῃ προθέμενοι μεταποιῆσαι καὶ ὑπερβιβᾶσαι τὸν θρόνον τῆς ἁγιωτάτης μητροπόλεως Δέρκων εἰς ὄγδοον, ὡς ὑφεδρεύειν μὲν καὶ ὑφυδρῦσθαι τῷ ἱερωτάτῳ μητροπολίτῃ Χαλκηδόνος τὸν ἱερώτατον μητροπολίτην Δέρκων, προεδρεύειν δὲ καὶ προτετάχθαι τὸν αὐτὸν τοῦ ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης καὶ τῶν ἄλλων ἐφεξῆς ἁπάντων ἱερωτάτων μητροπολιτῶν ἀπὸ τῆς σήμερον εἰς τὸν ἐξῆς ἅπαντα χρόνον, δεῖν ἔγνωμεν ταύτην τὴν συνοδικὴν ἡμετέραν διάταξιν μὴ μόνον συνοδικῷ γράμματι τῷδε βεβαιῶσαί τε καὶ κρατῦναι, ἀλλὰ καὶ γνώριμον ποιῆσαι πᾶσι καὶ φανερὰν τοῖς τε νῦν καὶ τοῖς ἔπειτα, ἔκ τε τοῦ εἰκότος λόγου καὶ νόμων τινῶν ὁρμωμένην κρειττόνων, καὶ τοῖς ὑποκειμένοις πράγμασι τῆς

Ἐκκλησίας οὔτε ἀνάρμοστον, ἀλλὰ σωτήριον καὶ καλῶς ἔχουσαν· οὔτε γὰρ νῦν πρῶτον ἡμεῖς τὰ τοιαῦτα χαράξομεν καινουργήσαντες, ἀλλὰ κανόσι τισὶ τετριμμένοις, εἰ καὶ μὴ πάνυ ξυμφανέσι, καὶ παραδόσεσιν ἀρχαίαις ἑπόμενοι, ἥ τε προδηλωθεῖσα ἁγιωτάτη μητρόπολις ἀξία δόξει συγκατειλέχθαι καὶ συντετάχθαι ταῖς ἀρχηγικωτέραις τῶν ἐπαρχιῶν καὶ πρώταις· τὰς μὲν οὖν ἐπαρχίας, εἴτε μητροπόλεις, εἴτε ἐπισκοπάς τε καὶ ἀρχιεπισκοπάς, ὅσαι τὴν τάξιν ἄλλοτε ἄλλως μετεβάλοντο καὶ μετέστησαν, ὄχλος ἂν εἴη παρατίθεσθαι καὶ καταριθμεῖσθαι, φιλοτιμουμένους ἀκαίρως ἐπὶ τοῖς ὁμολογουμένοις καὶ καταφανέσι· σχεδὸν γὰρ αὐτῶν τὰς πλείστας εὑρήσει τις ἐπισκοπῶν τὰς μὲν εἰς ὑποδεεστέρας ἐκπεπτωκυίας, τὰς δὲ εἰς ὑπερτέρας ἐπαναβεβηκυίας· ἤδη δέ τινας οὐ μόνον ἐξ ἐπισκοπῶν εἰς μητροπόλεις τετιμημένας, ἀλλὰ καὶ μητροπόλεων ἐξ ἀρχῆς ἄλλων τε πολλῶν καὶ ὧν ἦσαν ἐπισκοπαὶ τέως ὑπερενεχθείσας, ὃν τρόπον ἡ Μονεμβασία, ἐπισκοπὴ τοῦ Κορίνθου οὖσα, ἐτιμήθη εἰς μητρόπολιν ἐν τῷ θρόνῳ τοῦ Σίδης, ὑπερκειμένῳ τοῦ Κορίνθου βαθμοῖς ἑνὶ καὶ εἴκοσιν· οὐ γὰρ ἀκίνητα πάντα καθάπαξ τὰ ἐν τῇ ἐκκλησίᾳ, οὐδὲ δόγμασιν ἴσα θεοπνεύστοις τε καὶ θεοπήκτοις· ἐκεῖνα μὲν γάρ ἐστιν αὐτὴ ἡ Ἐκκλησία, ὑπὲρ ὧν ἀνάγκη καὶ τᾶλλα προΐεσθαι χαίροντας, πλοῦτόν τε καὶ δόξαν καὶ πάντα τὸν βίον, μὴ ὅτι γε παρεγχειρεῖν κακουργοῦντας, προνόμια δὲ ἐπαρχιῶν καὶ προσχήματα καὶ προεδρεῖαι καὶ τάξεις ἆθλά ἐστι καὶ γέρα καὶ τὸ ὅλον κτήματα τῆς Ἐκκλησίας· ὅσῳ τοίνυν τῶν κεκτημένων τὰ κτήματα λείπεται, τοσούτῳ καὶ τῶν δογμάτων ἀποδεῖ τὰ τοιαῦτα, καὶ ὥσπερ ἐκεῖνα κεκλήρωται τὸ ἀσάλευτον καὶ κατὰ τὴν καρδίαν πάθος μηδὲν ἐπιδέχεται, ἀλλ' οὐσίωται ἐν τῷ ἀκινήτῳ κατὰ τὰ ἄϋλα, οὕτω ταῦτα χαίρει δεόντως κινούμενα καὶ ῥώννυται μᾶλλον τοῦτο καλῶς ὑποστάντα, καὶ ποιεῖται τὸ πάθος ἐνέργειαν, καὶ τὴν νόσον ὑγείαν καὶ τὴν κίνησιν πῆξίν τε καὶ βεβαίωσιν· ὃ γὰρ ἐπὶ τῶν ἄλλων ἐστὶ παράνομον, τοῦτ' ἐπὶ τούτων ἀνέστραπται νόμιμον, καὶ γίνεται τοῦ νόμου τοῦ ἐπὶ τούτοις τήρησις ἡ τῶν αὐτῶν ἐπὶ τῷ πρέποντι καὶ συμφέροντι μετακόσμησις· εἰ μὲν οὖν τῶν ἑδραίων ἦν καὶ ἀμετακινήτων, οὔτ' ἂν τοῖς πάλαι, κατὰ καιροὺς διαφόρους, ἄνω καὶ κάτω μετετέτακτο, ἡμᾶς τε ἔδει τοῖς ἅπαξ ὡρισμένοις ἐκ μηδεμιᾶς προφάσεως ἀντιπράττειν, ἀλλ' ἐφησυχάζειν ἀγαπῶντας καὶ παρακινοῦντας μηδ' ὁτιοῦν· ἐπεὶ δὲ ταῦτα οὐχ οὕτως ἔχοντα καθορᾶται, ἀλλ' ἔτι ἕδρας μεταστάντα πολλάκις ἤδη καὶ τὴν τάξιν μετηλλαχότα πολλαχῶς καὶ ποικίλως, ὡς ἐν ταῖς ἐκκλησιαστικαῖς ἱστορίαις καὶ τοῖς ἱεροῖς καταλόγοις φέρεται, τί μὴ οὐχὶ καὶ αὐτοὶ τοὺς πρὸ ἡμῶν μιμησόμεθα, καὶ ταῦτα ἐπὶ αἰτίαις εὐπρεπεστέραις καὶ μείζοσιν; Οὐδὲ γὰρ μοναρχικῇ ἐξουσίᾳ μόνῃ τὰ τοιαῦτα δέδοται, τῇ δ' ἐκκλησιαστικῇ αὐτονομίᾳ ἀπείρηται, ἀλλ' εἴπερ τι ἄλλο καὶ ταῦτα τῇ ἐκκλησιαστικῇ προστασίᾳ

προσήκει καὶ ὑπάρχει γε δὴ πατρονομεῖν καὶ διαιτᾶν αὐτῇ, ὅπως ἂν βούληται τὰ αὐτῆς· δεινὸν γὰρ ἂν εἴη καὶ πέρα δεινῶν καὶ τούτων ἐκκλησιαστικῶν ὄντων, εἰ δυνήσεταί τις εὐτελῆ παρέχειν αὐτὰ μὴ ἐκκλησιαστικὸς αὐτὸς ὤν, ἤτοι γὰρ καὶ αὐτὸς ἐκκλησιαστικὸς ἔσται, ἢ ταῦτα μηδ' ὅλως ἐκκλησιαστικός, ἅπερ ἄμφω ἀδύνατα· οὔτε γὰρ τῷ μὴ ἐκ τῆς Ἐκκλησίας γνησίως ὄντι δοθήσεται προσάπτεσθαι τῶν τῆς Ἐκκλησίας, οὔτε τὰ τακτικὰ τῆς Ἐκκλησίας δυνατὸν εἶναι μὴ τακτικὰ τῆς Ἐκκλησίας· εἰ δὲ φήσει τις, ὅτι ἐκκλησιαστικὰ μέν ἐστι καὶ ταῦτα δήπου, μὴ μέντοι τῶν καιρίων καὶ πρώτων, ἀλλά τινα περιστατικὰ καὶ οἷον ἐν χώρᾳ συμβεβηκότων, καὶ ταύτῃ τῆς ἔξω χειρὸς προσδεόμενα, πρῶτον μὲν λανθάνει διὰ τοῦτο τοῦ λόγου πολὺ τὸ τρεπτὸν καὶ ἄστατον κατηγορῶν τῶν τοιούτων, καὶ κατερείπει μᾶλλον αὐτὰ καὶ κατασείει, πῆξαι καὶ ἑδράσαι πειρώμενος· ὃ γὰρ ἐν χώρᾳ συμβεβηκός ἐστι, τοῦτο κἂν ὑπὸ τοῦ τυχόντος κινηθείη, οὐχ ὑπὸ δυνάμεως ἰσχυροτέρας καὶ κρείττονος.

Εἶτα καὶ τοῦτο μᾶλλόν ἐστι θαυμαστόν, πῶς τὰ μέγιστα καὶ πολλῷ κρείττω καθ' ἑαυτὴν αὐτοτελῶς ἡ Ἐκκλησία δυναμένη, πρὸς τὰ ἐλάττω ἀδυνατεῖ; ἐχρῆν γὰρ τούτων οὕτως ἐχόντων συμβαίνειν πᾶν τοὐναντίον, οὐ τοῦτο, καὶ ἄλλως ἀνάγκη κατὰ τὸν αὐτὸν λόγον, ἢ καὶ τὰ μέγιστα τῶν παρὰ τῇ Ἐκκλησίᾳ τὴν ἔξω χεῖρα πάντα ἐπιτελεῖν, ἢ τούτου μὴ ἐφικνουμένην, μηδὲ πρὸς τὰ ἐλάχιστα τῶν ἐκκλησιαστικῶν προηγουμένως ἰσχύειν, ἀλλ' εἴπερ ἄρα ἑπομένως καὶ κατὰ συμβεβηκός, τὴν δὲ Ἐκκλησίαν δηλαδὴ καθιστάναι τὴν ἐξανύουσαν πάντα καθ' αὐτὸ καὶ προηγουμένως· οὐ γὰρ αἴσθησις ἡ ἐκκλησιαστικὴ καθέστηκε δύναμις ὡς ἀμαυροῦσθαι πρὸς τὰ ἧττω, ἐπειδὰν ὁμιλήσῃ τοῖς κρείττοσιν, ἀλλὰ νοῦς καὶ πνεῦμα τελεσφόρον καὶ θεῖον· ὅσῳ τοῖς πρώτοις ἐπιβατεύει καὶ ἐνεργεῖ, τοσούτῳ ῥᾷον εἰς τὰ ὕστερα ὁρῶσα, οὐκ ἀμβλυνομένη τῇ περὶ τὰ κυριώτερα ἐνεργείᾳ πρὸς τὰ ὑποβεβηκότα καὶ ταπεινότερα, ἀλλ' ἔτι μᾶλλον στομουμένη καὶ ἀκμαιοτέρα πως ἀποβαίνουσα, καὶ οὐ μόνον πρὸς πάντα τὰ αὐτῆς ἀνελλιπῶς καὶ ἀνενδεῶς ἀποχρῶσα, ἀλλὰ καὶ πᾶσι τοῖς ἄλλοις τὸ εἶναι κυρίοις τε καὶ τελείοις παρέχουσα, καὶ οὐκ ἐστιν οὐδὲν ὅ,τι μὴ τῆς παρ' αὐτῆς χρῄζει ῥοπῆς, οὐκ ἄρχων, οὐκ ἰδιώτης, οὐχ ὁδεύων, οὐ πλέων, οὐ πολιτεύων, οὐ στρατευόμενος, οὐκ ἄλλο τῶν ὄντων οὐδέν, ἀλλὰ καὶ μονάρχης τῇ παρ' αὐτῆς κρατύνεται χριόμενος χάριτι, καὶ στρατηγὸς ἵστησι τρόπαια, καὶ ναυβάτης ταῖς ἐνεκτικαῖς αὔραις αὐτῆς οὐριοδρομεῖν παραπέμπεται, καὶ γεωργὸς ταῖς θείαις αὐτῆς ψεκάσι πολύχουν συγκομίζεται τὸν καρπόν, καὶ ὅλως τὰ πάντα τῇ παρ' αὐτῆς εὐχῇ καὶ εὐλογίᾳ συντηρεῖ καὶ σώζεται· εἰ οὖν ταυτὶ δὴ μὴ αὐτῆς ὑπάρχοντα, ὅμως ἀνενδοιάστως τελεσιουργεῖ, πῶς οἷόν τέ ἐστι πρὸς τὰ αὐτῆς ἴδια μὴ ἐξαρκεῖν, ἀλλ' ἐπιδεῖσθαι ψήφου καὶ γνώμης ἑτέρας, ἥτις παρέξει δὴ κύρια τὰ αὐτῆς; Καὶ γὰρ οὖν αὐτόθεν ἂν ἦν ἄτο-

πον, ἔνθεν μὲν αὐτὴν τὰ ἔξω τῇ οἰκείᾳ εὐλογίᾳ περαίνειν, ἔνθεν δ' αὖ οἰκεῖα τοῖς ἔξω ἐπισφραγίζεσθαι· οὐ μὴν ἀλλὰ κἂν ἄλλοις δόξῃ κατά τινα τρόπον ἀντιδόσεως τοῦτο συμβαίνειν, οὔτε χώραν ἔχει τοῦτο πρὸς τὰ παρόντα, οὔθ' ὅσον ἐπὶ τοῖς πάλαι τὸν λόγον ἰσχυρόν τε καὶ ἴσον· νῦν μὲν γὰρ ἅτε χάσμασιν ἀχανέσι τῶν ἔξω πρὸς τὰ ἡμέτερα διεστώτων, οὐδὲν ὅ,τι καὶ εἰπεῖν ἄξιον· εἴ γε μὴν ἐπιζητοίη τις τῶν μάλιστα τῇ Ἐκκλησίᾳ νῦν ἐφειμένων, εὑρήσει καὶ τὸ προκείμενον ἐπισκοπῶν καθεστώς, ᾧ καὶ δῆλον ὅτι τῆς Ἐκκλησίας ὑπάρχει καὶ μόνης ὁρίζειν πρὸς τὸ δοκοῦν τὰ τοιαῦτα καὶ τάττειν, μηδενὸς ἄλλου πολυπραγμονοῦντος· οὐδὲν γὰρ νῦν τῶν ἐκκλησιαστικῶν ὅ,τι μὴ προσκεχρῆναι πολιτικῇ τινι προστασίᾳ καὶ πόρῳ κεκώλυται, ὅ δ' ἂν ᾖ τούτων καθαρεῦον, ὥσπερ ἀμέλει καὶ περὶ οὗ ὁ λόγος ἐστί, τοῦτο καὶ ὑπὸ τῶν νῦν κρατούντων ἀνεῖται τῇ Ἐκκλησίᾳ, μή πάνυ τι ἐπηρεαζόντων· οἱ δὲ πάλαι τὰ σκῆπτρα κατέχοντες, ἅτε δὴ τὰ αὐτὰ φρονοῦντες τῇ Ἐκκλησίᾳ καὶ κοινῇ τῆς ἐν αὐτῇ εὐκοσμίας ἐπιμελόμενοι, φαίνονται μὲν καὶ τοιαῦτ' ἄτινα πραγματευσάμενοι, καὶ τοὺς θρόνους τῶν ἀρχιερέων διορισάμενοι κατὰ τάξεις τινάς, οὐ μὴν ὡς οὐ δυναμένῃ καὶ καθ' ἑαυτὴν ταῦτα τῇ Ἐκκλησίᾳ παρέχοντες, ἀλλ' ὡς συμπράττοντες αὐτῇ τὰ δοκοῦντα καὶ πειθαρχοῦντες, τέκνα τῆς Ἐκκλησίας καὶ ὄντες τε καὶ καλούμενοι· τὰ δὲ τέκνα τοῖς πατράσιν ὑποτέτακται, οὐ προτέτακται· καὶ γὰρ εἰ δοκοῦσιν αὐτογνωμονῆσαι ἔνια, ἀλλὰ καὶ ταῦτά γε συγχωρούσης τῆς Ἐκκλησίας κατεστήσαντο· καὶ τοῦτο δῆλον, ἐξ ὧν ἀντιβάσης τῆς Ἐκκλησίας διήμαρτον μηδὲν περάναντες, ὥστε τὸ δοκοῦν τῆς ἔξω κράτος χειρὸς ὑποταγὴ τῇ Ἐκκλησίᾳ μᾶλλον ἐλήλεγκται οὖσα. Τί δ' ἂν λέγοιμεν περὶ τῶν ἔτι ἀνωτέρων χρόνων καὶ τῆς ἐν ἐκείνοις ἐκκλησιαστικῆς παρατάξεως; οὐ γὰρ δὴ ἀνωμαλίαν πεφυρμένην καὶ πλημμελῆ φορὰν τῆς τότε τληπαθοῦς ἁγιωτάτης Ἐκκλησίας καταγνωσόμεθα, εἰ καὶ λυπηρότατα πράττουσα πανταχόθεν ἠλαύνετο, ἀλλ' εἰ χρὴ τὰ· εἰκότα λογίζεσθαι, τάξιν ἂν φαῖμεν τοῖς τότε καθεστάναι ἀρχιερεῦσιν ἐκκλησιαστικωτάτην. Οὐ γὰρ ἂν πρὸς τοσαύτας ἐμβολὰς βιαιοτάτων κυμάτων καὶ τοσούτους καὶ τηλικούτους χειμῶνας ἀγριωτάτων τυράννων ἀντέσχεν ἐκτὸς βυθοῦ ἀρραγής, εἰ μὴ καὶ τάξει τινὶ μετὰ τῆς ἐξ ὕψους ῥοπῆς διακυβερνᾶτο κρεῖττονι· πλὴν ἀλλ' ἵνα μὴ δοκῶμεν ἁμάρτυρα κομιδῇ λέγειν, ἀπόχρη τὸ Βυζάντιον, ὁ νῦν καθ' ἡμᾶς οἰκουμενικὸς θρόνος καὶ τῶν ἄλλων ὑπεριδρυμένος πατριαρχῶν, ἐπισκοπὴ τότε τοῦ Ἡρακλείας οὖσα, οὐκ ἄν ποτε δηλαδὴ οὖσα, εἰ μή τις ἦν καὶ τοῦ Ἡρακλείας καὶ τῶν ἄλλων πρὸς ἀλλήλους ἀρχιερέων ἀκολουθία καὶ τάξις. Ὑπὸ τίνος οὖν αὕτη ὥριστο; ἆρ' οὐκ εὔδηλον ὡς ὑπ' ἄλλου μὲν οὐδενός, ὑπὸ δὲ μόνης καθειστήκει τῆς Ἐκκλησίας αὐτῆς δι' αὐτῆς; οὔτε γὰρ ὑπὸ τῆς τότε κρατούσης δυναστείας εἰκὸς αὐτὴν συντετάχθαι τῇ Ἐκκλησίᾳ, ἐχθίστης οὔσης, οὐθ'

ὑπὸ τῆς ἀπὸ τοῦ μεγάλου Κωνσταντίνου ἀριθμουμένης μήπω παρούσης· πῶς οὖν ἂν εἶχεν ἡ Ἐκκλησία, εἰ μὴ ἐξῆν αὐτῇ ταῦτα καθίστασθαι; πῶς δ' ἂν μὴ καὶ νῦν ὡσαύτως ἐξείη ταῦτα πρὸς τὸ δόξαν αὐτῇ κοσμεῖν; οὐ γὰρ δὴ ἡ τότε μᾶλλον ἦν Ἐκκλησία τῆς νῦν, οὐδ' ἐκείνη μὲν ἦν ἐνεργὸς καὶ νεμομένη ταυτὶ τὰ πρεσβεῖα τε καὶ σεμνή, αὕτη δὲ ἀργὸς καὶ παρῃρημένη τε ταῦτα καὶ ἄτιμος, ἀλλ' ὥσπερ καὶ φύσιν ὁ γενεσιουργὸς Θεὸς ἐπὶ τῆς πρώτης δημιουργίας μίαν ὠργάνωσε, διὰ πάντων ἀεὶ τὰ αὐτὰ ταῖς γενέσεσι μέχρι τῆς συντελείας τοῦ αἰῶνος ἀμεταγωγήτως ὁμαλίζουσαν καὶ συνείρουσαν, οὕτω κἀπὶ τῆς δευτέρας δημιουργίας Ἐκκλησίαν συνεστήσατο μίαν τῇ τελεταρχικῇ τοῦ παναγίου Πνεύματος χάριτι, τὰ αὐτὰ διὰ πάντων ἀεὶ δυναμένην καὶ συντελοῦσαν· μιᾶς δὲ οὔσης τῆς Ἐκκλησίας τοῦ Χριστοῦ τῇ ἀξίᾳ καὶ τῇ δυνάμει καὶ χάριτι, οὐκ εἰκός, ἅπερ αὐτῇ καλῶς ἀπονέμομεν, παρὰ τὸ διάφορον τῶν χρόνων, αὖ πάλιν αὐτὴν ἀφαιρεῖσθαι· φαίνεται μὲν γὰρ διῃρημένη τοῖς χρόνοις, τῇ δὲ ἐξουσίᾳ καὶ δυνάμει ἀεὶ τῇ αὐτῇ κεχρημένη· εἰ οὖν ἡ δευτέρα τοῖς χρόνοις Ἐκκλησία πλεῖστα τῶν τῆς πρώτης ἀρχιερατικῶν πρὸς τὸν καιρὸν καὶ τὴν χρείαν ἐκίνησε τάξει, δηλονότι καὶ ἡ τρίτη ἕν τι τῶν τῆς δευτέρας κινήσειν, τοῦ καλοῦ καὶ τοῦ προσήκοντος πρὸς δὲ καὶ τοῦ συμφέροντος χάριν, ἥκιστα κωλυθήσεται ἢ οὐδὲν τὰ τῆς πρώτης ἄρα καλῶς ἡ δευτέρα μετέβαλεν, ὃ καὶ λέγειν αὖθαδες καὶ ἀνόσιον καὶ φρονεῖν μανικὸν καὶ ἀβέλτερον· εἰ δὲ μηδὲ κίνησιν εἶναί τις εἴποι ταύτην, ἀλλὰ μᾶλλον κεκινημένου τινὸς καὶ ἀπολωλότος ἀνάκλησιν καὶ ἀποκατάστασιν, οὐκ ἂν παντάπασι διαμάρτοι τῆς ἀληθείας.

Φαίνεται μὲν γὰρ ἡ Φιλαδέλφεια τὸ πάλαι τῆς Χαλκηδόνος μεταξὺ καὶ τῆς Θεσσαλονίκης κειμένη, κατὰ τὴν τοῦ κυροῦ Ἀνδρονίκου ἔκθεσιν, ἐκλελοιπυίας δὲ νῦν ἐκείνης καὶ τοῦ ἀρχιερατικοῦ θρόνου ἄρδην ἐξερρυηκυίας, εἴπερ ἡ Δέρκων τὸν ἐκείνης καταλήψεται τόπον καὶ θρόνον μεθαρμοσθεῖσα, δόξει μὴ μᾶλλον νεωτερίζειν ἢ ἡ ἀρχαιότης, σέβεσθαί τε καὶ ἐμπεδοῦν τὸ κεχηνὸς τῆς ἀρχιερατικῆς τάξεως ἀναπληροῦσα καὶ συνδέουσα τῇ ἑαυτῆς παρενθέσει, ὡς εἶπον ἄνωθεν, τὴν Χαλκηδόνα τε καὶ τὴν Θεσσαλονίκην. Τὰ μὲν δὴ τῆς ἱστορίας οὕτω παραδίδωσι τὴν Ἐκκλησίαν, ἣ μὲν ἐχρῆτο δηλαδὴ καὶ πρὸ τοῦ μεγάλου Κωνσταντίνου τάξει τινὶ τῶν ἀρχιερέων, ταύτην καὶ καθ' ἑαυτὴν εὐτακτεῖν δυναμένην, δεικνύον· ἣ δὲ πάλιν αὐτὴν μετεκόσμησεν, ὅτι καὶ ἀεὶ ταὐτὸ τοῦτο ποιεῖν ἐπ' αὐτῇ κεῖται· ὁ δὲ λόγος οὐκ ἀγαπᾷ, φησίν, εἰ μὴ καὶ ἄλλως προσαποδείξει, μάλιστα τῇ Ἐκκλησίᾳ καὶ ἰδιαίτατα προσήκειν τὰ τοιαῦτα βραβεύειν τε καὶ ψηφίζεσθαι, ὡς ὄνειδος οὐ μικρὸν αὐτῇ ὄν, εἰ μὴ τὰ οἰκεῖα πράξει καθ' ἑαυτὴν ἀπολύτως τε καὶ δεσποτικῶς, ἀλλ' ἀναρτήσεται δίκην θεραπαίνης εἰς νεύματα δεσποίνης ἑτέρας δυνά-

μεως, ὥσπερ ἀποροῦσαν ἢ μὴ προαιρουμένην ποιεῖν τὰ γιγνόμενα. Ταῦτα γὰρ ἡμῖν, ἀνῃρημένου τοῦ μὴ δύνασθαι, λοιπὰ περὶ αὐτῆς ἐπισκέψασθαι· τὰς οὖν ἐπαρχίας εἴτε κάλλει καὶ μεγέθει τῶν πόλεων καὶ τῆς προσωρισμένης τούτων ἑκάστῃ χώρας, καὶ πλήθει τῶν περιοικίδων κωμῶν τε καὶ πολιχνίων φιλοκρινητέον ἐστίν, εἴτε γῆς εὐφυΐᾳ καὶ θέσει καὶ εὐπορίᾳ τῶν πολλοῦ ἀξίων τε καὶ τῶν ἄλλων ἐπιτηδείων, ἢ κατὰ κλέος τινὸς τῶν ὀνομαστῶν καὶ περιβοήτων, ἤ τινα προσμαρτυρουμένην αὐτῶν καλλιτεχνίαν καὶ ἀρετήν, ἢ κατὰ ἄλλην περίστασιν· ταῦτα δὲ οὐκ ἂν ἄμεινον εἰδεῖεν ἄλλοι τινές, ἢ οἱ πᾶσαν μὲν γῆν ἐπιόντες, παντὶ δὲ ἔθνει προσομιλοῦντες, πλεῖστόν τε χρόνον παρ' ἑκάστῳ τούτων διατρίβοντες, καὶ τῇ ἐξ ἱστορίας ἐπιστήμῃ καὶ τῇ ἄλλῃ περὶ τοὺς λόγους σχολῇ μαθήσεως καὶ σοφίας ἐπὶ πλεῖστον προήκοντες· ἀνάγκη γὰρ οὖν τούτοις ἅπασιν, ἢ τοῖς γε πλείστοις αὐτῶν, συγκεκροτῆσθαι τόν γε ὡς ἀληθῶς καλὴν καὶ δικαίαν τὴν ἐξέτασιν, ἀλλὰ μὴ τυφλὴν καὶ εἰκαίαν καὶ μονονοὺ γελοίαν ποιήσοντα· ἀλλὰ μὴν τῶν ἀρχιερέων οὔτε σοφωτέρους ἂν εἴποι τις εἰκότως τοὺς ἔξω κρατοῦντας, οὔτε πλείω χρόνον παραμένοντας τοῖς ἔθνεσιν, οὔτε πλείοσιν αὐτῶν ἐπιμιγνύντας· ἀρχιερεῖς δὲ καὶ πάντες οἱ ἐκ τοῦ ἱεροῦ καταλόγου συμφέρονταί τε πᾶσι τοῖς ἔθνεσι, πολυπειρίας τε ἕνεκα καὶ γνώσεως ἠθῶν τε καὶ πραγμάτων παντοδαπῶν, μάλιστα δὲ τὸ Εὐαγγέλιον τοῦ Κυρίου κηρύξοντες, τῶν ἔξω κρατούντων μόνοις αὐτῶν τοῖς ὑπηκόοις ἐμφιλοχωρούντων, τάς τε ἐπαρχίας οἱ πλείους αὐτῶν ὁρίζουσι τῷ βίῳ διέποντες, ἐκείνων ἐπετείους σχεδόν τι τὰς διαδοχὰς ποιουμένων, τῇ δὲ περὶ τοὺς λόγους ἕξει καὶ τῇ ἄλλῃ ἐμπειρίᾳ τε καὶ καθ' ἱστορίαν πολυμαθείᾳ, πῶς οὐκ ἂν τοὺς πολιτικοὺς παρελάσειαν ἄρχοντας, βίον τε πεποιημένοι τὸν λόγον καὶ ἀναγνώσει προκείμενοι συνεχεῖ, ἅτε δὴ μηδὲ ταῖς ἄλλαις πάνυ τι τοῦ βίου φροντίσι τε καὶ μερίμναις ἀποτρυόμενοι; Δῆλον οὖν ὅτι, πλείστην ἐκ τούτων καὶ ἀκριβεστάτην γνῶσιν συμπραττόμενοι, τά τε ἄλλα διαιτήσουσιν ἄριστα καὶ τὰ περὶ τῶν ἐπαρχιῶν δὴ ταῦτα καταχωριοῦσιν ὡς ὅτι βέλτιστα· εἰ δὲ δὴ τάττειν ἕκαστα ταῦτα κατὰ χώραν ἐπίσταται, ὥσπερ ἀμέλει καὶ δύναται, πῶς οὐχὶ καὶ βουλήσεται ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία φιλοκαλεῖν καὶ φιλοκοσμεῖν ἐν αὐτῇ, πῶς δ' οὐκ ἂν ἔχοιτο τοῦ συμφέροντος καὶ χρησίμου; Ὅπου γε τὸ τὰ φαῦλα πρὸ τῶν καλῶν αἱρεῖσθαι καὶ τῶν χρησίμων ποιεῖσθαι τὰ ἀσύμφορα πρότερα, πάθει τὴν ψυχὴν διεφθαρμένων ἐστί, καὶ τὴν οἰκείαν θεραπευόντων νόσον τῇ ἀποτροπῇ τῶν καλῶν· ἡ δὲ Ἐκκλησία πάθεσι δουλεύει; Δουλεύει μὲν οὖν μοναρχία, τυχὸν εἴποι τις ἄν, ἅτε ἀπὸ κράτους ἄγουσα τὰ πράγματα καὶ τιθεμένη νόμον τὴν βούλησιν, τὰ πολλὰ πλημμελοῦσά τε παρὰ δίκην καὶ καταχαριζομένη τὰ ἄλλα καὶ παραβραβεύουσα καὶ πρὸς ὀργὴν αὖ πάλιν ἀφαιρουμένη τὰ μὴ δίκαια κελεύουσα.

Ἡ δὲ Ἐκκλησία σύνοδος οὖσα, καὶ σύνοδος οὐκ ἐν ὀνόματι Ἀλεξάνδρου ἢ Καίσαρος ἢ Κωνσταντίνου, ἀλλ' ἐν ὀνόματι Ἰησοῦ τοῦ Ναζωραίου, τοῦ δι' ἡμᾶς σταυρωθέντος Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ, Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, συνιοῦσα κρείττων παθῶν ἐν ἀληθείᾳ καὶ πνεύματι, τὰ τε ἄλλα πάντα διέπει καλῶς καὶ νέμει τὴν ἀξίαν ἑκάστῳ καὶ τὸ προσῆκον τρυτάνης ἀκριβέστερον ἀποδίδωσιν, οὔτε χάριν τιμῶσα, οὔτε ἔχθραν ἀμυνομένη, ἀλλ' ἓν μόνον σκοποῦσα, τὸ δίκαιον καὶ τὴν ἀλήθειαν ὅρον ἐν λόγοις πεποιημένη, καὶ ἐν ἔργοις τὴν ἀρετὴν καὶ τοῦ καλοῦ καὶ πρέποντος ἐπὶ παντὶ μετὰ τοῦ συμφέροντος φροντίζουσα καὶ στοχαζομένη, οἷα τοίνυν, ὥσπερ τὰ ἄλλα αὐτῆς ἴδια, καὶ τὰ τῶν ἐπαρχιῶν αὐτογνωμόνως καὶ αὐτοτελῶς καὶ ἀνυπευθύνως διοικεῖν δυναμένη, καὶ τὰ καλὰ καὶ δίκαια καὶ συμφέροντα ἀκριβῶς ἐξεπισταμένη, καὶ ἐκ πάντων ἀεὶ ταῦτα μόνα προαιρουμένη καὶ πρὸς ταῦτα ὁριζομένη τὰ ἄλλα πάντα τε καὶ βραβεύουσα, προεχειρίσατο καὶ τὴν τῆς ἁγιωτάτης μητροπόλεως Δέρκων μετακόσμησιν ταύτην, οὕτως ἐχομένην τοῦ καλοῦ καὶ δικαίου τε καὶ συμφέροντος, ὡς εἶναι πλέον ἐπὶ τῇ ἔμπροσθεν αὐτῆς ἀμελείᾳ τὸ θαυμαζόμενον, ἢ ἐπὶ τῇ νῦν ἐπιμελείᾳ τὸ ξένον, εἰ μὴ ἄρα λέγοι τις, ὅτι πρότερον μὲν οὐδὲν ἤπειγε τοσοῦτον, εὐσταθούντων τῇ Ἐκκλησίᾳ τῶν πραγμάτων, ἐπινοεῖν ἐπανόρθωσιν, νῦν δὲ κακῶς φερομένων καὶ ἀσταθούντων ἐπάναγκες, ἀμέλει καὶ ἔχει γε οὕτως. Οὐδὲν γὰρ ὅμοια τοῖς πρὸ τοῦ τὰ παρόντα, οὐδὲ ὀλίγου δεῖ, ἀλλὰ τάχα καὶ πλείονος, ἢ τοῖς Μυσῶν, φασί, καὶ Φρυγῶν ὁρίσμασι· νῦν μὲν γὰρ τά τε ἀποτελούμενα πλεῖστα καὶ ὁσημέραι προκόπτοντα ταῖς προσθήκαις, καὶ ἀεὶ πρὸ καιροῦ συντόνως καὶ ἀποτόμως εἰσπραττόμενα, οὔτε παραίτησιν προσιέμενα, οὔτε δεήσει παραφερόμενα, ἀλλὰ χρέουσι χρέα παραφορτίζοντα καὶ τόκους συνάπτοντα τόκοις, καὶ δάνεια δανείοις ἐπάγοντα, καὶ οὐδὲ ταῦτα ῥᾳδίως ἢ ζημίας χωρὶς ποριζόμενα, κἂν πορισθῇ, πολυπλασιάζεται τὸ κακὸν καὶ γίνεται τὸ δοκοῦν ἴαμα νόσημα χαλεπώτερον αὐξομένου τοῦ χρέους, καὶ μήτηρ ἀπορίας ἡ εὐπορία μείζονος περιΐσταται, οὔτε γὰρ μὴ χρεωλυτῆσαι δυνάμεως, οὔτε πράξαντες τοῦτο βέλτιον ἀπαλαττόμεθα, ἀλλ' ἐμπίπτομεν ἐκ κακῶν εἰς κακὰ καὶ τοῖς ἐπιοῦσιν ἀεὶ δυσχερεστέροις ἀπαντῶμεν καὶ ποθοῦμεν τὰ φθάσαντα· οὕπω γοῦν τὸ παρὸν παρεπέμψαμεν ὁπωσοῦν διαθέμενοι, καὶ τὸ μέλλον ἐπιγίγνεται χαλεπώτερον· ἢν μὲν γὰρ διαλυσώμεθα τὰ τῶν δανιστῶν, ἐπιφύεται τὰ δημόσια, διαθέμενοι δὲ καὶ ταῦτα γλίσχρως καὶ χαλεπῶς, τοῖς ἄλλοις ἤδη προσπαλαίομεν δεινοῖς, ἐπηρείαις τε τῶν προσπολεμούντων τῇ τῆς Ἐκκλησίας εἰρήνῃ ποικίλαις, καὶ ἄλλαις μυρίαις ταραχαῖς καὶ βίαις τῶν οὐ δυναμένων ἀτρεμεῖν, ἀλλὰ διασπώντων τὰ κοινὰ καὶ λυμαινομένων, τῶν μὲν καθ' ἡδονάς τινας ἰδίας καὶ πλεονεξίας, τῶν δὲ καὶ δι' ὑπερβολὴν καὶ ἀμετρίαν ἑτέρων παθῶν, καὶ τὰ μὲν ἄπορα

πανταχόθεν χαλεπὰ περιέστηκε καὶ ἀμήχανα, τὰ δὲ χρηστὰ καὶ σωτήρια φροῦδα καὶ ἐκποδών, οὔτε πόρων τινῶν ἡμῖν ὄντων, οὔτε προσόδων ἀρκουσῶν, οὔτε τινὸς ἄλλης βοηθείας καὶ χορηγίας ποθὲν ὑποφαινομένης, ἅτε μεταβολαὶ καὶ ἄλλαι ἀνωμαλίαι καὶ μεταπτώσεις συνεχεῖς καὶ ἐπάλληλοι, χαλεπὴν καὶ ἄπορον ποιοῦσι τὴν τῆς Ἐκκλησίας διεξαγωγὴν καὶ κυβέρνησιν.

Πρὸς δὴ τὰ τοσαῦτα καὶ τηλικαῦτα δεινά, μετὰ τὴν ἐκ Θεοῦ, πλὴν τῆς παρὰ τῶν συναδέλφων ἁγίων ἀρχιερέων μηδεμιᾶς ἄλλης ὑποκειμένης ἡμῖν ἀρωγῆς, τῶν δὲ ἀρχιερέων τῶν μὲν ἄλλων μὴ δυναμένων ἐπὶ πολὺ τῶν οἰκείων ἐπαρχιῶν ἀπολείπεσθαι, τῶν δὲ ἐγκρίτων καὶ πρώτων, οἳ καὶ μάλιστα ἐπιδημοῦσιν ἐνταῦθα, καὶ μόνοι τὰ πολλὰ ταῖς περιστάσεσι καὶ χρείαις ταῖς τε κοιναῖς καὶ ταῖς ἑκάστου τῶν ἄλλων ἀρχιερέων ἰδίοις ἐκείνων προσαμύνοντες, χωρὶς τοῦ καὶ αὐτοὺς εἰς τὰς ἑαυτῶν ἔστιν ὅτε ἀπαίρειν, οὐκέτ' ἀντεχόντων, ἀλλ' ἀπειρηκότων πρὸς τὰς ἀνάγκας καὶ τὴν βίαν τῶν προσπιπτόντων ἑκάστοτε δυσχερῶν, οὐκ ἀσύμφορον ἔδοξε παρακαταστῆσαι καὶ παριδρῦσαι καί τινα τῶν ἄλλων ἀρχιερέων αὐτοῖς, ὡς ἀπὸ τῆς ἴσης ἀγωνίζεσθαι καὶ ἀντερείδειν τοῖς, εἰ τύχοι, βιαζομένοις, καὶ τὰ ἄλλα πραΰνειν τε καὶ κατασβεννύναι καὶ τὰ φλεγμαίνοντα καθιστάναι, καὶ ὅλως μετὰ τῶν ἐγκρίτων ἀρχιερέων τὰ τῆς Ἐκκλησίας συνδιακοσμεῖν πρὸς τὸ βέλτιον· δῆλον γὰρ ὅτι εἴπερ οὗτος ἔσται ὁ Δέρκων, τοῖς τε εἰρημένοις τῶν ἀρχιερέων παρέξει τινὰ ῥαστώνην, οἷα δὴ κουφιζομένοις ὁπωσδήποτε τῇ μεταδόσει τῶν πόνων, καὶ αὐτὸς ἐκ τούτου φιλοτιμότερος ἔσται καὶ προθυμότερος πρὸς τοὺς ὑπὲρ τῆς Ἐκκλησίας ἀγῶνας, εἴπερ οὕτως αὐτοὺς ὑποστήσεται· οὐ μὴν οὐδ' ἔσται τοῖς ὑπὲρ τοῦτον ἀρχιερεῦσιν ἀλυσιτελὴς ἡ τοῦ ἑνὸς τούτου προσαρίθμησις καὶ ἀνόνητος· εἷς μὲν γὰρ καθ' ἑαυτόν τε καὶ τοῖς πλείοσι προσγενόμενος ἐστὶν οὐδείς, εἷς δὲ μετὰ τῶν ὀλίγων ἐστὶ πολὺς καὶ πλείστην τε καὶ μεγίστην ῥοπὴν συμβαλλόμενος· καὶ τοῦτο μέν, ὡς ἐπὶ πολλῶν οὕτως ἔχον καὶ καθ' ἑαυτὸ δῆλον καὶ προῦπτον ἐκ τῶν παρ' ἑκάστῳ, πάρεργον ἐπεξεργάζεσθαι περαιτέρω διατρίβοντας.

Ὅτι δὲ ἡ ἁγιωτάτη μητρόπολις μόνη καὶ μάλιστα τῶν ἄλλων ἁπασῶν δικαία ἐστὶν ἀξιωθῆναι τῆς τάξεως ταυτησὶ ῥᾴδιον καταμαθεῖν ἔκ τε ἄλλων πολλῶν καὶ οὐχ ἥκιστα τὸν τρόπον, καθ' ὃν τὰς ἐπαρχίας οἱ πάλαι διέταξαν, κατιδεῖν ἡμῖν βουλομένοις· οὐ γὰρ τοῖς μεγέθεσι μόνον, ὡς ἔοικε, καὶ ταῖς ἄλλαις ἐπιφανείας τε καὶ λαμπρότησι τὰς ὑπεροχὰς ἔνεμον καὶ τὰς προεδρείας ἐπέγραφον, ἀλλ' οὐδὲν ἧττον καὶ δι' ἄλλας οὐκ ὀλίγας αἰτίας, θέσιν τε χώρας ἐπισκοποῦντες καὶ τόπον καὶ προσλογιζόμενοι γειτνίασιν ἢ ἀπόστασιν· αὐτίκα γὰρ ἡ Χαλκηδών, ἵνα τὰς ἄλλας ἐάσωμεν, ἐπισκοπῶν εὐθὺς ἐξ ἀρχῆς ἄμοιρος ἡμῖν παραδέδοται, ἀλλ' ὅτι τῷ Βοσπόρῳ διείργετο μόνῳ τῆς Βασιλευούσης, ἀντιτεί-

νουσα καὶ τῇ Εὐρώπῃ, καθάπερ ἀνθαμιλλωμένη συστάδην καὶ ζυγηδὸν ἐκ τῆς Προποντίδος εἰς τὸν Πόντον ἀντιπαρήκουσα, πολλῶν ἄλλων ἐπαρχιῶν καὶ μάλα σεμνυνομένων ἐπὶ πλήθει ἐπισκοπῶν προτετίμηται, οὐκ ἄν ποτε δηλαδὴ οὕτω τιμηθεῖσα, εἰ πρὸς τὰ μεγέθη τὰς ἐπαρχίας μετροῦντες κατέληγον, οὐδ' ὡς οὖσα τότε μείζων ἢ νῦν ἐστιν· οὐδὲ γὰρ ἄλλη τις τῶν ἐπικειμένων καὶ ἀστυγειτόνων πόλεων τὸ οἰκεῖον διεφύλαξε μέγεθος, κτισθείσης τῆς μεγαλουπόλεως ταύτης, οὐχ ὅπως ἡ Χαλκηδών, ἐπισπομένων, ὡς εἰκός, τῶν πέριξ δήμων τῷ ἐξ αὐτῆς θαυμασμῷ τε καὶ κάλλει, καὶ συρρεόντων καθάπερ εἰς ποταμὸν τὰ ἄλλα ῥεύματα ναυσίπορον καὶ ἀένναον. Οὔκουν δὴ τὰς ἐπαρχίας τὰ μεγέθη μόνον ἐπεσήμαινε καὶ ἐσέμνυνε, ἀλλ', ὡς εἴρηται, καὶ ἄλλα πολλά, ἐν οἷς ἀμέλει καὶ ἡ γειτνίασις ἐξετάζεται. Τὴν τοίνυν μητρόπολιν Δέρκων εἰ μή τις τιμῴη κατὰ τὴν ἐγγύτητα, ἀλλ' ὅτι πολλῶν ἀπολείπεται μεγέθει τε καὶ προσόδῳ προπηλακίζοι, οὐκ ἂν φθάνοι καὶ πάσας, ὡς ἔπος εἰπεῖν, τὰς ἐπαρχίας συγχέων καὶ μετατάττων· μόνη γὰρ ἡ Ἡράκλεια σχεδόν τι κατὰ χώραν μόλις ἑστήξεται, αἱ δ' ἄλλαι κινήσονται πᾶσαι· εἰ δέ τις τὰς ἄλλας ἄνωθεν οὕτω τετάχθαι πρὸς τὸ καλῶς προέχειν, ὧν ἀποδέουσι νῦν ταῖς προσόδοις, διισχυρίζοιτο, ἐπειδὴ τὸ ἐπὶ τοῖς τοιούτοις αὐτονομούμενον τῆς Ἐκκλησίας προαποδέδεικται, εἴπερ αἱ νῦν τῶν ἄλλων ταῖς προσόδοις ἐλάττους καλῶς ὑπερέχουσι, δῆλον ὅτι καὶ ἡ Δέρκων ἐκ τῶν ὑπὸ τῆς Ἐκκλησίας ψηφισθεῖσα, καίτοι αὐτὴ οὖσα, κατ' ἀξίαν καὶ καλῶς προτάξεται· εἴη δ' ἂν ἄλλως τῇ Ἐκκλησίᾳ ψῆφον ἐπὶ τῇ Δέρκων φιλοσοφῆσαι ταύτην προσφυέστατόν τε καὶ γνησιώτατον, οἷα δὴ τεκμήριον οὕτως ἐκφερούσῃ καὶ λαμπρότατον δεῖγμα τοῦ μὴ πρὸς ἀργύριον τὰς ψήφους τίθεσθαι μηδ' ἐπὶ λήμμασι διδόναι τὰς κρίσεις, μήτε μὴν περὶ πλείονος ποιεῖσθαι μηδέν, ἀλλ' ἢ τὸ καλὸν καὶ τὴν ἀρετήν· εἰ μὲν γὰρ τῶν πολυπροσόδων καὶ πολυταλάντων ἡ Δέρκων ἐτύγχανεν οὖσα, πάντα ἂν ἦν ταῦτα, καὶ ἐπὶ τούτοις δεκασμοῦ καὶ ἀδικίας ὑπόνοιαι, μικρᾶς δὲ οὔσης καὶ ὀλιγαρκοῦς, τὴν μὲν αἰτίαν ἕξει τὸ πρόσοικον μόνον αὐτῆς καὶ ἀγχίθυρον, ὡς εἰπεῖν, ἢ ἀγχίπυργον, εὐπαρρησίαστον δὲ καὶ εὐπρόσωπον· ὡς ἥ γε μητρόπολις Δέρκων οὐ μᾶλλον ἂν ὅμορος λέγοιτο τῆς Βασιλευούσης καὶ ἀγχιτέρμων, ἢ δορυφόρος τις αὐτῆς καὶ περίπολος, καὶ μόνη πασῶν τὴν τῆς ἀστυγείτονος ἂν ἐπαληθεύοι ἐπίκλησιν, καὶ προάστεια τῆς Βυζαντίδος οὖσα, δικαίως ἂν λέγοιτο καὶ προπύλαια, ἐν χρῷ τε περιπτυσσομένη αὐτὴν καὶ ὡς ἀληθῶς ἐγκεκολπισμένη, καὶ τῆς ἠπείρου πανταχόθεν αὐτῇ περιτεινομένη καὶ περιβάλλουσα, καὶ τοῖς ὄρεσιν αὐτὴν περιθριγγοῦσα καὶ περιστρέφουσα ταῖς κώμαις καθάπερ θεραπαινίσι περιστοιχεῖ, ἡδίστοις τε λειμῶσι καὶ πεδίοις αὐτὴν ἀναπεταννῦσα, καὶ ἄλσεσι συνηρεφέσι καὶ ὀρυμοῖς βαθυτάτοις συμφραγνῦσα καὶ περιείργουσα, νάμασί τε ποτιμωτάτοις

περιρρέουσα καὶ κατάρδουσα καὶ τοῖς ἄλλοις ὅσα καλὰ φέρουσι τιθηνουμένη καὶ θέλγουσα, καὶ μὴν καὶ θέρους καταφυγαῖς φιλανθρώποις καὶ διατριβαῖς ἱλαραῖς καὶ ἀλύποις αὐτὴν ὑποδέχεται ἀναψύχουσα, καὶ χειμῶνος περιθάλπει τοῖς πρὸς διαγωγὴν μετρίαν τε καὶ οὐκ ἀπάνθρωπον φέρουσι ψυχαγωγοῦσα, θήρας τε τοῖς βουλομένοις παρεχομένη παντοδαπὰς καὶ τἆλλα πάντα ἄφθονα καὶ ἔκπλεω φιλοτιμουμένη, καὶ ὅλως ὅπερ ἡ περίοικος χώρα ταῖς ἄλλαις ἐστὶ τῶν πόλεων, τοῦτο ἡ Δέρκων τῇ Βυζαντίδι γίγνεται. Καὶ γὰρ δὴ καὶ πεδίον καὶ ὄρος καὶ χώρα τε καὶ προάστειόν ἐστιν αὕτη ταύτης γε τῆς μεγαλουπόλεως, ἣν δὴ καὶ δυσωπεῖ καὶ καταλιπαρεῖ καὶ ἐπιστρέφει τοῖς προδηλωθεῖσιν αὐτῆς δικαίοις μὴ περιιδεῖν αὐτὴν διὰ τέλους ἠμελημένην, ἀλλὰ ποιήσασθαί τινα λόγον αὐτῆς, μηδὲ γενέσθαι περὶ τὴν αὐτῆς ψῆφον χείρω βραβευτὴν καὶ διαιτητήν, ἢ περί τινας ἄλλας ἐπαρχίας ἐγένετο· καὶ γὰρ οὖν ἐκείναις, ἐξ ἐπισκοπῶν εἰς μητροπόλεις τιμήσασα, οὐ τὴν ἐσχάτην ἀπέδωκε τάξιν, ἀλλὰ πολλῶν, ὡς εἴρηται, μητροπόλεων ἐξ ἀρχῆς οὐσῶν ὑπερέταξε· δεινὸν οὖν ἂν εἴη καὶ σχέτλιον, εἰ τὰς μὲν τῶν ἄλλων μητροπόλεων ἐπισκοπὰς οὕτω μετεχειρίσατο, τὴν δὲ ἑαυτῆς εἴτε ἐπισκοπήν, εἴτε περιοικίδα μητρόπολιν καὶ περίχωρον μὴ σεμνότερον ἄξει, ἀλλὰ περιόψεται τελοῦσαν ἐσχάτην τε καὶ περιυβρισμένην, ὥσπερ ἀμηχανοῦσα τὴν οἰκείαν ἑαυτῆς ὕβριν νῦν γοῦν ἀπώσασθαι· ὕβρις ἄντικρύς ἐστι τῇ Κωνσταντινουπόλει ἡ τῆς Δέρκων ταπείνωσις, ὥσπερ ἀμέλει κόσμος αὖ πάλιν αὐτῇ καὶ φιλοτιμία ἡ ἔπαρσις ἐκείνης καὶ ἐπιτίμησις, καὶ τὸ μὴ πρόσθεν τῆς ἐπανορθώσεως ταύτης γενόμενον οὐ μᾶλλον τοῦ μηδὲ νῦν γενέσθαι δεῖν κώλυμα γένοιτ' ἄν, ἢ δικαίωμα καὶ ἀφορμὴ μάλιστα τοῦ νῦν τε δεῖν τὴν ἐπανόρθωσιν ἀμελλήτως καὶ ἀπροφασίστως γενέσθαι, καὶ τοῦ μὴ καλῶς εἶναι ἐπὶ τοσοῦτον ὑπερβεβλῆσθαι· οὐ γὰρ μόνον, εἰ μὴ πρότερον ἐπηνώρθωται, δεῖ σκοπεῖν, ἀλλ' ἔτι μᾶλλον, εἰ τὴν ἀρχὴν ὥρισται καλῶς καὶ δικαίως· σαθρᾶς δὲ ταύτης ὑποκειμένης καὶ οὐχ ὑγιοῦς, οὐκέτι τὸ ἐκ τῆς τοιαύτης ἀρχῆς ἀποδεικτέον ἐστί, κἂν ἄλλως τὸν χρόνον παραλαμβάνῃ συνήγορον· τὰ γὰρ μὴ καλῶς εὐθὺς ἐξ ἀρχης συστάντα οὐδέποτε ἔρρωται, ὕβριν δὲ τῆς Κωνσταντινουπόλεως πῶς ἂν τις εἴποι νενομίσθαι καλῶς; ἢ πῶς τῇ ὀλιγωρίᾳ τῆς Δέρκων μὴ ἂν ἀτιμάζεσθαι τὴν ἐπαρχίαν τὴν πατριαρχικήν; Ὅπου γάρ, ἐν ταῖς τῶν ὑπὸ τὰς ἄλλας ἐπαρχίας περιοικίδων κωμοπόλεων εἰς μητροπόλεις μεταβολαῖς, οὐδὲ τῶν ἴσων ἠξίωται, ἀλλ' ἁπασῶν συλλήβδην ἠνέγκατο τά γε τελευταῖα καὶ ὕστατα, πῶς οὐκ ἂν ἡ πατριαρχικὴ ἐπαρχία προπηλακίζοιτο; Οὐδὲ γὰρ παραμυθεῖται γοῦν ἢ ἀποκρύπτει τὴν μειονεξίαν τὸ ἀξίωμα καὶ ὁ ὄγκος, ὡς εἰπεῖν, τοῦ πατριαρχικοῦ μεγέθους, ἀλλ' ὅσῳπερ ὑπερεξήρηται τῷ ὕψει τῶν ἄλλων, τοσούτῳ μᾶλλον ἐπίδηλον ποιεῖ καὶ περίοπτον καὶ φέρει ἐπισημοτέραν, καθάπερ τινὰ

κηλῖδα πορφυρᾶ καὶ λαμπροτάτη ἐσθής. Τὸ δ' αὐτὸ τοῦτο ποιεῖ καὶ δεινὸν αὐτῇ τὸ πρᾶγμα καὶ ἥκιστα μέτριον, ὥστε μαρτύρεσθαι καὶ μονονουχὶ σφαδάζειν ἀναξιοπαθοῦσαν· εἰ γάρ, ἴσον ὄντα μὴ τῶν ἴσων τυχεῖν ἀφόρητον, πῶς ἂν οἰστὸν γένοιτο, μέγιστον εἰς τὸ ἔσχατον ἐκπεσεῖν; Οὐ μὴν οὐδὲ ἐπὶ μόνης τῆς μητροπόλεως Δέρκων χωρὶς τοῦ ἀποβαλεῖν τὴν περιφρόνησιν ταύτην ἐγχωρεῖ περιγράψαντας· οὕτω γάρ ἐστιν ἡ ὕβρις τῆς Κωνσταντινουπόλεως ἰδία καὶ προσεχής, ὥστε μηδ' ἐξελεῖν ἡμῖν ταύτης πειρωμένοις αὐτὴν ἐγγίγνεται, καὶ μόνως ἂν οὕτως ἐκφύγοι τὴν ἐπὶ τῇ Δέρκων ὕβριν τε καὶ διαβολήν, εἴ τις ἢ τὴν Κων/πολιν ἀποδείξει γῆς χωρίτιδος ἄμοιρον, ἢ τὴν Δέρκων μὴ χωρῖτιν τῆς Κων/πόλεως γῆν· ἄχρι δὲ ἐστὸν ἀδυνάτω τούτω καὶ τὸ τὴν Κων/πολιν μὴ ἐπὶ τῇ Δέρκων, οὕτως ἐχούσῃ, περιυβρίσθαι μᾶλλον ἀδυνατώτερον· εἰ δὲ ἡ πατριαρχικὴ ἐπαρχία ὑβρίζεται, πῶς οὐκ ἂν καὶ ὁ θρόνος ὁ πατριαρχικὸς συνυβρίζοιτο, καὶ ἐν τούτῳ σύμπασα τῶν ἀρχιερέων ἡ ὁμήγυρις καὶ σύνοδος, Οὔτε γὰρ θρόνον ἐστὶ λαβεῖν καθ' ἑαυτόν, μὴ μετὰ ἀρχιερέων, πατριαρχικόν, οὐθ' ὁμήγυριν ἀρχιερέων μὴ μετὰ θρόνου πατριαρχικοῦ· ἅμα δὲ ὄντων καὶ συνεστώτων ἀχωρίστων δίκην ὅλου τινὸς ἐκ μερῶν, ὥσπερ αὐτοῖς ἐστι κοινὰ τὰ καλά, οὕτως ἔχειν εἰκὸς καὶ τὰ ἐναντία· ἀλλὰ μὴν οὐδὲ ποιῆσαι τὴν ὕβριν ἰδίαν τῆς πατριαρχικῆς ἐπαρχίας, ἀλλὰ μὴ καὶ τοῦ πατριαρχικοῦ θρόνου προσλογίσασθαι κοινήν, δυνατόν· ἦν γὰρ ἂν τοῦτο λέγειν, εἴπερ ἢ τὸ πρᾶγμα καὶ ὅλως εἰπεῖν ἡ ὑπόθεσις τῆς ὕβρεως μὴ ἦν ἐκκλησιαστική, ἢ μὴ θρόνος ἡ Κων/πολις πατριαρχικός· ἐκκλησιαστικῆς δὲ οὔσης τῆς τε ὑποθέσεως καὶ τῆς Κων/πόλεως θρόνου πατριαρχικοῦ τε καὶ οἰκουμενικοῦ, πᾶσα ἀνάγκη τοῦ θρόνου πάσχοντος, συνομοπαθεῖν, ὥσπερ μέλη, τοὺς ὑπὸ τοῦτον ἀρχιερεῖς, συναισθανομένους καὶ συναλγοῦντας· ὥστε, τῆς ὕβρεως ταύτης ἀποδεδειγμένης τοῦ πατριαρχικοῦ θρόνου καὶ συνόλως τῆς ἀρχιερατικῆς ὁλομελείας καὶ ὁμηγύρεως, εἴ τις ἀναισθητεῖ, μὴ συναχθόμενος ἐπὶ ταύτῃ καὶ συναγανακτῶν, ἤτοι οὐδόλως ἔσται ἀρχιερεύς, ἀλλά τις ἰδιώτης πάμπαν καὶ κοσμικός, ἢ θρόνου τινὸς ἑτέρου, ἀλλ' οὐχὶ τοῦδε τοῦ οἰκουμενικοῦ· καὶ γὰρ τῶν ἀρχιερέων ἕκαστος, ὑβριοπαθής, τυχόν, καὶ κατὰ μικρὸν ἀδικούμενος, ὀρθῶς τοῦτό γε ποιῶν, ὡς ὑβριζομένης τῆς ἀρχιερωσύνης τε καὶ τοῦ θρόνου, οὐκ ἂν οὖν, ἀρχιερεὺς ὤν, δι' ὃν αὐτὸς τιμῆς ἀξιοῦται θρόνον, τοῦτο αὐτὸν ἀφῃρεῖτο, καίτοι τὰ αὐτοῦ τις ἕκαστος δίκαια δυνατὸς ἀφιέναι καὶ κύριος, ὅ,τι βούλοιτο, τὰ δὲ ἑτέρου τινὸς οὐδείς, ἄλλως τε καὶ θρόνου πατριαρχικοῦ, αὐτὸς ὑπήκοος ὤν· γίγνεται γὰρ μικροῦ δεῖν, εἰ μὴ δυσχερὲς εἰπεῖν, ἱεροτυραννία, ἥν, ὡς παπικὴν ὀφρῦν καὶ λυτικὴν φύσει, ἥκιστα ζηλωτέον ἡμῖν ἐστιν, ἀλλ' ἀνατολικῶς τόν τε ἡμέτερον αὐτῶν ἀποστολικὸν καὶ οἰκουμενικὸν θρόνον ὡς ὅ,τι προθυμότατα τιμητέον, καὶ τὴν περιοικίδ~ μητρόπολιν αὐτοῦ Δέρκων ὡς ὅ,τι φιλαδελφότατα

μετατακτέον ἐγγύτατα τοῦ ἱερωτάτου μητροπολίτου Χαλκηδόνος παριδρύσαντας, ἡγουμένους τε καὶ φρονοῦντας, τὴν μὲν εἰς τὸν πατριαρχικὸν θρόνον αἰδῶ καὶ εὐλάβειαν, ἡμετέραν αὐτῶν τιμὴν καὶ σεμνότητα, τὴν δὲ εἰς τὴν μητρόπολιν Δέρκων χάριν, ἡμετέραν αὐτῶν φιλοτιμίαν καὶ φιλαδελφίαν, καὶ ἅμα εὐγνωμοσύνην ἐπιδεικνυμένους, καὶ ὥσπερ ἀμοιβήν τινα ταύτην, δικαίαν τε καὶ πρέπουσαν, ἡδέως καὶ προθύμως ἀπονέμοντας· τοὺς γὰρ πονοῦντας ὑπέρ τινων καὶ πραγματευομένους καὶ κηδομένους αὐτῶν καὶ σώζοντας, δίκαιον, εἰ μηδὲν ἄλλο, τιμήν γέ τινα παρὰ τῶν εὖ πασχόντων, ὥσπέρ τινα ὁμολογίαν χάριτος καὶ ἀντίδοσιν, φέρεσθαι, τῶν δὲ πρωτευόντων ἀρχιερέων τοὺς μάλιστα φιλοχωροῦντας ἐνθάδε πάντες ἂν ἀναμφισβητήτως ὁμολογήσαιεν, ὅτι πολλὰ πράγματα ὑπὲρ τῶν ἄλλων συναδέλφων ὑπομένουσι, καὶ μυρίας ἀηδίας ἀνέχονται, σπουδάζοντες περὶ ἐκείνους καὶ πρὸς τὰ κατεπείγοντα παριστάμενοι καὶ ἀμύνοντες τὰ προσπίπτοντα, τάς τε ἀπορίας αὐτῶν λύοντες καὶ συνευποροῦντες, ὧν ἂν δεηθῶσι, καὶ τὰς χρείας θεραπεύοντες ἀεὶ καὶ παραμυθούμενοι καὶ παντοίως αὐτῶν ἀντιλαμβανόμενοι καὶ περιέποντες· ὑπὲρ μὲν γὰρ τῶν κοινῶν ὅσα ποιοῦσι καὶ πάσχουσι, τάχ' ἂν εἴποι τις μὴ μᾶλλον ἐκείνων χάριν ἢ καὶ σφῶν αὐτῶν ἕνεκα παραβάλλεσθαι καὶ ταλαιπωρεῖν, ὥσπερ τινὰ λειτουργίαν ταύτην τελοῦντας, ἃ δὲ τοῖς ἄλλοις ἴδια περιποιοῦσιν ἀγαθά, πονοῦντες αὐτοὶ καὶ προθυμούμενοι, τούτων ἀγεράστους παντάπασι περιορᾶσθαι καὶ περιαλγεῖς, δι' ἃ πολλάκις ἤδη οὐδὲ ἀζήμιον ἀπήλλαξαν, οὐκ εὔγνωμον, οὐδὲ φιλάνθρωπον, ἥκιστα δὲ ἐκκλησιαστικόν.

Ὁ τοίνυν ἀεὶ Δέρκων, διὰ τὴν ἀεὶ παρουσίαν τοῖς ἐγκρίτοις τῶν ἀρχιερέων, ἐν μὲν τοῖς κοινοῖς ἀεὶ συναγωνίζεται καὶ συμπράττει τὰ δυνατά, ἢ τάχα καὶ ὑπὲρ δύναμιν, ἐν δὲ τοῖς ἰδίοις ἑκάστου τῶν ἀρχιερέων συνεξετάζεται, συναιρόμενος ἐκ τῶν ἐνόντων καὶ βοηθῶν καὶ ὠφελῶν ὅ,τι δύναιτο· δίκαιον οὖν καὶ εὔγνωμον, ὥσπερ ἐπὶ τῶν ἄλλων, κοινῶν τε καὶ ἰδίων, αὐτῷ χρώμεθα συνεργῷ καὶ συμπράκτορι καὶ συναγωνιστῇ τοῖς προεδρεύουσι τῶν ἀρχιερέων, διὰ τὸ ἀδιάλειπτον τῆς δεῦρο διατριβῆς, οὕτω καὶ τῆς τάξεως αὐτὸν ποιῆσαι κοινωνὸν τοῖς αὐτοῖς καὶ ἐνάριθμον· ὅτι δὲ καὶ ἐπιπρέπει τῷ οἰκουμενικῷ θρόνῳ παραπεπηγέναι πως ἀλλήλαις ταύτας τὰς ἐπαρχίας, ὥσπερ τῷ τόπῳ καὶ τῇ τάξει, παρακειμένας, ἀλλὰ μὴ ἀπηρτῆσθαι πάμπολυ διεστώσας, φανερόν ἐστι καὶ πᾶσι δῆλον· τῆς γὰρ Χαλκηδόνος ἐν τῇ Περαίᾳ, στέρνων δίκην, ἐπικειμένης τῷ Βυζαντίῳ, τῆς δὲ Δέρκων νώτων περικεχυμένης τρόπον, χαρίεν ἂν γένοιτο καὶ καλόν, εἰ, παράλληλοι κείμεναι, ἡ μὲν ὥσπερ ἡγοῖτο, ἡδ' ἕποιτο, μεσεύοντα, καθάπερ, δέσποιναν ἑαυτῶν, τὸν οἰκουμενικὸν θρόνον δορυφοροῦσαι καὶ παραπέμπουσαι. Γένοιτο δ' ἂν καὶ ἄλλως ἡ τάξις αὕτη λελογισμένη καὶ πρέπουσα εἰ τὰς τῶν ἐγκρίτων ἀρχιε-

ρεων, ὅσοι διὰ τὸ πλησιόχωρον ἐμφιλοχωροῦσιν ἐνθάδε μάλιστα, τὰς ἐπαρχίας σκοπήσαιμεν· μόνη γὰρ αὐτῶν εὐρωπαία ἐστὶν ἡ Ἡράκλεια, αἱ δ' ἄλλαι πᾶσαι ἀσιάτιδες· εὔτακτον οὖν, ἀπὸ τῆς Εὐρώπης ἀρχομένους, κατὰ κύκλον ἐπὶ τὴν αὐτὴν τελευτᾶν, μέσας τὰς ἐν τῇ Ἀσίᾳ λαμβάνοντες καὶ περισφίγγοντες αὐτὰς ἐπὶ κέντρῳ τῷ πατριαρχικῷ θρόνῳ πανταχόθεν, ὡς ἀπὸ ἀρχῆς τῆς Ἡρακλείας εἰς τελευτὴν τὴν Δέρκων, παρεζευγμένην τῇ Χαλκηδόνος, περιιόντας· φαίνονται γὰρ οὕτως ἀλλήλαις αἱ ἐπαρχίαι μᾶλλον συνηρμοσμέναι, καθάπερ τις ὅρμος ἀτεχνῶς ἀλληλόπλοκος, κεφαλὴν τὸν πατριαρχικὸν θρόνον πεποιημέναι, καὶ ἅμα, ἀριθμὸν ἐξελόμεναι τὴν ἄγκυραν, τέλειον ἀποτελοῦσαι τὸν ἕξ, ἐν ὅσαις καὶ ὁ Θεὸς δημιουργήσας τὸν κόσμον ἡμέραις πιστεύεται· εἰ δὲ καὶ ἑβδόμην ἐπιζητήσει τις τὴν κατάπαυσιν, ἔξει τὸν καθ' ἡμᾶς πατριαρχικὸν καὶ οἰκουμενικὸν θρόνον, τὸ ἄλφα καὶ τὸ ὠμέγα ὄντα.

Δίκαια μὲν δὴ καὶ λόγους ὑπὲρ τῆς μητροπόλεως Δέρκων καλούς τε καὶ ὑγιεῖς τούτοις εἰπεῖν ἔχομεν, ἢ τούτων τινὰς ἐχομένους· δεδειγμένων δὲ τούτων ἁπάντων καὶ ὁμολογουμένων, ὅτι δηλαδή, κατὰ τὸν πολιτικόν, καὶ ὁ ἐκκλησιαστικὸς ἕνια πρὸς τὸν καιρὸν οἰκονομεῖ, καὶ ὅτι τὰ τακτικὰ τῶν ἐπαρχιῶν οὐκ ἀκίνητα, καὶ ὅτι τῆς Ἐκκλησίας ἐστὶν αὐτὰ κοσμεῖν καὶ ὁρίζειν, καὶ ὅτι συμφέρει τε καὶ προσήκει τὴν μητρόπολιν Δέρκων ὀγδόην τῇ τάξει γενέσθαι τῶν ἀρχιερατικῶν θρόνων, ψηφίζομεν μετὰ γνώμης συνοδικῆς, καὶ ὁροθετοῦμεν καὶ θεσπίζομεν, οὐ τῇ ἰσχύϊ καὶ τῷ κράτει τῆς ἔξω χειρός, ἀλλὰ τῇ ἐνεργείᾳ τῆς ἐν ἀσθενείᾳ τελειουμένης δυνάμεως, τῇ χάριτι δηλαδὴ τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος καὶ τῇ ἐξουσίᾳ τῆς ἀκαταισχύντου Ἐκκλησίας, τῇ τε αὐτονομίᾳ τῆς πατριαρχικῆς ἀκρότητος καὶ τῇ ἀνυσιμότητι τῆς πνευματεμφόρου συνόδου, ὄγδοον εἶναι τοὐτεῦθεν κατὰ τάξιν τε καὶ ἀριθμὸν τὸν θρόνον τῆς ἁγιωτάτης μητροπόλεως Δέρκων, ἀπὸ τοῦ Καισαρείας, εὐθὺς μετὰ τὸν Χαλκηδόνος ἐφεξῆς καὶ ἀμέσως ἐχόμενον καὶ ἀριθμούμενον καὶ τιμώμενον, ἀπὸ τῆς σήμερον εἰς τὸν ἑξῆς ἅπαντα χρόνον. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς, μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων καὶ ἁγιωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα, ἀπὸ τῆς σήμερον ἡμέρας εἰς τὸν ἑξῆς ἅπαντα χρόνον, ὁ θρόνος τῆς ἁγιωτάτης μητροπόλεως Δέρκων τάττηται καὶ ἀριθμῆται καὶ τιμᾶται ὄγδοος τῇ τάξει τε καὶ τῷ ἀριθμῷ καὶ τῇ συνεδρίᾳ καὶ τῇ ψηφοφορίᾳ καὶ τῇ ὑπογραφῇ καὶ πάσῃ ἐκκλησιαστικῇ πράξει καὶ ἀρχιερατικῇ καταστάσει, εἴτε ἱερᾷ τελετῇ καὶ εὐαγεῖ ἁγιστείᾳ, εἴτε ἤ τινι τοῦν συνελεύσει καὶ παρατάξει τε καὶ προόδῳ, ἀπὸ τοῦ Καισαρείας μετὰ τὸν Χαλκηδόνος ἐφεξῆς καὶ ἀμέσως ἐχόμενος, προταττόμενος τοῦ Θεσσαλονίκης καὶ τῶν μετ' ἐκεῖνον ἐφεξῆς ἁπάντων ἱερωτάτων μη-

τροπολιτῶν, ὅ τε νῦν ἱερώτατος μητροπολίτης Δέρκων καὶ ὑπέρτιμος, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Σαμουήλ, ἔχει ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καταλέγεσθαι καὶ καταριθμεῖσθαι καὶ συνεδρεύειν καὶ ἐκκλησιάζειν καὶ ψηφοφορεῖν καὶ ὑπογράφειν καὶ συλλειτουργεῖν καὶ συνέρχεσθαι καὶ παρατάττεσθαι πανταχοῦ καὶ ἀεὶ καὶ ὅλως τιμᾶσθαι μετὰ τὸν Χαλκηδόνος ἀμέσως πρὸ τοῦ Θεσσαλονίκης καὶ τῶν μετ' ἐκεῖνον ἁπάντων ἅμα τε καὶ ἰδίᾳ ἑκάστου ἐφεξῆς, ὡς εἴρηται, αὐτός τε δηλαδὴ καὶ πᾶς ὁ μετ' αὐτὸν ἀεὶ Δέρκων ὄγδοος μετὰ τὸν Χαλκηδόνος τιμώμενος. Ταύτην δὲ τὴν ἡμετέραν πατριαρχικήν τε καὶ συνοδικὴν θεσμοφορίαν τε καὶ διάταξιν ἐπισκήπτομεν καὶ ἀξιοῦμεν τοὺς μεθ' ἡμᾶς διατηρῆσαι καὶ διαφυλάξαι ἀπαραποίητον καὶ ἀπαρεγχείρητον, ἐννοουμένους, ὡς οὐχ ἡμετέραν ἀναιροῦσι γνώμην τε καὶ ἀπόφασιν, ἀλλὰ τὴν ἰδίαν ἑαυτῶν καταλύουσιν ἐξουσίαν καὶ δύναμιν· εἰ δέ τις αὐθαδείᾳ καὶ ὑπεροψίᾳ ἐπιχειρήσειε κινῆσαι ταύτην τὴν οὐδὲν κωλύει φᾶναι καὶ νεαρὰν πατριαρχικήν τε καὶ συνοδικήν, εἴη τῷ αἰωνίῳ ἀναθέματι καὶ πάσαις ταῖς πατρικαῖς ἀραῖς ὑπόδικος καὶ κληρονόμος τοῦ πυρὸς τῆς γεέννης. Οἱ δὲ φυλάξαντες καὶ τιμήσαντες αὐτὴν ἔχοιεν τὰς εὐχάς, τὴν χάριν καὶ τὴν εὐλογίαν τῶν ἀπ' αἰῶνος θεοφόρων πατέρων. Ἐπὶ τούτοις ἐξεδόθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν διατακτήριον καὶ ὁροθετήριον γράμμα.

Ὁ Ἐφέσου Ἰωακείμ — Ὁ Ἡρακλείας Γεράσιμος — Ὁ Κυζίκου Ἀνανίας — Ὁ Νικομηδείας Κύριλλος — Ὁ Νικαίας Καλλίνικος — Ὁ Χαλκηδόνος Γαβριήλ — Ὁ Προύσης Γρηγόριος — Ὁ Νεοκαισαρείας Διονύσιος — Ὁ Ἀθηνῶν Ἄνθιμος — Ὁ Πισιδείας Κοσμᾶς — Ὁ Παλαιῶν Πατρῶν Γεράσιμος — Ὁ Λαρίσσης Ἰάκωβος — Ὁ Φιλιππουπόλεως Σεραφείμ — Ὁ Ῥόδου Ἱερεμίας — Ὁ Μιτυλήνης Ἄνθιμος — Ὁ Διδυμοτείχου Αὐξέντιος — Ὁ Μεθύμνης Ἀρσένιος — Ὁ Μεσημβρίας Γρηγόριος — Ὁ Βιδύνης Καλλίνικος — Ὁ Θηβῶν Ἀθανάσιος — Ὁ Χριστιανουπόλεως Δανιήλ — Ὁ Ξάνθης Μητροφάνης — Ὁ Χίου Διονύσιος — Ὁ Προικοννήσου Νικηφόρος.

X. 1764, декабря 19. Канонисмъ патріаршей экзархіи Метсова, утвержденный патріархомъ Самуиломъ.

К. П. А., V, 288.

Ἴσον ἀπαράλλακτον τῆς πρωτοτύπου ὁμολογίας, τῆς δοθείσης τῇ κοινότητι τῆς χώρας καὶ ἐξαρχίας Μετζόβου.

Ὁ πατριάρχης Κων/πόλέως ἐπιβεβαιοῖ.

Διὰ τοῦ παρόντος ἐνυπογράφου καὶ ἐμμαρτύρου γράμματος γίνεται δῆλον, ὡς οἱ ἐνταῦθα ἐν Κων/πόλει εὑρισκόμενοι χριστιανοὶ ἀπὸ

τῆς πατριαρχικῆς ἐξαρχίας καὶ χώρας τοῦ Μετζόβου, οἵ τε ἐπίτροποι διατελοῦντες τῆς πολιτείας αὐτῶν ταύτης, ὅ τε πμασᾶ Στέργιος Ἀνδρέου, ὁ μπασᾶ Ἰωάννης Ἀγόρου καὶ ὁ μπασᾶ Παπασπήλιου, ἔτι δὲ καὶ ἐκ τῶν λοιπῶν χριστιανῶν Μετζοβιτῶν, ὅ τε Ζήσης Ντάσος, ὁ Στέργιος Ντάσος, ὁ Στέργιος Γκίκας, ὁ Βασίλης Γιάννη, ὁ Ἀπρίλος Βενέτη, ὁ Κύργος Ντάσος, ὁ Δημήτρας Χρήστου, ὁ Λούδης Γεώργη, ὁ Κύργος Γκέκιο, ὁ Γιάννης Κώνστα, ὁ Ἀδάμης Σώκας, ὁ Στέργιος Ῥοῦσος, ὁ Ντάσος Ῥοῦσος, ὁ Διαμαντῆς Ῥοῦσος, ὁ Ντάσος Βαρδάκας, ὁ Γεῶργος Παπαγιάννη, ὁ Θεόδωρος Διαμαντῆ, ὁ Νῖτζος Παπαγιάννη, ὁ Αὐγέρος Μίχου, ὁ Αὐγέρος Πόμπη, ὁ Νίτζας Δημήτρη, ὁ Μῆτρος Νταούτη, ὁ Ἀγόρας Γίτζο, ὁ Δῆμος Μπίρα καὶ λοιποὶ συνεγχώριοι χριστιανοί, ἔχοντες καὶ τὴν γνώμην τῶν λοιπῶν συνεγχωρίων αὐτῶν, τῶν τε ἐνταῦθα καὶ τῶν ἐν τῇ πατρίδι αὐτῶν εὑρισκομένων, ἐλθόντες ἐν τῇ πατριαρχικῇ αὐλῇ ἀνήγγειλαν καὶ ἐφανέρωσαν, ὡς ἡ ῥηθεῖσα χώρα αὐτῶν καὶ πολιτεία τοῦ Μετζόβου ἔχει συνημμένους καὶ συνδεδεμένους καὶ τοὺς πέριξ ὄντας τέσσαρας μαχαλάδας, τὴν Μηλίαν, τὸ Μαλακάσι, τὸ Ἀνήλιον καὶ Κουτσίφλιανη, ὧν ἁπάντων τὰ κατ' ἔτος βασιλικὰ συδοσίματα καὶ τὰ ἀναγκαίως ἐπακολουθοῦντα δαπανήματα εἰς τὰ Ντερβέντια, τὰ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν εὑρισκόμενα Μετζόβου τε καὶ μαχαλάδων, καὶ φυλαττόμενα ὑπὸ τοσούτων διωρισμένων φρουρῶν ἐν ταῖς εἰσόδοις καὶ διαβάσεσι καὶ τὰ διὸδόμενα δαπανήματα καὶ ἔξοδα, ὑπὸ τῆς κοινότητος αὐτῶν ἁπάντων ὀφείλουσι πληροῦσθαι, ὡς ἓν σῶμα τούτων ἁπάντων γινομένων, πολιτείας τε καὶ μαχαλάδων· διὰ δὲ τὸ εἶναι βαρέα τὰ ἐπακολουθοῦντα ἔξοδα ταῦτα, ῥιπτόμενα ἀναγκαίως ἐπάνω τῆς πτωχολογίας, εἰς βοήθειαν τῶν πτωχῶν καὶ ἀδυνάτων, πρὸ χρόνων τινῶν, προνοίᾳ καὶ κηδεμονίᾳ τῶν αὐτῶν χριστιανῶν, ἀνηγέρθησαν χάνια τινά, ἐπάνω εἰς τόπους βακουφικοὺς ὄντας καὶ ἀγορασθέντας παρὰ τῶν χριστιανῶν καὶ ἀφιερωθέντας εἰς τὰς ἐκκλησίας, τὰς οὔσας ἔν τε τῇ χώρᾳ Μετζόβου καὶ ἐν τοῖς ῥηθεῖσι τέσσαρσι μαχαλάδες, διὰ τὸ ἐνοικιάζεσθαι εἰς τοὺς ἐπιδημοῦντας ξένους, καὶ τὸ ἐξ αὐτῶν πορισζόμενον κέρδος τοῦ ἐνοικίου, ἀμιλίκια κατ' αὐτοὺς λεγομένου, λαμβάνειν τὴν κοινότητα τῶν χριστιανῶν καὶ δαπανᾶν αὐτὸ εἰς τὰς ἀναγκαίας χρείας καὶ ἐξόδους πάλιν τῆς κοινότητος αὐτῶν· ἅτινα χάνια, ὡς βακουφικὰ ὄντα τῶν ἐκκλησιῶν καὶ τῆς κοινότητος αὐτῶν, ἐξουσιάζοντο καὶ ἐκυβερνῶντο ὑπὸ τῆς κοινότητος τῶν χριστιανῶν, προεστώτων τε καὶ γερόντων τῆς πολιτείας Μετζόβου, καὶ ὑπ' αὐτῶν ἐπωλοῦντο παρρησίᾳ εἰς τὸ Μεσοχώριον αὐτῶν λεγόμενον, καὶ ἠγοράζοντο ὑπὸ τῶν χαντζήδων, ἐλάμβανον δ' αὐτὰ οἱ τὸ περισσότερον τῆς τιμῆς εὐγνωμόνως πληροῦντες ἀκωλύτως καὶ ἀνεμποδίστως, πρὸς ὠφέλειαν καὶ βοήθειαν τῶν συδοσιμάτων τῆς κοινότητος αὐτῶν· ὅπερ ἐνοίκιον, συναζό-

μενον ὑπὸ τῶν προεστώτων τῆς Μετζόβου πολιτείας, ἐδαπανᾶτο καὶ ἐδίδετο εἰς τὰς συμπιπτούσας ἀναγκαίας χρείας τῶν βασιλικῶν συδοσιμάτων καὶ λοιπῶν ἀναγκαίων ὑποθέσεων τῆς τε πολιτειας Μετζόβου καὶ τῶν εἰρημένων τεσσάρων μαχαλάδων, ἐπειδὴ ὅλοι οἱ ἀπαιτηταὶ καὶ ἐξουσιασταὶ τῶν συδοσιμάτων τούτων, κατὰ τὴν ἐπικρατοῦσαν συνήθειαν, ἐν τῇ πολιτείᾳ Μετζόβου, ἔρχονται καὶ ἐκεῖθεν λαμβάνουσιν ὅλα τὰ συδοσίματα τῆς τε πολιτείας Μετζόβου καὶ τῶν εἰρημένων τεσσάρων μαχαλάδων, ὁμοῦ καὶ τὰ ἔξοδα τῶν Ντερβεντίων, καὶ οἱ προεστῶτες τοῦ Μετζόβου ἀναγκαίως ὀφείλουσιν ἀπολογεῖσθαι ταῦτα πάντα.

Ἀλλὰ πρὸ χρόνων ἤδη τινῶν τινὲς χριστιανοὶ τῶν αὐτόθι, καὶ μάλιστα τοῦ μαχαλᾶ τῆς Μηλίας, ἐπαναστάντες, πλεονεκτικῶς καὶ ἀδίκως θέλουσιν ἰδιοποιεῖσθαι καὶ κατεξουσιάζειν τὰ κοινὰ καὶ βακουφικὰ χάνια, καὶ εἰς ἴδιον κέρδος καὶ ἀπόλαυσιν χρῆσθαι αὐτοῖς, καὶ διὰ τῆς πλεονεξίας αὐτῶν ταύτης ἀδικοῦσι τοὺς πτωχοὺς χριστιανούς, κατακρατοῦντες τὸ κοινὸν ἀπὸ τοῦ ἐνοικίου τοῦ χανίου τούτου εἰσόδημα· καὶ πρὸς τούτοις καὶ ἄλλο δεινότερον κατεργάζονται τινὲς ἐκ τῶν Μηλιωτῶν χριστιανῶν, ὅτι διὰ τὸ εἶναι πλησιέστεροι αὐτοὶ εἰς τὰ πέριξ ἄλλα ἔξω χωρία, μερικοὶ ἀπὸ αὐτοὺς προαρπάζουσι καὶ ἀμπαριάζουσι καὶ προλαμβάνουσι τὰ γεννήματα καὶ τὰ κρασία, τὰ κομιζόμενα ἐκ τῶν ἔξω περιχώρων, καὶ λοιπὰ χρειώδη εἰς ἀναγκαίαν τροφὴν καὶ κυβέρνησιν τῶν Μετζοβιτῶν καὶ λοιπῶν χριστιανῶν, οἵτινες ἠγόραζον αὐτὰ ἀμέσως παρὰ τῶν κομιζόντων καὶ πωλούντων χριστιανῶν διὰ μετριωτέρας τιμῆς· αὐτοὶ δέ, ὡς πλεονέκται, προαρπάζοντες καὶ ἀμπαριάζοντες αὐτὰ καὶ ὑστεροῦντες τοὺς πτωχοὺς χριστιανοὺς τῆς ἀναγκαίας χρήσεως αὐτῶν, κατακρατοῦσιν ἐπὶ τῷ μεταπωλῆσαι αὐτὰ εἰς ἐκείνους διὰ πολλαπλασίονος τιμῆς, οὐκ εἰδότες τὸ ῥητὸν τῆς Γραφῆς τὸ λέγον· «ὁ τιμιουλκῶν σῖτον ἐπικατάρατος».

Ὅθεν εἰς διόρθωσιν τῶν ἀτοπημάτων τούτων συνεφώνησαν ὁμοθυμαδὸν ἅπαξάπαντες οἱ χριστιανοί· α') μὲν ὅπως τὸ ἀπὸ τοῦδε μηδεὶς τῶν ἐκεῖσε χριστιανῶν, οὔτε ἀπὸ τῆς πολιτείας Μετζόβου, οὔτε ἀπὸ τῶν περιχώρων καὶ συνημμένων αὐτῇ τεσσάρων μαχαλάδων, τολμήσῃ ἰδιοποιεῖσθαι καὶ κρατεῖν βιαίως οὐδὲν ἐκ τῶν εἰρημένων χανίων, τῶν τε ἐν Μετζόβῳ καὶ τῶν ἐν τοῖς τέσσαρσι μαχαλάσιν, ἀλλ' ὡς βακουφικὰ ὄντα τῶν ἐκκλησιῶν καὶ τῆς κοινότητος, πάλιν ὑπὸ τῆς κοινότητος διεξάγεσθαι καὶ διακυβερνᾶσθαι· β') δὲ ὅτι τὰ χάνια αὐτὰ ἔχουσι πωλεῖσθαι καὶ δίδοσθαι κατ' ἔτος μετὰ ἐνοικίου, ἀμιλικίου λεγομένου, πρὸς τοὺς διδόντας τὰ περισσότερα ἄσπρα, ἐν τῷ γινομένῳ μεζατίῳ ὑπὸ τῆς κοινότητος τῶν χριστιανῶν κατὰ τὸ Μεσοχώριον Μετζόβου· γ') ὅτι τὴν πώλησιν ταύτην γίνεσθαι παρρησίᾳ καὶ φανερῶς, οὐ μὴν δὲ

κρυφίως καὶ μετὰ δολιότητος, ἀλλ' ὅστις ἂν αὐξήσῃ τὴν τιμὴν καὶ δώσῃ τὸ περισσότερον πρὸς ὠφέλειαν τοῦ κοινοῦ, καὶ ἄξιός ἐστι κυβερνῆσαι ἐκεῖνα, τῷ τοιούτῳ δίδοσθαι ἀπαθῶς καὶ ἀφιλοπροσώπως, καὶ μὴ δύνασθαι μεσολαβεῖν μηδένα ἐκ τῶν πλουσίων καὶ προκρίτων καί, βάλλοντα πρόσωπον ἑτέρου, ὑπούλως καὶ λεληθότως λαμβάνειν αὐτὰ δι' ὀλίγης τιμῆς ἐπὶ βλάβῃ τῶν πτωχῶν· δ') ὅτι τὰ γινόμενα γράμματα ἐπὶ τῇ πωλήσει ταύτῃ ἐπὶ συμπεφωνημένῃ τιμῇ τοῦ τὴν περισσοτέραν τιμὴν διδόντος, καὶ ἡ ἐμπεριεχομένη ἐν αὐτοῖς συμφωνία ὀφείλει ἔχειν τὸ κῦρος καὶ τὴν ἰσχὺν βεβαίαν καὶ ἀμετάθετον καὶ ὅλως ἀπαρασάλευτον μέχρι τῆς συμπληρώσεως τοῦ χρόνου· ε') ὅτι τὰ συναγόμενα ταῦτα ἄσπρα ἀπό τε τῶν χανίων καὶ λοιπῶν εἰσοδημάτων ἐκκλησιαστικῶν ἔχουσι δίδοσθαι εἰς τοὺς ἐπιτρόπους τῶν ἐκκλησιῶν, κἀκεῖνοι παραλαμβάνοντες καὶ φυλάττοντες αὐτὰ ἔχουσι διδόναι ταῦτα εἰς τὴν κοινότητα τῶν χριστιανῶν μετὰ καθαροῦ λογαριασμοῦ τῶν τε συναχθέντων καὶ τῶν ἐξοδευθέντων· ς') ὅτι τὸ ἐνοίκιον τοῦτο ὀφείλουσι ζητεῖν καὶ παραλαμβάνειν οἱ χαντζῆδες παρὰ τῶν ἐπιδημούντων καὶ κονευόντων εἰς τὰ χάνια ξένων, οὐ μὴν δὲ παρὰ τῶν ἐντοπίων, κατὰ τὴν ἐπικρατοῦσαν συνήθειαν· οἱ δὲ ἐντόπιοι ἔχουσιν ἄδειαν κονεύειν ὅπου ἂν θέλωσι, καὶ μὴ ἀναγκάζεσθαι κονεύειν εἰς τὰ χάνια παρὰ τῶν χαντζήδων· ζ') ὅτι οἱ καθιστάμενοι ἐπίτροποι ἐκ μέρους τῆς κοινότητος, εἴτε τῶν ἐκκλησιῶν, εἴτε γέροντες τῆς χώρας τοῦ Μετζόβου, ἀπαραιτήτως ὀφείλουσι διδόναι καθ' ἕκαστον χρόνον λογαριασμὸν περὶ τῶν συναχθέντων εἰσοδημάτων καὶ γινομένων δαπανημάτων εἰς τὴν κοινότητα τῆς χώρας, καὶ ἀποκαθιστᾶν τὸ δίκαιον τῆς κοινότητος ἀνελλιπῶς· η') ὅτι καὶ ὅσοι ἐν τοῖς προλαβοῦσι χρόνοις ἐχρημάτισαν ἐπίτροποι τῶν ἐκκλησιῶν καὶ ἐσύναξαν τὰ εἰσοδήματα ἀπό τε τῶν χανίων καὶ ἀπὸ ἄλλων ἐκκλησιαστικῶν κτημάτων τῶν εἰρημένων βακουφίων ὀφείλουσι καὶ αὐτοί, κατὰ χρέος ἀπαραίτητον, δοῦναι καθαρὸν λογαριασμὸν περί τε τῶν εἰσοδευθέντων καὶ ἐξοδευθέντων ἄσπρων, ἐν φόβῳ Θεοῦ καὶ ἀφιλοπροσώπως· θ') ὅτι μηδένα ἐκ τῶν ἐγχωρίων τοῦ μαχαλᾶ τῆς Μηλίας, οὔτε ἀπὸ ἄλλου τινός, τολμᾶν προλαμβάνειν καὶ ἀμπαριάζειν καὶ κατακρατεῖν τὰ ἔξωθεν ἐκ τῶν πλησιοχώρων κομιζόμενα κριθάρια καὶ κρασία καὶ ἄλλα χρειώδη, ἐπὶ σκοπῷ τοῦ μεταπωλεῖν ὕστερα αὐτὰ διὰ βαρυτέρας τιμῆς, ἀλλ' ἐᾶν τοὺς κομίζοντας αὐτὰ πωλητὰς ἀπιέναι εἰς τὴν χώραν Μετζόβου καὶ πωλεῖν αὐτὰ ἀμέσως πρὸς τοὺς θέλοντας ἀγοράζειν χριστιανούς· ι') ὅτι τὰς γενομένας κατὰ τόπον ὁμολογίας καὶ λοιπὰ συμφωνητικὰ γράμματα, ἐπὶ παρουσίᾳ τοῦ κατὰ τόπον πατριαρχικοῦ ἐξάρχου καὶ τῶν προεστώτων καὶ γερόντων μὴ ἀνατρέπεσθαι καὶ ἀκυροῦσθαι, ἀλλ' ἔχειν τὸ κῦρος καὶ τὴν ἰσχὺν βεβαίαν καὶ ἀμετάθετον· ὅπως διὰ τῶν ἐκτεθέντων ἀνωτέρω κοινῶν ὑπ' αὐτῶν διορισμῶν καὶ κεφα-

λαίων τούτων καὶ συνθηκῶν, ἥτε πολιτεία αὐτῶν καὶ οἱ μαχαλάδες ἔχωσιν εἰρηνικὴν κατάστασιν καὶ ὁμόνοιαν καὶ εὐκατάστατον διεξαγωγήν, οἵ τε πτωχοὶ χριστιανοὶ ἔχωσιν ἄνεσιν καὶ εἰς τὰ δοσίματα αὐτῶν ἐλάφρωσιν, καὶ μὴ ὑστερῶνται τῆς ἀναγκαίας αὐτῶν ζωοτροφίας, ἐν τοῖς γεννήμασι καὶ λοιποῖς χρειώδεσι, διὰ τῆς κακομηχανίας τῶν εἰρημένων μεταπρατῶν καὶ καπήλων ἀμπαριαστῶν. Κατὰ δὲ τοῦ τολμήσοντος ἐξ αὐτῶν ἀθετῆσαι καὶ παραβῆναι τι τῶν ἐν τῷ παρόντι ὑπὸ τῆς κοινότητος αὐτῶν συμφωνηθέντων καὶ διορισθέντων ἔχει γίνεσθαι ἀναφορὰ κατὰ τοῦ τοιούτου παραβάτου τῶν κοινῶν αὐτῶν συνθηκῶν, ἐκ μέρους τοῦ ἐξάρχου καὶ τῶν γερόντων, καὶ τότε παιδεύεσθαι αὐτὸν ἀπροκριματίστως παρὰ τῆς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ὡς στασιαστὴν καὶ φιλοτάραχον καὶ ἐχθρὸν καὶ πολέμιον τῆς κοινότητος αὐτῶν. Ὅθεν εἰς τὴν περὶ τούτου ἔνδειξιν καὶ βεβαίωσιν καὶ διηνεκῆ ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσα τῆς πατριαρχικῆς αὐλῆς ὁμολογία, ἐπὶ βεβαιώσει τοῦ παναγιωτάτου καὶ σεβασμιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου Σαμουήλ, καὶ μαρτυρίᾳ τιμιωτάτων καὶ λογιωτάτων κληρικῶν τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη τῇ κοινότητι τῆς πολιτείας Μετζόβου, καταστρωθεῖσα κἂν τούτῳ τῷ ἱερῷ κώδικι τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει ,αψξδ΄. Δεκεμβρίου ιθ΄.

Μέγας ἐκκλησιάρχης Κριτίας μάρτυς — Λογοθέτης Γεώργιος μάρτυς — Μέγας διερμηνευτὴς Γεώργιος μάρτυς — Πρῶτος ὀστιάριος μάρτυς — Πρωταποστολάριος Ἰωάννης μάρτυς — Λαμπαδάριος Δανιὴλ μάρτυς — Ἄρχων τῶν ἐκκλησιῶν Μᾶρκος μάρτυς — Νοτάριος Σπαντωνῆς μάρτυς — Νοτάριος Γεώργιος μάρτυς — Νοτάριος Γεώργιος μάρτυς.

XI. 1771, ноябрь, инд. XV. Грамота патріарха Гавріила IV и священнаго синода о пожалованіи великому логоѳету Александру Маносу патріаршихъ экзархій Волисса, Пиргія, Псирронъ, Каварны и Инея.

К. П. А., VII, 147.

Ἴσον τοῦ ἐκδοθέντος πατριαρχικοῦ γράμματος περὶ τῶν φιλοτιμηθεισῶν ἐξαρχιῶν τῷ ἤδη πανευγενεστάτῳ ἄρχοντι μεγάλῳ λογοθέτῃ κυρίῳ Ἀλεξάνδρῳ Μάνῳ.

Γαβριὴλ κτλ.

Ἄνδρας εὐγενείᾳ συντεθραμμένους, περιφανεῖς τε καὶ ἐπισήμους

λαμπραῖς τοῦ γένους διαδοχαῖς, παιδείᾳ τε τῇ προσηκούσῃ κεκοσμημένους, φυσικοῖς τε καὶ ἐπεισάκτοις προτερήμασι καὶ πλεονεκτήμασι καὶ πολλῶν ἄλλων ὑπερφέροντας καλοκαγαθίᾳ καὶ ἔρωτι τῷ πρὸς τὰ καλά, ναὶ μὴν καὶ διακαέστατον ζῆλον ἐνδεικνυμένους εἰς τὴν κοινὴν ταύτην Μητέρα ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν, γεραίρειν οἶδεν τὸ περιούσιον ταύτης ὕψος τοῖς ἐνοῦσι καὶ ἐφικτοῖς, καὶ εἰς ὀφφίκια προβιβάζειν δι' ἱερᾶς σφραγῖδος, καὶ πρωτεύοντας καθιστᾶν τῶν ἐγκατειλεγμένων τῷ εὐαγεῖ κλήρῳ τοῦ καθ' ἡμᾶς ἀποστολικοῦ, πατριαρχικοῦ καὶ οἰκουμενικοῦ θρόνου, καὶ εὐκλείας καὶ τιμῆς ἀξιοῦν καὶ πνευματικῆς χάριτος, ἐκχεομένης, ὡς ἀπὸ πηγῆς πολυχεύμονος, ἀπὸ τῆς οἰκουμενικῆς ταύτης καθέδρας, τῆς τὰ πρεσβεῖα ἐχούσης κατὰ παντὸς ἀποστολικοῦ θρόνου καὶ ὑπερεχούσης τακτικῇ μεγαλειότητι. Ἐπειδὴ τοιγαροῦν καὶ τοῦ πανευγενεστάτου ἄρχοντος μεγάλου λογοθέτου χρηματίσαντος τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, υἱοῦ κατὰ πνεῦμα ἀγαπητοῦ καὶ περιποθήτου τῆς ἡμῶν μετριότητος κυρίου Μανουὴλ Μάνου, οἰκείᾳ βουλῇ καὶ αὐθαιρέτῳ γνώμῃ καὶ προαιρέσει παραιτησαμένου ἤδη ἐγγράφως τοῦ ἐκκλησιαστικοῦ τούτου ὀφφικίου τῆς μεγάλης λογοθεσίας, καὶ δεηθέντος τῆς ἡμῶν μετριότητος ἐπιχορηγῆσαι τὸ ὀφφίκιον τοῦτο τῷ υἱῷ αὐτῆς, πανευγενεστάτῳ ἄρχοντι μεγάλῳ μπάνῳ, κυρίῳ Ἀλεξάνδρῳ Μάνῳ, γαμβρῷ ἐπὶ ἐκλάμπρῳ θυγατρὶ τοῦ εὐσεβεστάτου καὶ ὑψηλοτάτου αὐθέντου καὶ ἡγεμόνος μεγαλοπρεπεστάτου πάσης Οὐγγροβλαχίας κυρίου κυρίου Ἰωάννου Ἀλεξάνδρου Ὑψηλάντου Βοεβόδα, υἱοῦ δὲ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητοῦ καὶ λίαν περιποθήτου τῆς ἡμῶν μετριότητος, ἐπενεύσαμεν ἑτοίμως εἰς τὴν αἴτησιν ταύτην τῆς εὐγενείας αὐτοῦ, ὡς εὔλογον οὖσαν καὶ πρέπουσαν· οὐ μόνον γὰρ ἄξιον καὶ πρόσφορον οἴδαμεν τὴν εὐγένειαν αὐτοῦ εἰς διαδοχὴν τοῦ πρωτίστου τούτου ὀφφικίου τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, διὰ τὰς ἐνούσας αὐτῷ ἀρετὰς καὶ πρὸ πάντων διὰ τὴν χριστιανικὴν αὐτοῦ πολιτείαν καὶ τὸν περὶ τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν ζῆλον, καὶ τὴν εἰς τὰ θεῖα ἄκραν εὐλάβειαν καὶ τὴν φρόνησιν ἐν πάσαις ταῖς ἀναστροφαῖς αὐτοῦ καὶ ταῖς πράξεσιν· οὐ γὰρ χρὴ τὴν σύνεσιν ἡλικίᾳ κρίνειν, οὐδὲ τὸν νέον, συνετὸν ὄντα καὶ νουνεχῆ καὶ φόβου θείου ἐμπεπλησμένον, ἀπείργειν ἀπὸ διακονίας ἱερᾶς καὶ στάσεως ὑπερεχούσης τῶν ἄλλων, ὥσπερ καὶ Σειρὰχ ὁ γεραρὸς ἀποφαίνεται, ὡς οὐκ οἶδεν ὁ τῶν ὅλων Θεὸς ἡλικίας διαφοράν, ἀλλ' εὐσέβειαν μόνην καὶ φιλοθεΐαν ζητεῖ, κἂν δ' εὑρῇ ταύτην ἐν νέῳ, πολλῶν τούτων προτίθησι πρεσβυτέρων· ἀλλὰ δὴ καὶ δίκαιον ἐκρίναμεν τυχεῖν τοῦ ὀφφικίου τούτου καὶ πατρόθεν αὐτῷ προσήκοντος. Προὐχειρισάμεθα οὖν τὴν εὐγένειαν αὐτοῦ, διὰ τῆς χάριτος τοῦ παναγίου καὶ ζωοποιοῦ καὶ τελεταρχικοῦ Πνεύματος, κατὰ τὴν ἀνέκαθεν ἱερὰν τῆς Ἐκκλησίας τάξιν καὶ ὑποτύπωσιν, καὶ προὐβι-

βάσαμεν εἰς τὸ τοῦ μεγάλου λογοθέτου ὀφφίκιον τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας· ἐπομένως δὲ ἐφιλοτιμησάμεθα τῇ εὐγενείᾳ αὐτοῦ, κατὰ πατριαρχικὴν ἡμῶν φιλοτιμίαν καὶ τὰς πατριαρχικὰς ἡμῶν ἐξαρχίας ταύτας, δηλαδὴ τῆς Βολισσοῦ, τοῦ Πυργίου, τῶν Ψυρρῶν, τῆς Καβάρνας καὶ τοῦ Ἰνέου ἐπὶ τῷ ἔχειν αὐτὰς ἐφ' ὅρου ζωῆς αὐτοῦ ἀναφαιρέτως καὶ ἀναποσπάστως, καὶ διοικεῖν δι' ἐπιτρόπων αὐτοῦ καὶ καρποῦσθαι καὶ νέμεσθαι τὰ ἐξ αὐτῶν συνήθη ἐξαρχικὰ δικαιώματα ἀνελλιπῶς. Ὅθεν γράφοντες διὰ τοῦ παρόντος συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἀποφαινόμεθα, ἵνα ὁ διαληφθεὶς πανευγενέστατος ἄρχων μέγας λογοθέτης τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κύριος Ἀλέξανδρος Μάνος, υἱὸς ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς καὶ λίαν περιπόθητος τῆς ἡμῶν μετριότητος, ἔχῃ τὴν τιμὴν καὶ στάσιν καὶ τάξιν τοῦ ὀφφικίου αὐτοῦ τούτου τῆς μεγάλης λογοθεσίας ἐν πάσαις ταῖς χριστιανικαῖς συνελεύσεσι, καὶ προτιμώμενος καὶ προκαθεζόμενος πάντων τῶν ὀφφικιαλίων τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ πατριαρχικοῦ καὶ οἰκουμενικοῦ τούτου θρόνου, καὶ πάσης τῆς ἀνηκούσης τῷ ὀφφικίῳ τούτῳ εὐκλείας καὶ δόξης καὶ τιμῆς εὐλόγως τε καὶ πρεπόντως ἀξιούμενος, πρὸς δὲ τούτοις ὑπάρχῃ καὶ λέγηται καθολικὸς ἔξαρχος τῶν εἰρημένων πατριαρχικῶν ἡμῶν ἐξαρχιῶν τῆς Βολισσοῦ, τοῦ Πυργίου, τῶν Ψυρρῶν, τῆς Καβάρνας καὶ τοῦ Ἰνέου, καὶ ἔχῃ ταύτας ἐφ' ὅρῳ ζωῆς αὐτοῦ ἀναφαιρέτως καὶ ἀναποσπάστως, καὶ διοικῇ δι' ἐπιτρόπων αὐτοῦ, καρπούμενος τὰ ἐξ αὐτῶν συνήθη καὶ διατεταγμένα εἰσοδήματα ἐξαρχικὰ καὶ δικαιώματα σῶα καὶ ἀνελλιπῆ, μηδενὸς ἐναντιουμένου τὸ παράπαν ἢ ἀντιλέγοντος. Ὅθεν εἰς ἔνδειξιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν γράμμα καί, καταστρωθὲν ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐπεβραβεύθη τῷ πανευγενεστάτῳ ἄρχοντι λογοθέτῃ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κυρίῳ Ἀλεξάνδρῳ Μάνῳ.

Ἐν ἔτει σωτηρίῳ ,αψπα', ἐν μηνὶ νοεμβρίῳ, ἰνδικτιῶνος ιε'.

Ὁ Ἡρακλείας Μεθόδιος — Ὁ Νικομηδείας Μελέτιος — Ὁ Χαλκηδόνος Παρθένιος — Ὁ Δέρκων Ἀνανίας — Ὁ Τυρνόβου Καλλίνικος — Ὁ Προύσης Ἄνθιμος — Ὁ Δράμας Γρηγόριος — Ὁ Σμύρνης Προκόπιος — Ὁ Χριστιανουπόλεως Ἱερεμίας.

XII. 1790, май, инд. VIII. Грамота патріарха Неофита VII и священнаго синода о востановленіи великой логоѳетіи и о пожалованіи великому логоѳету Александру Маносу патріаршихъ экзархій.

К. П. А., VII, 252—253.

Ἴσον πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος περὶ τῆς μεγάλης λογοθεσίας αὖθις καὶ τῶν ἐπ' αὐτῇ ἐξαρχιῶν τοῦ ἐνδοξοτάτου ἄρχοντος μεγάλου λογοθέτου τῆς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κυρίου Ἀλεξάνδρου Μάνου.

Νεόφυτος κτλ.

Ποικίλους μὲν εἶναι τοὺς ἀνθρώπους τοῖς ἤθεσι πρὸς ἀρετὴν καὶ κακίαν, καὶ οἵους μὴ ῥᾳδίως διαγινώσκεσθαι συγκαλυπτομένους, περὶ τούτου οὐδεὶς ἂν οἶμαι ἀμφισβητήσειεν· ἀλλ' ὁ ἄπειρος τῇ σοφίᾳ καὶ παντουργὸς Θεὸς δυσὶ καὶ μόνοις τρόποις πᾶν τὸ ἐν ἀνθρώποις ποικίλον καὶ πολύτροπον σαφῶς ἀπελέγχει, ἀποπειρώμενος, κατὰ τὸν μέγαν τῆς Ἐκκλησίας πατέρα Βασίλειον, τοὺς μὲν τῇ προσθήκῃ τῶν ἀγαθῶν, ὡς ἐπὶ τοῦ ἐν εὐαγγελίοις πλουσίου, τοὺς δὲ τῇ ἀφαιρέσει τῶν εὐτυχημάτων, ὡς ἐπὶ τοῦ Ἰὼβ· ἐφ' οὗ μὲν γὰρ τὸ ἄπληστον καὶ μικρόψυχον σαφῶς ἀπηλέγχθη, ἐφ' οὗ δὲ τὸ ἄτρωτον καὶ μεγαλόψυχον τῇ ὑπομονῇ ἀναντιῤῥήτως ἀπεδείχθη· ἅπερ ἀμφότερα καὶ τῆς πείρας εἴδη καὶ ὁ καθ' ἡμᾶς βίος ὡς ἐπὶ σκηνῆς τῆς μεγάλης λογοθεσίας, ἄντικρυς ἐπεδείξατο ἐν τῷ ἐνδοξοτάτῳ καὶ πανευγενεστότῳ ἄρχοντι μεγάλῳ μπάνῳ καὶ ἡμετέρῳ κατὰ πνεῦμα υἱῷ ἀγαπητῷ καὶ περιποθήτῳ κυρίῳ Ἀλεξάνδρῳ Μάνῳ· νῦν μὲν προσθεὶς τῇ αὐτοῦ ἐνδοξότητι κανονικῶς τὴν μεγάλην ταύτην λογοθεσίαν τοῦ καθ' ἡμᾶς πατριαρχικοῦ ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου, νῦν δ' ἀφελόμενος κατὰ συμφοράν, ἤδη δ' αὖθις κατὰ τὸ δίκαιον ἀποκαταστήσας, θείᾳ τινί, τῷ ὄντι, οἰκονομίᾳ· διὰ ὑψηλῶν μὲν γὰρ προσκυνητῶν ὁρισμῶν τὰ πλεῖστα τούτων ἐγένετο, καρδία δὲ βασιλέως ἐν χειρὶ Θεοῦ, κατὰ τὸ ἱερὸν λόγιον, καὶ ἔοικεν, ὡς ἀληθῶς, παρὰ μὲν ἀνθρώποις ἀφαιρεθῆναι τὴν λογοθεσίαν ταύτην τότε ἀπὸ τῆς αὐτοῦ ἐνδοξότητος, παρὰ δὲ Θεῷ οὐκ ἀφαίρεσιν ἐκείνην εἶναι τῆς κτήσεως τῆς λογοθεσίας, ἀλλὰ πρὸς καιρὸν τῆς χρήσεως ἀποστέρησις καὶ ἀπόπειρα τῆς ἐν συμφοραῖς μεγαλοψυχίας αὐτοῦ, ἵνα τῷ διττῷ τῆς πείρας τὸ ἀμφιδέξιον τῆς αὐτοῦ ἀρετῆς ἐπὶ τῶν πραγμάτων ἀποδειχθῇ ἐν εὐτυχίαις τε καὶ δυστυχίαις· ἡ γὰρ αὐτοῦ ἐνδοξότης ἐν τῇ Βασιλευούσῃ ταύτῃ τῶν πόλεων ἐπίσημος οὖσα τῷ γένει, πατρόθεν τε καὶ μητρόθεν ἐκ πολλῶν διαδοχῶν, τέως μὲν ὑπὸ εὐγενέσι γονεῦσι καὶ ὑπὸ διδασκάλοις οὐκ εὐκαταφρονήτοις ἀνετράφη, ἀχθεῖσα, ὡς εἰκός, ἐν ἤθεσιν ἐπαινετοῖς καὶ ἐν τῇ περὶ τοὺς λόγους διατριβῇ· ἐπεὶ δὲ εἰς ἄνδρας ἐτέλεσεν, εὐθὺς ἦν ἰδεῖν τὴν αὐτοῦ

ἐνδοξότητα ἐπιδεικνυομένην, ἔν τε ταῖς πρὸς τοὺς ἄλλους ἐντεύξεσι καὶ ταῖς λοιπαῖς αὐτοῦ διατριβαῖς, τὸ νουνεχὲς αὐτοῦ καὶ τὸ περὶ τὴν πολιτικὴν φρόνησιν ἐπιτήδειον, καὶ τὰ χριστιανικὰ προτερήματα· καὶ ἐπιτηδεύματα δὲ προείλετο, οὐχ οἷα ἄν τις καταφρονητὴς τοῦ γένους, ἀλλ' ἅπερ ᾤετο προσήκειν αὐτῷ περὶ αὐθεντικὰς ὑπουργίας· τὰς δὲ πράξεις αὐτοῦ οὐ μικρὸν ἂν εἴη ἔργον ἀπαριθμήσασθαι, τὸ πρὸς τοὺς ἐντυγχάνοντας φαιδρὸν καὶ ἐπιχαρές, τὸ πρὸς τοὺς δεομένους ἐκ τῶν ἐνόντων ἐπικουρητικόν, τὸ ἐπὶ μεγάλων βεβουλευμένον καὶ κατορθωτικόν, καὶ ἁπλῶς εἰπεῖν πᾶσαν ἂν κατίδοι τις ἐν αὐτῷ διανοητικήν τε καὶ προνοητικὴν ἀρετήν· δι' ὃ καὶ ἀξίως γένει λαμπρῷ εἰς συνοικίαν γάμῳ συνήχθη, καὶ εἰς ὑπέρτιμον ὀφφίκιον τῆς μεγάλης μπανίας προεβιβάσθη, καὶ τοῦ πατρὸς δὲ αὐτῷ Ἐμμανουὴλ Μάνου παραιτησαμένου τῆς μεγάλης λογοθεσίας τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, γνώμῃ κοινῇ καὶ συνοδικῇ κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ ὑποτύπωσιν προεχειρίσθη καὶ προεβιβάσθη παρὰ τῆς Ἐκκλησίας εἰς τὸ ἔντιμον τοῦτο ὀφφίκιον, προσλαβὼν καὶ τὰς ἐπ' αὐτῷ διωρισ*) . . . . . πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν ὀγδοηκοστὸν πρῶτον σωτήριον ἔτος . . . . . τῇ αὐτοῦ ἐνδοξότητι τὸ ὀφφίκιον τοῦτο, πᾶσαν προθυμίαν ἐνδεικνυμένῳ, καὶ πάντα χριστιανικὸν ζῆλον . . . . . δυνατὸν πρὸς τὰς ἐκκλησιαστικὰς χρείας καὶ ὑποθέσεις· μετὰ δὲ παρέλευσιν ἐτῶν ὡς ἑπτὰ. . . . . ὀφφίκιον τοῦτο τῆς μεγάλης λογοθεσίας ἀφῃρέθη μὲν ἀπὸ τῆς αὐτοῦ ἐνδοξότητος δι' ὑψηλῆς βασιλικῆς προσκυνητῆς . . . . . εἰς τοῦτο ὁ εὐγενέστατος τότε δραγουμάνος τοῦ βασιλικοῦ στόλου Στεφανάκης Μαυρογένης κατὰ τὸ χιλιοστὸν . . . . . σωτήριον ἔτος διὰ πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος κατὰ τὴν σφοδρὰν τότε προσκ. . . . . καὶ εὐμενῶς ἠξιώθη παρὰ τοῖς πολυχρονίοις ἡμῶν αὐθέντας, ὅμως τὴν τῆς . . . . . ὑπέφερε καὶ τῆς λογοθεσίας ταύτης ἀφαίρεσιν· ἀλλ' ἤδη τοῦ ῥηθέντος Στεφανάκη . . . . . καὶ γενομένης πρὸς ἡμᾶς βασιλικῆς προσκυνητῆς ἐγγράφου ἐπιταγῆς καὶ διατάξεως, ἐν ᾗ σαφῶς δηλοποιεῖται, ὅτι ὁ ῥηθεὶς Στεφανάκης καιροῦ λαβόμενος ἀδίκως ἐλαφυραγώγησε τὸ ῥηθὲν ὀφφίκιον τῆς λογοθεσίας, καὶ ἐπετάχθημεν, μετὰ πάσης τῆς περὶ ἡμᾶς ἱερᾶς τῶν ἁγίων ἀρχιερέων ὁμηγύρεως καὶ συνόδου καὶ μετὰ πάντων τῶν προκριτωτέρων τοῦ γένους ἡμῶν, προελέσθαι καὶ ἐκλέξαι τὸν δικαιούμενον λαβεῖν τὸ ὀφφίκιον τοῦτο. Διὰ τοῦτο γνώμῃ κοινῇ καὶ συνοδικῇ ἐξελεξάμεθα αὖθις τὴν αὐτοῦ

*) Ἡ σελὶς πρὸς τὸ ἔσω μέρος εἶναι ἐσχισμένη ὀλίγον, λείποντος τεμαχίου αὐτῆς. (Σημ. τοῦ ἐκδότου).

ἐνδοξότητα, οὐχ ὡς μόνον δικαιούμενον, ἀλλ' ὡς καὶ ἄξιον τοῦ ὀφφικίου τούτου διὰ τὰ ῥηθέντα ἐν αὐτῷ προτερήματα· δι' ὃ καὶ τῆς ἐκλογῆς ἡμῶν ταύτης ἐπικυρωθείσης δι' ὑψηλοῦ βασιλικοῦ προσκυνητοῦ Χάττι σεριφίου, νομίμως καὶ κανονικῶς ἀποκατεστήσαμεν τὴν αὐτοῦ ἐνδοξότητα αὖθις εἰς τὸ ὀφφίκιον τοῦτο τῆς μεγάλης λογοθεσίας ἐπὶ ταῖς αὐταῖς ἐξαρχίαις· αἱ γὰρ μεταγενέστεραι διατάξεις τῶν βασιλέων, ὡς φαίνεται παρὰ τῷ ἱερῷ Ἀρμενοπούλῳ ἐν τῷ πρώτῳ βιβλίῳ τῆς Ἐξαβίβλου, ἰσχυρότεραι τῶν πρὸ αὐτῶν εἰσι. Γράφοντες οὖν κατά τε τοὺς ἐκκλησιαστικοὺς καὶ πολιτικοὺς νόμους ἀποφαινόμεθα συνοδικῶς, μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ μὲν ῥηθὲν πατριαρχικὸν καὶ συνοδικὸν γράμμα τῆς μεγάλης λογοθεσίας, τὸ δοθὲν εἰς τὸν ῥηθέντα ἄρχοντα Στεφανάκην Μαυρογένην, ὡς ἀδίκως εἰλημμένον, κατὰ τὴν ἐμφάνισιν τοῦ ἤδη ἐκδοθέντος βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ, ὀβελισθῇ ἀπὸ τῶν ἱερῶν κωδίκων τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, μένον πάντῃ ἄκυρον καὶ ἀνίσχυρον, ὡς χάρτης ἄγραφος νομιζόμενον, ὥστε τὸν ῥηθέντα Στεφανάκην μηδὲ ὅλως λέγεσθαί ποτε λογοθέτην, ὁ δὲ ῥηθεὶς ἐνδοξότατος ἄρχων μέγας λογοθέτης τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἡμέτερος κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς καὶ περιπόθητος κὺρ Ἀλέξανδρος Μάνος, ὡς νόμιμος καὶ κανονικός, ἔχῃ αὖθις, ὡς καὶ πρότερον, τὴν τιμήν, τάξιν τε καὶ ἕδραν τοῦ ὀφφικίου τούτου τῆς μεγάλης λογοθεσίας, ἐν πάσαις ταῖς χριστιανικαῖς συνελεύσεσι προτιμώμενος, προκαθήμενός τε καὶ προεδρεύων πάντων τῶν ὀφφικιαλίων τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου, καὶ πάσης τῆς πρεπούσης τῷ ὀφφικίῳ τούτῳ αὐτοῦ φιλοφροσύνης, δεξιώσεώς τε καὶ τιμῆς ἀνελλιπῶς καὶ κατὰ τὸ καθῆκον παρὰ πάντων ἀξιούμενος, οὐ μὴν ἀλλά γε ὑπάρχῃ τε καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται καθολικὸς ἔξαρχος τῶν ἀνηκουσῶν αὐτῷ ἡμετέρων πατριαρχικῶν ἐξαρχιῶν τοῦ Βολισσοῦ, τοῦ Πυργίου, τῶν Ψυρρῶν, τῆς Καβάρνας καὶ τοῦ Ἰνέου, ἔχων αὐτὰς ἐφ' ὅρῳ ζωῆς αὐτοῦ ἀναφαιρέτως καὶ ἀναποσπάστως, καὶ διοικῇ αὐτὰς δι' ἐπιτρόπων, ἀπολαμβάνων καὶ καρπούμενος ἀνελλιπῶς πάντα τὰ ἀπ' αὐτῶν ἀνέκαθεν καὶ ἐξ ἀρχῆς συνήθη ἐξαρχικὰ εἰσοδήματα καὶ δικαιώματα, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος. Δι' ὅ, εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη τῇ αὐτοῦ ἐνδοξότητι.

͵αψϟ'.. ἐν μηνὶ μαΐῳ, ἰνδικτιῶνος η'.

Ὁ Καισαρείας Γρηγόριος — Ὁ Ἐφέσου Σαμουήλ — Ὁ Ἡρακλείας Μεθόδιος — Ὁ Κυζίκου Ἀγάπιος — Ὁ Νικομηδείας Γερά-

σιμος — Ὁ Δέρκων Ἀνανίας — Ὁ Τυρνόβου Καλλίνικος — Ὁ Λαρίσσης Μελέτιος — Ὁ Σερρῶν Ματθαῖος.

XIII. 1797, іюнь, инд. XV. Сигиллій патріарха Григорія V о соединеніи архіепископій Мила—Кимола и Сифна Микона въ одну епархію и о возведеніи ея въ достоинство митрополіи.

К. П. А., VIII, 294—295.

Ἴσον ἀπαράλλακτον τοῦ περὶ τῆς ἀρχιεπισκοπῆς Μήλου καὶ Κιμώλου, ἐνωθείσης ἤδη μετὰ τῆς ἀρχιεπισκοπῆς Σίφνου καὶ Μυκόνου καὶ μητροπόλεως μιᾶς ἀποδειχθείσης, σιγγιλλίου γράμματος.

† Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ὥσπερ οἱ φυτοκόμοι οὐδέποτε παρορῶσι τὰ φυτὰ δι' ἀνυδρίας μαραίνεσθαι, ἀλλ' ἐκ παντὸς τρόπου ἐπιμελοῦνται αὐτῶν, ῥύακας ἐπ' αὐτὰ ἀποτέμνοντες καὶ τὰ παραρρέοντα μετοχετεύοντες ὕδατα καὶ ὅπερ ἡ τύχη τοῖς φυτοῖς ἀφαιρεῖ τοῦτο αὐτοὶ μετὰ τέχνης προστιθέασιν, οὕτω τοι καὶ τῷ πνευματικῷ φυτοκόμῳ, τῷ τῇ ἐξ ὕψους περινοίᾳ ἀποκαταστάντι ἐπιμελητῇ τοῦ πνευματικοῦ ἀμπελῶνος, καὶ τούτου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ περισταμένου τῆς μυστικῆς τοῦ Θεοῦ τραπέζης, εὐσεβῶν ἔργων ἁπάντων ἀναγκαιότατον, περισκοπεῖν τὰς ὑπὸ τὴν ἐπίσκεψιν αὐτοῦ παροικίας, φυτῶν ὑψικόμων καὶ ἀειθαλῶν λόγον ἐχούσας, ἐπὶ μὴ τῷ μαραίνεσθαι νοητῶς, ἐκλιπούσης τῆς πνευματικῆς ἀρδεύσεως καὶ τῆς εὐαγγελικῆς διδασκαλίας, τῆς εὐφραινούσης τὰς τῶν εὐσεβῶν ψυχὰς ὑπὲρ μέλι καὶ κηρίον· καὶ μάλιστα τούτων τοῖς τὴν ἀκροτάτην λαχοῦσι περιωπὴν τοῦ οἰκουμενικοῦ ὕψους, ἀφ' ἧς, ὡς ἐξ ἀπόπτου τινὸς σκοπιᾶς, ἐνδελεχῶς παραπέμπειν κύκλῳ τὰς ὄψεις ἔστιν. Ὅθεν καὶ ἡ μετριότης, ἡμῶν τοῦ τοιούτου ὕψους ἀξιωθεῖσα καὶ τὴν προσήκουσαν φροντίδα ὑπὲρ πάντων ποιουμένη, ἔγνω τὰς δύο ἀρχιεπισκοπάς, τήν τε Μήλου καὶ Κιμώλου καὶ τὴν Σίφνου καὶ Μυκόνου, σὺν ταῖς λοιπαῖς αὐτῆς νήσοις, ἑνῶσαι εἰς ἐπαρχίαν μίαν καὶ τιμῆσαι αὐτὴν εἰς μητρόπολιν. Τοῦ γὰρ θεοφιλεστάτου ἐπισκόπου Μήλου καὶ Κιμώλου συναδέλφου ἡμῶν ἀγαπητοῦ κὺρ Δανιὴλ παραίτησιν οἰκειοθελῆ καὶ ἀβίαστον ποιησαμένου, ἀνεφάνη ἡ ἀρχιεπισκοπὴ ἐκείνη καὶ οἱ χριστιανοὶ αὐτῆς ἀδύνατοι ἔχειν καὶ διατρέφειν ἴδιον ἑαυτῶν ἀρχιερέα· ὁ δὲ ν' κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου καὶ ὁ ς' τῆς ἐν Σαρδικῇ ἀπαγορεύει ἁπλῶς ἐν πόλει βραχείᾳ ἢ κώμῃ γίνεσθαι ἐπίσκοπον. Διὰ ταῦτα οὖν καὶ ἐπεὶ ἐν κινδύνῳ καθέστηκε στερήσεως τῆς ἀναγκαίας ἀρχιερατικῆς ἐπισκέψεως, ἵνα μὴ τοιοῦτόν τι ἀπευκταῖον συμβῇ ἐκεί-

νοις τοῖς πνευματικοῖς ἡμῶν τέκνοις, ἔγνωμεν ἑνῶσαι τὴν ἐπαρχίαν ἐκείνην μετὰ τῆς ῥηθείσης ἐπαρχίας Σίφνου, καὶ ἐκ τῶν δύο τούτων ἀρχιεπισκοπῶν μίαν μητρόπολιν ἀποδεῖξαι, ἐφ' ᾧ τὸν ἀρχιερατικῶς αὐτῆς προιστάμενον παρὰ πάντων γινώσκεσθαι, λέγεσθαί τε καὶ γράφεσθαι μητροπολίτην, ὑπέρτιμον καὶ ἔξαρχον Αἰγαίου πελάγους, δεσπόζοντα καὶ κυριεύοντα ἀρχιερατικῶς τῶν ἐπαρχιῶν τούτων ὡς μιᾶς, μετὰ πάντων τῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτῆς, κινητῶν καὶ ἀκινήτων, ἀπολαμβάνοντά τε καὶ καρπούμενον ἀπ' αὐτῶν, ὡς ἀπὸ ἐνοριακῶν αὐτοῦ μερῶν, πάντα τὰ ἀνήκοντα ἀρχιερατικὰ εἰσοδήματα καὶ δικαιώματα. Διὸ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς εἰς αἰῶνα τὸν ἅπαντα ἡ Μῆλος καὶ ἡ Κίμωλος ὑπάρχῃ ἡνωμένη καὶ μέλος γνήσιον τῆς ἐπαρχίας Σίφνου καὶ Μυκόνου μετὰ τῶν λοιπῶν αὐτῆς νήσων, τετιμημέναι ἀμφότεραι εἰς μητρόπολιν μίαν, καὶ ὁ ἐν αὐτῇ ἀρχιερατικῶς προιστάμενος ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηταί τε καὶ γράφηται μητροπολίτης Σίφνου καὶ Μήλου, ὑπέρτιμος καὶ ἔξαρχος Αἰγαίου πελάγους, δεσπόζῃ καὶ κυριεύῃ ἀρχιερατικῶς τῶν ἐπαρχιῶν τούτων ὡς μιᾶς μετὰ πάντων τῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτῶν, κινητῶν καὶ ἀκινήτων, ἀπολαμβάνων τε καὶ καρπούμενος ἀπ' αὐτῶν, ὡς ἀπὸ ἐνοριακῶν αὐτοῦ μερῶν, πάντα τὰ ἀνήκοντα ἀρχιερατικὰ εἰσοδήματα καὶ δικαιώματα, κύριά τε καὶ τυχηρά, αὐτός τε ὁ ἤδη ἀρχιερατεύων αὐτῆς ἱερώτατος μητροπολίτης Σίφνου καὶ Μήλου, ὑπέρτιμος καὶ ἔξαρχος Αἰγαίου πελάγους, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Καλλίνικος, καὶ οἱ μετ' αὐτὸν διαδεξόμενοι τὴν ἁγιωτάτην ταύτην μητρόπολιν. Ὅστις δ' ἂν καὶ ὁποῖος τῶν χριστιανῶν μικρὸς ἢ μέγας, ἱερωμένος ἢ λαικός, ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, τολμήσῃ ποτὲ ἀνελεῖν καὶ ἀνατρέψαι πως τὰ ἐν τῷ παρόντι συνοδικῶς ἀποφανθέντα, ὁ τοιοῦτος, ὡς κακεντρεχὴς καὶ κακότροπος, ἀφωρισμένος εἴη ἀπὸ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος καὶ ἔνοχος τῷ αἰωνίῳ πυρὶ τῆς γεέννης. Ταῦτα μὲν οὖν ἀπεφάνθη συνοδικῶς· εἰς δὲ τὴν περὶ τούτων ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη εἰς τὴν ῥηθεῖσαν ἁγιωτάτην μητρόπολιν Σίφνου καὶ Μήλου ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ἐνενηκοστῷ ἑβδόμῳ κατὰ μῆνα ἰούνιον, ἐπινεμήσεως ιε'.

† Γρηγόριος ἐλέῳ Θεοῦ κτλ.

Ὁ Ἐφέσου Σαμουήλ — Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Κυζίκου Ἰωακείμ — Ὁ Νικομηδείας Ἀθανάσιος — Ὁ Χαλκηδόνος Ἱερεμίας — Ὁ Δέρκων Μακάριος — Ὁ Θεσσαλονίκης Γεράσιμος — Ὁ Προύσης Ἄνθιμος — Ὁ Λαρίσσης Διονύσιος — Ὁ Εὐρίπου Ἱερόθεος.

XIV. 1801, февраль, инд. IV. Сигиллій вселенскаго патріарха Неофита VII и священнаго синода о границахъ Дерконской епархіи и о запрещеніи духовенству Константинополя совершать богослуженія въ ея предѣлахъ.

К. П. А., VII, 349—351.

Νεόφυτος ἐλέῳ Θεοῦ κτλ.

Ἴσον ἀπαράλλακτον τοῦ ἐκδοθέντος σιγγιλλίου ἐπικυρωτικοῦ τῶν ἀπ' ἀρχῆς ὁρίων τῆς ἐπαρχίας Δέρκων καὶ ἀπαγορεύοντος τοὺς ἱερεῖς τῶν ἐκκλησιῶν τῆς Πόλεως μὴ ἐπιτελεῖν ἐν τοῖς ἀλλοτρίοις ὁρίοις τὰ ἱερατικὰ ὑπουργήματα.

Οἷς τισι τῶν ἁγίων ἀρχιερέων τὰ τῶν ἐνοριῶν καὶ τὰ ἐν τοῖς ὁρίοις τῶν ἐπαρχιῶν αὐτῶν ἐπιτέτραπται, τούτοις καὶ ἡ ἐκείνων ἐπιμέλεια καὶ προστασία ἐκ παντὸς τρόπου ἀνήκουσά ἐστι δικαίως καὶ νομίμως, δικαίως μὲν ὅτι εἴτε καλῶς, εἴτε ἄλλως ἔχειν δοκοῦσι, τούτων ἡ αἰτία τοῖς κατὰ τόπον ἀρχιερεῦσι προσάπτεται, νομίμως δέ, καὶ γὰρ καὶ οἱ θεῖοι νόμοι καὶ ἱεροὶ κανόνες, σαφῶς διαγορεύοντες, ἐπὶ τοῖς ἀρχιερεῦσι τὰ τῶν ἐκκλησιαστικῶν ποιοῦσι πράγματα· οὐ μὴν δὲ ἀλλὰ καὶ οἱ ὑψηλοὶ βασιλικοὶ προσκυνητοὶ ὁρισμοὶ συνῳδὰ τοῖς θείοις νόμοις καὶ ἱεροῖς κανόσι σφοδρῶς ἐπιτάττοντες ἐπικυροῦσιν, ὥστε κατὰ πάντα λόγον τοῖς κατὰ τόπον ἀρχιερεῦσι προσήκει ἡ προστασία πάντων τῶν ἐκκλησιαστικῶν καὶ ἡ φροντὶς καὶ ἡ πνευματικὴ ἐπίσκεψις τῶν ἐν τοῖς ὁρίοις τῶν ἐπαρχιῶν αὐτῶν οἰκούντων καὶ διατριβόντων εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, διεξαγομένων πνευματικῶς ὑπὸ τῶν διωρισμένων παρὰ τοῦ κυριάρχου ἑκάστης ἐπαρχίας πρεσβυτέρων καὶ ἱερομονάχων, καὶ ταῦτα, ὡς θεσπισμένα ἀνέκαθεν καὶ νενομοθετημένα βασιλικῶς τε καὶ ἐκκλησιαστικῶς, διατηροῦνται καὶ διενεργοῦνται ὡσαύτως, καὶ ἐπειδὰν κατίδῃ ἡ Ἐκκλησία περὶ τὰ τοιαῦτα παρεκτροπήν τινα, εὐθέως πάνυ ἐπιδιορθοῖ καὶ διακωλύει τὰ παρ' ἐνορίαν, κατὰ τοὺς ἐν αὐτῇ θείους νόμους, ὡς καὶ ἐπὶ τοῦ παρόντος ἔγνω ποιήσασθαι νομίμως τε καὶ δικαίως. Καὶ γὰρ ἐκ τῆς ἐνίοτε γενομένης παρεκτροπῆς τῶν νομίμων καὶ καθηκόντων, διενέξεως ἀναφυείσης μεταξὺ τῶν ἱερέων τῶν ἐν τοῖς ὁρίοις τῆς ἐπαρχίας Δέρκων καὶ τῶν προϊσταμένων ἱερατι-

κῶς εν ταῖς ἐκκλησίαις τῆς Πόλεως ταῖς πλησίον τοῦ τείχους αὐτῆς, ἐγένετο δῆλον, ὅτι ἐξ ἔθους οὐχὶ ὁσίου οἱ ἐνοικοῦντες καὶ διατρίβοντες χριστιανοὶ ἐν τοῖς ὁρίοις τῆς ἐπαρχίας Δέρκων, οἱ ἔξω δηλονότι τοῦ τείχους τῆς Πόλεως, ἀπὸ τοῦ Ἐγιουπίου ἀρχομένων τῶν ὁρίων τῆς ἐπαρχίας ταύτης καὶ ἐκτεινομένων ἐπὶ πλέον, οἱ ἐκεῖ χριστιανοὶ λέγονται τῆς ἐπαρχίας Δέρκων, ἐκκλησιάζοντο καὶ πνευματικῶς ἐπισκέπτοντο παρὰ τῶν προϊσταμένων ἱερατικῶς ἐν ταῖς ἐκκλησίαις ταῖς πλησιαζούσαις τῷ τείχει τῆς Πόλεως, οἱ δὲ ἱερεῖς τῆς ἐπαρχίας Δέρκων διέμενον μεμακρυσμένοι τῶν ἱερατικῶν πρὸς αὐτοὺς ὑπουργημάτων καὶ ἀπεστεροῦντο τῶν νενομισμένων αὐτοῖς ἐκκλησιαστικῶν δικαιωμάτων· καὶ ἐπειδὴ τὰ ὅρια τῆς ἐπαρχίας Δέρκων ἄρχονται ἀμέσως ἔξω τοῦ τείχους τῆς Πόλεως ἀπὸ τοῦ Ἐγιουπίου, ὡς διείληπται, καὶ περιώρισται ἐν τοῖς ὁρίοις αὐτῶν καὶ κατὰ τὴν περίληψιν τῶν ἐκδιδομένων ὑψηλῶν βασιλικῶν προσκυνητῶν μπερατίων τοῖς κατὰ καιροὺς ἀρχιερεῦσι καὶ κυριάρχαις τῆς αὐτῆς ἐπαρχίας, καὶ βασιλικῶς τε καὶ ἐκκλησιαστικῶς ἡ φροντὶς καὶ ἀρχιερατικὴ προστασία καὶ πνευματικὴ ἐπίσκεψις τῶν ἐν αὐτῇ οἰκούντων καὶ διατριβόντων χριστιανῶν ἐπιτέτραπται τῷ ἱερωτάτῳ μητροπολίτῃ Δέρκων καὶ οὐχὶ ἑτέρῳ τινί, οἱ δὲ προεστῶτες καὶ ἐφημέριοι τῶν ἐν ταῖς ἐκκλησίαις τῆς Πόλεως ἔφθασαν ἐξ ἀμελείας, οὐκ οἴδαμεν ὅπως, ἐπιτελεῖν παρ' ἐνορίαν τὰ ἱερατικὰ ὑπουργήματα, καὶ ἐκ τούτου συμβαίνειν ἐνίοτε παρεκτροπὴν τῶν νομίμων καὶ καθηκόντων καὶ διενέξεις μεταξὺ τοῦ ἱερατικοῦ καταλόγου, διά τοι τοῦτο γνώμῃ κοινῇ καὶ συνοδικῇ σκέψει ἔγνωμεν διακωλῦσαι τοῦ λοιποῦ τὴν τοιαύτην παράλογον κατάχρησιν τῶν ἱερέων, τῶν ἐκκλησιαστικῶς προισταμένων καὶ ἐφημερευόντων ἐν ταῖς ἐκκλησίαις ἔσω τε καὶ ἔξω τῆς Πόλεως, ὅπως μηκέτι ἀπερχόμενοι ἐπιτελῶσιν ἱερατικὰ ὑπουργήματα πρὸς τοὺς εὐλογημένους χριστιανοὺς τοὺς οἰκοῦντας καὶ διατρίβοντας ἐν τοῖς ὁρίοις τῆς ἐπαρχίας Δέρκων, καί, ἂν ὀψέποτε ἐκφέρωσιν ἔξω τῆς Πόλεως λείψανα τῶν εὐσεβῶν χριστιανῶν ἐπὶ τὸ ἐνταφιάσαι ἐκεῖνα, ἔχωσι προσκαλεῖν καὶ τὸν προεστῶτα καὶ ἱερέα τὸν ἐκ τῆς ἐπαρχίας Δέρκων, ἐπὶ τῷ ποιῆσαι κἀκεῖνον αἴτησιν ὑπὲρ αἰωνίου ἀναπαύσεως τοῦ τεθνεῶτος· ὅτι καὶ τὰ μνημεῖα τῶν ὁμοφύλων ἡμῶν καὶ ὁμογονῶν εὐσεβῶν κεῖνται ἐν τοῖς ὁρίοις τῆς αὐτῆς ἐπαρχίας, καὶ τὸ ἐνταφιάζειν τοὺς νεκροὺς ἐπιτετραμμένον αὐτοῖς ἐστι τῷ τοιούτῳ τρόπῳ, καὶ οὐδὲν ἄλλο ἱερατικὸν ὑπούργημα ἐπιτελεῖν ἐν τοῖς ὁρίοις τῆς αὐτῆς ἐπαρχίας, ἀλλὰ μόνοι οἱ διωρισμένοι ἱερεῖς παρὰ τοῦ κυριάρχου τῆς αὐτῆς ἐπαρχίας ἱερωτάτου μητροπολίτου Δέρκων, ὑπερτίμου καὶ ἐξάρχου Βοσπόρου Θρᾳκικοῦ καὶ Κυανέων, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Μακαρίου καὶ τῶν μετὰ ταῦτα διαδόχων αὐτοῦ· καὶ ἔχωσιν ἀπέρχεσθαι ἀκωλύτως εἰς ἐκτέλεσιν τῶν ἱερατικῶν πρὸς αὐ-

τοὺς ὑπουργημάτων καὶ ἐκκλησιάζειν καὶ εὐλογεῖν καὶ ἁγιάζειν καὶ ἐπισκέπτεσθαι πνευματικῶς καὶ ποιεῖν πάντα τὰ ἱερατικὰ ὡς νενόμισται. Τούτου χάριν καὶ γράφοντες θεσπίζομεν τὰ ὅρια τῆς ἐπαρχίας Δέρκων, ὡς διείληπται, καὶ ὁριζόμεθα διαμένειν ἀκαταπάτητα κατὰ τὴν περίληψιν τοῦ ἐκδιδομένου ὑψηλοῦ βασιλικοῦ προσκυνητοῦ μπερατίου καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τοὐντεῦθεν οἱ ἱερεῖς οἱ ἐν ταῖς ἐκκλησίαις τῆς Πόλεως, ταῖς πλησιαζούσαις τῷ τείχει αὐτῆς ἔσω τε καὶ ἔξω, καὶ οἱ ἐν αὐταῖς ἐφημερεύοντες μὴ ἔχωσι τοῦ λοιποῦ ἄδειαν ἀπέρχεσθαι πρὸς τοὺς χριστιανοὺς τοὺς κατοικοῦντας καὶ διατρίβοντας ἐν τοῖς ὡρισμένοις ὁρίοις τῆς ἐπαρχίας Δέρκων, ἀρχομένοις ἀπὸ τοῦ Ἐγιουπίου, ὡς διείληπται, καὶ ἐκτεινομένοις ἕως τῶν ὡρισμένων περάτων αὐτῶν, εἰς ἐκτέλεσιν ἱερατικῶν ὑπουργημάτων, ἢ ἐκκλησιάζειν, ἢ ἁγιάζειν, ἢ ἐπισκέπτεσθαι πνευματικῶς, ἀλλ' ὁ ἤδη κυριάρχης τῆς αὐτῆς ἐπαρχίας ἱερώτατος μητροπολίτης Δέρκων καὶ οἱ μετ' αὐτὸν διάδοχοι ἔχωσι προνοεῖν ὑπὲρ αὐτῶν ἀρχιερατικῶς καὶ ἐπισκέπτεσθαι πνευματικῶς καὶ ἐπιμελεῖσθαι τῆς ψυχικῆς αὐτῶν σωτηρίας καὶ ἀνέσεως, καὶ οἱ παρ' αὐτῶν διωρισμένοι προεστῶτες καὶ ἱερεῖς δύνανται ἐκκλησιάζειν αὐτοὺς καὶ ἁγιάζειν καὶ ποιεῖν πάντα τὰ ἱερατικὰ ἀκωλύτως, ὡς νενόμισται, καὶ ἔργον ἔχειν τὴν ψυχικὴν αὐτῶν σωτηρίαν καὶ τὴν ἐπ' ἀγαθῷ καθ' ἑκάτερον τὸν ἄνθρωπον ὠφέλειαν, καὶ ἐν τῷ ἐκφέρεσθαι τὰ λείψανα τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν ἔξω τῆς Πόλεως ἐπὶ τοὺς τάφους, παρευρισκόμενοι καὶ αὐτοὶ διδόναι τρισάγιον καὶ ποιεῖν τὴν νενομισμένην αἴτησιν ὑπὲρ ἀναπαύσεως τῶν τεθνεώτων. Ταῦτα τοίνυν ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Οἱ δὲ παρὰ τὰ διατεταγμένα ἐκκλησιαστικῶς τολμήσοντες διαπράξασθαι ἱερεῖς, πρεσβύτεροι ἢ ἱερομόναχοι καὶ ἱεροδιάκονοι, ὁποῖοι ἂν ὦσιν, ὡς ἀντιβαίνοντες ταῖς ἱεραῖς θεσμοθεσίαις καὶ μὴ σεβόμενοι τὸ παρ' ἐνορίαν κανονικὸν ἔγκλημα, ὡς καταφρονηταὶ τῶν νομίμων καὶ καθηκόντων καὶ ἄτακτοι, ἀργοὶ μένωσι πάσης ἱεροπραξίας καὶ ἐστερημένοι παντὸς ἐκκλησιαστικοῦ καὶ ἐνοριακοῦ εἰσοδήματος καὶ δικαιώματος, καὶ ὅσοι τῶν λαικῶν φωραθῶσιν ὑπερασπιζόμενοι τῶν τοιούτων καὶ ὀλιγώρως διακείμενοι τῶν νομίμως καὶ δικαίως ἀποφανθέντων ἐν τῷ παρόντι συνοδικῶς, καὶ αὐτοὶ ὡς ἀλαζόνες καὶ κακόβουλοι ἀφωρισμένοι ὑπάρχωσιν ἀπὸ Θεοῦ καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ μετὰ θάνατον ἄλυτοι καὶ τυμπανιαῖοι καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνοι καὶ ἔνοχοι τοῦ πυρὸς τῆς γεέννης καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι. Διὸ εἰς τὴν περὶ τούτων ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπελύθη τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἂν τῷ

ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐπεδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Δέρκων, συναδέλφῳ ἡμῶν ἀγαπητῷ καὶ περιποθήτῳ κὺρ Μακαρίῳ.

Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ὀκτακοσιοστῷ πρώτῳ, κατὰ μῆνα φεβρουάριον, ἐπινεμήσεως τετάρτης.

† Νεόφυτος ἐλέῳ Θεοῦ κτλ.

Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Κυζίκου Ἰωακείμ — Ὁ Χαλκηδόνος Ἱερεμίας — Ὁ Δέρκων Μακάριος — Ὁ Θεσσαλονίκης Γεράσιμος — Ὁ Τορνόβου Ματθαῖος — Ὁ Νεοκαισαρείας Ἡσαΐας — Ὁ Λαρίσσης Διονύσιος — Ὁ Ἀγκύρας Ἰωαννίκιος — Ὁ Μαρωνείας Νεόφυτος.

XV. 1803, іюнь. Сигиллій вселенскаго патріарха Каллиника V и священнаго синода о соединеніи епископіи Іеромерія или Гиромерія съ епископіей Парамиѳіи въ одну епархію.

К. П. А., X, 71—72.

Ἴσον σιγγιλλιώδους γράμματος περὶ τῆς ἑνώσεως τῆς ἐπισκοπῆς Ἱερομερίου μετὰ τῆς ἐπισκοπῆς Παραμυθίας εἰς μίαν.

Καλλίνικος κτλ.

Ὅσα μὲν κατὰ καιροὺς ὁσίως καὶ καλῶς ἐναρξάμενα καὶ ἔκβασιν ἀγαθὴν ἐσχηκότα, ὡς ἐπὶ κρηπῖδος καὶ βάσεως ἐρηρεισμένα ἀσφαλῶς, ἐπαινετά εἰσιν αὐτὰ καθ' ἑαυτὰ καὶ ἀποδοχῆς ἄξια, διὸ καὶ τῆς μᾶλλον εὐσταθοῦς αὐτῶν καταστάσεως ἡ κοινὴ αὕτη μήτηρ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία ὡς προνοητικὴ πάντων φροντίζειν οἵδε καὶ ἐπιμελεῖσθαι παντὶ σθένει· ὅσα δὲ καλῶς μὲν δοκεῖ ἀρξάμενα καὶ ἐπ' ἀγαθαῖς ταῖς ἐλπίσι, τῇ τοῦ καιροῦ μέντοι γε παρατάσει ὤφθησαν ἐκ τῶν πραγμάτων οὐκ ἀγαθὰ ἐνηνοχότα ἀποτελέσματα, ταραχῆς δὲ καὶ σκανδάλων γεγονότα παραίτια, ἀπ' ἐναντίας τοῦ ἀγαθοῦ σκοποῦ τῶν ἐκεῖνα οὐτωσὶν ὡροθετηκότων, ταῦτα κατὰ τὴν τοῦ καιροῦ καὶ τῶν πραγμάτων χρείαν οἰκονομεῖν καὶ μεταρρυθμίζειν καὶ μεθιστᾶν εἰκότως οὐκ ἀπολείπεται, σκοπὸν ἔχουσα τὸ νόμιμον, τὸ συμφέρον καὶ ἀναγκαῖον, καὶ αὐθεντικῶς ὑπεροχικῇ ἐξουσίᾳ, ναὶ μὴν καὶ κηδεμονικῇ προνοίᾳ τὴν βελτίω καὶ σωτηριώδη κατάστασιν δαψιλῶς πρυτανεύουσα. Ἐπειδὴ τοιγαροῦν καὶ ἐν τῇ ἐπαρχίᾳ Ἰωαννίνων τὸ κείμενον ἱερὸν καὶ σεβάσμιον μοναστήριον τοῦ Ἱερομερίου ἐπιλεγόμενον, ἔχον συνημμένα αὐτῷ τὰ πλησίον χωρία, κεχωρισμένα δὲ ἀπὸ τῆς ἁγιωτάτης ἐκείνης μητροπόλεως ἔλαχον ἐξαρχικῆς τάξεως καὶ ἐκαλοῦντο μετὰ τοῦ εἰρημένου ἱεροῦ μοναστηρίου μιᾷ φωνῇ πατριαρχικὴ ἐξαρχία, ἀπὸ καιροῦ εἰς καιρὸν κατὰ πατριαρχικὴν φιλοτιμίαν δωρουμένη ἐξάρχοις· ἀλλ' ἐπειδὴ συν-

ἔβαινον πολλαὶ καὶ διάφοροι παρεκτροπαὶ τῶν νομίμων καὶ καθηκόντων τοῖς ἐκεῖ κατοίκοις εὐσεβέσιν ἱερωμένοις καὶ λαϊκοῖς, τῇ ἀμελείᾳ καὶ ἀμαθείᾳ τοῦ κατὰ καιρὸν ἡγουμενεύοντος προϊσταμένου ἐπιτροπικῶς τοῦ καθολικοῦ ἐξάρχου, καὶ παρηκολούθουν οὐ μόνον ἀλληλομαχίαι καὶ ἀκαταστασίαι, ἀλλὰ καὶ παρανομίαι καὶ ἄλλα ἐναντία τῷ ἱερατικῷ ἐπαγγέλματι καὶ τῷ χριστιανικῷ πολιτεύματι, ὡς ὑστερουμένοις τῆς ἀμέσου ἀρχιερατικῆς προστασίας καὶ πνευματικῆς ἐπισκέψεως καὶ τῆς θεοφιλοῦς ὁδηγίας, τῆς ὁδοποιούσης ἀναμφιβόλως εἰς τὰ σωτηριώδη ἔργα καὶ τὴν ἀπόλαυσιν τῆς θείας δόξης καὶ αἰωνίου μακαριότητος· διά τοι τοῦτο κατὰ πρόνοιαν ἐκκλησιαστικὴν κέκριται συνοδικῶς καὶ ἀπεφάνθη τὴν λεγομένην ἐκείνην ἐξαρχίαν μεθ' ὅλων τῶν συνημμένων αὐτῇ χωρίων γενέσθαι ἐπισκοπήν, ὑποκειμένην τῇ ἁγιωτάτῃ μητροπόλει Ἰωαννίνων, ὡς τοῖς ὁρίοις αὐτῆς ἐμπεριεχομένην, καὶ διὰ κανονικῶν ψήφων καὶ ἐκλογῆς χειροτονηθῆναι παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Ἰωαννίνων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Κερκύρας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Ἱεροθέου, ἀρχιερέα Ἱερομερίου καλούμενον, καὶ ἀποκατασταθῆναι ἐν αὐτῇ γνήσιον, νόμιμον καὶ κανονικὸν εἰς ἀρχιερατικὴν ποιμαντορίαν καὶ πνευματικὴν ἐπίσκεψιν τοῦ ἐκεῖ χριστωνύμου πληρώματος, καὶ εἰς ἀπαράτρεπτον φυλακὴν τῶν θείων νόμων καὶ ἐντολῶν καὶ τῶν ἱερῶν ἀποστολικῶν κανόνων καὶ τῶν ἐκκλησιαστικῶν ὅρων καὶ θεσμῶν καὶ τῶν ὀρθῶν τῆς ἀμωμήτου ἡμῶν πίστεως δογμάτων, ὃς δή, κατὰ τὴν ἐγγράφως ἔννομον ἐκκλησιαστικὴν διαίτησιν καὶ πατριαρχικὴν καὶ συνοδικὴν εὔλογον ἀπόφασιν, ψηφισθεὶς κατ' ἐκλογὴν κεχειροτόνηται ἀρχιερεὺς παρὰ τῆς ἐκείνου ἱερότητος νομίμως τε καὶ κανονικῶς. Ἀλλ' ἐπειδὴ φθόνῳ καὶ συνεργείᾳ τοῦ μισοκάλου συνέβησαν αὖθις ταραχαὶ καὶ σκάνδαλα καὶ ἀλληλομαχίαι μεταξὺ ποιμένος καὶ ποιμνίου καὶ ἀμφότεροι ἀπαρεσκόμενοι ὤφθησαν, τῶν μὲν δυσανασχετούντων ἐπὶ τῇ ἀποκαταστάσει τῆς αὐτοῦ θεοφιλίας, τοῦ δὲ δυσφόρως ἔχοντος ἐπὶ τῇ πρὸς αὐτοὺς ἀρχιερατικῇ προστασίᾳ καὶ πνευματικῇ διοικήσει καὶ ἀναγκαίᾳ ἐπισκέψει καὶ πρεπούσῃ οἰκονομίᾳ, ἀνεφύη ἐκ τῶν τοιούτων ἀποτελεσμάτων αἴτιον δεινοτέρας σκέψεως καὶ κρείττονος οἰκονομίας εἰς ἀναγκαίαν θεραπείαν τῆς τοιαύτης ἀνάγκης καὶ περιστάσεως καὶ κατάπαυσιν τοῦ σκανδάλου καὶ ἡσυχίαν τῶν ἐκεῖ κατοίκων εὐσεβῶν ἱερωμένων καὶ λαϊκῶν· διὸ καὶ μετὰ τὸ παραιτηθῆναι οἰκειοθελῶς τὸν προχειρισθέντα ἐκεῖνον θεοφιλέστατον ἐπίσκοπον Ἱερομερίου συνάδελφον ἡμῶν κὺρ ..... ἀπὸ τῆς ἐπισκοπῆς αὐτῆς Ἱερομερίου, ἔγνωσται τῇ ἐκείνου ἱερότητι καὶ τοῖς περὶ αὐτὸν θεοφιλεστάτοις ἐπισκόποις καὶ τοῖς προκρίτοις ἐπαρχιώταις αὐτοῦ εὐλογημένοις χριστιανοῖς ἑνωθῆναι αὐτὴν μετὰ τῆς ἁγιωτάτης ἐπισκοπῆς Παραμυθίας, ὥστε εἶναι καὶ λέγεσθαι καὶ παρὰ πάντων γινώσκεσθαι μίαν ἐπισκοπήν, ἰθυνομέ-

νην, διεξαγομένην καὶ διακυβερνωμένην παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Παραμυθίας, φροντίζοντος κατὰ χρέος καὶ ἐπιμελουμένου τῆς θεούσης ἀρχιερατικῆς προστασίας καὶ πνευματικῆς ἐπισκέψεως τῶν κατοίκων, ὡς ὁμόρων εὐλογημένων χριστιανῶν ἱερωμένων καὶ λαϊκῶν, ἵνα ὑπὸ μιᾶς ἀρχῆς καὶ ἐπισκέψεως ἀρχιερατικῆς διεξάγωνται τὰ κατ' αὐτοὺς καὶ οἰκονομῶνται θεαρέστως, ποιμαινομένους θεοφιλῶς καὶ διδασκομένους, πειθαρχοῦντας καὶ ὑποτασσομένους τῷ ἀρχιερεῖ αὐτῶν καὶ πνευματικῷ προστάτῃ, ὡς ἐπιμελουμένῳ καὶ φροντιστῇ τῆς σωτηρίας αὐτῶν, καὶ τῆς καθ' ἑκάτερον τὸν ἄνθρωπον, ψυχῆς τε καὶ σώματος, ἀνέσεώς τε καὶ ὠφελείας, καὶ διὰ τῆς τοιαύτης ἀχωρίστου ἑνώσεως ἐκ μέσου ἀρθῆναι τὰ ἀναφυέντα σκάνδαλα καὶ καταπαύσασθαι τὸν τάραχον τῆς ψυχῆς τῶν ἐκεῖ χριστιανῶν. Ταῦτα γοῦν ἀνενεχθέντα ἤδη τῇ ἡμῶν μετριότητι συνοδικῶς προκαθημένῃ παρὰ τῆς ἐκείνου ἱερότητος, ἀπεδείχθη μετὰ τὴν μετ' ἐπιστασίας ἀκριβῆ ἔρευναν οὐ μόνον εὔλογα, θεοφιλῆ τε καὶ νόμιμα, ἀλλὰ καὶ συμφέροντα καὶ ἀναγκαῖα, ὡς πρὸς σωτηρίαν τοῦ ἐκεῖ χριστωνύμου λαοῦ ἀφορῶντα, ἅτε δὴ πολλαχῶς καὶ ἄλλων ἐν διαφόροις καιροῖς τοιουτωδῶν ἑνώσεων κατ' ἐκκλησιαστικὴν γεγενημένων πρόνοιαν, οἰκονομοῦσαν κατ' ἐπιείκειαν αὐτῆς τὰ λίαν συμφέροντα τῷ χριστωνύμῳ πληρώματι. Ὅθεν καὶ γνώμῃ κοινῇ καὶ συνοδικῇ διαγνώσει ἔγνωμεν ἐπινεῦσαι πρὸς τὸ αἴτημα αὐτῶν περὶ τῆς τοιαύτης ἑνώσεως τῆς ῥηθείσης ἐπισκοπῆς Ἱερομερείου μετὰ τῆς ἁγιωτάτης ἐπισκοπῆς Παραμυθίας. Τούτου χάριν καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ ῥηθεῖσα, ποτὲ μὲν ἐξαρχία οὖσα καὶ λεγομένη Ἱερομερίου. ὕστερον δὲ ἀποκατασταθεῖσα διὰ πατριαρχικοῦ καὶ συνοδικοῦ σιγγιλλιώδους ἐν μεμβράναις γράμματος ἐπὶ τοῦ προκατόχου ἡμῶν πανάγιωτάτου πρώην Κωνσταντινουπόλεως ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητοῦ καὶ περιποθήτου ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κυρίου Νεοφύτου ἰδία ἐπαρχία καὶ εἰς τάξιν ἐπισκοπῆς τιμηθεῖσα καὶ ὑποταχθεῖσα τῇ ἁγιωτάτῃ μητροπόλει Ἰωαννίνων, προχειρισθέντος ἐν αὐτῇ γνησίου ἐπισκόπου, οὕτινος καὶ παραιτησαμένου ἀπ' αὐτῆς ἤδη οἰκειοθελῶς διὰ τὰ ἐκτεθέντα αἴτια, ἀπαιτοῦντα κατ' ἀνάγκην τὴν ἐκκλησιαστικὴν διευθέτησιν καὶ οἰκονομίαν, αὕτη τοίνυν, ὡς ἀπολειφθεῖσα χηρεύουσα καὶ ἀπροστάτευτος καὶ ἐστερημένη τῆς ἀναγκαιοτάτης φροντίδος καὶ πνευματικῆς ἐπισκέψεως, ὑπάρχῃ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ἡνωμένη μετὰ τῆς ἁγιωτάτης ἐπισκοπῆς Παραμυθίας ἀχωρίστως καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται μία ἐπισκοπὴ καὶ μία ἐπαρχία ἰθυνομένη, διεξαγομένη τε καὶ διακυβερνωμένη ἀρχιερατικῶς παρ' ἑνὸς ἀρχιερέως, τοῦ θεοφιλεστάτου ἐπισκόπου Παραμυθίας καὶ Ἱερομερίου, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ

*

ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ . . . . καὶ τῶν μετὰ ταῦτα διαδόχων αὐτοῦ, δεσποζομένη τε καὶ ἐξουσιαζομένη ἀρχιερατικῶς ὡς μία καὶ μόνη ἐξ ἀμφοτέρων οὖσα, ὅστις ἔχει ἐπ' ἀληείᾳ ποιμαίνειν πνευματικῶς τὸν ἐν αὐτῇ τοῦ Κυρίου περιούσιον λαὸν καὶ διδάσκειν καὶ ποδηγετεῖν εἰς νομὰς σωτηρίους τῆς εὐαγγελικῆς χάριτος, εὐλογεῖν τε καὶ ἁγιάζειν καὶ πάντα τὰ ἀρχιερατικά, ὡς νενόμισται, ἐπιτελεῖν λειτουργήματα μετὰ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καὶ χειροτονίας ποιεῖν προχειριζόμενος τοὺς ἀξίους ἱερεῖς, ἱερομονάχους, διακόνους καὶ ὑποδιακόνους, κείρειν τε ἀναγνώστας, μοναχοὺς καὶ μοναζούσας, καὶ σφραγίζειν κληρικοὺς κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, καὶ ἀποκαθιστᾶν πνευματικοὺς δι' ἰδίων ἀρχιερατικῶν ἐνταλτηρίων γραμμάτων, καὶ ἔχειν ὑπὸ ἰδίαν διοίκησιν καὶ δεσποτείαν τὰ ἐπισκοπικὰ κτήματα καὶ πάντα τὰ τοῦ εἰρημένου ἱεροῦ μοναστηρίου πράγματα καὶ ἀφιερώματα κινητὰ καὶ ἀκίνητα, τά τε ἤδη ὄντα καὶ τὰ εἰσέπειτα προσγενησόμενα ἄν, καὶ ἐπιμελεῖσθαι τῆς βελτιώσεως αὐτῶν καὶ αὐξήσεως, καρποῦσθαι δὲ καὶ νέμεσθαι τὰ νενομισμένα ἀρχιερατικὰ δικαιώματα καὶ εἰσοδήματα κύρια καὶ τυχηρὰ ἀνελλιπῶς, καὶ γνωρίζειν μὲν ἀεὶ κυριάρχην αὐτοῦ τὸν ἱερώτατον μητροπολίτην Ἰωαννίνων, πειθαρχεῖν τε καὶ ὑποτάσσεσθαι αὐτῷ καὶ μνημονεύειν κανονικῶς τοῦ ὀνόματος ἐκείνου, πληροῦν δὲ κατ' ἔτος εἰς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας ἀνὰ πεντήκοντα γρόσια καὶ λαμβάνειν τὴν εἰθισμένην πατριαρχικὴν καὶ συνοδικὴν ἀπόδειξιν, ὡς καὶ τοὺς λοιποὺς συναδέλφους ἀρχιερεῖς, ἀποστέλλειν δὲ καὶ πρὸς τὸν προδιορισθέντα ἔξαρχον τὸ τεταγμένον ἐτήσιον, ἤτοι εἴκοσι γρόσια, ἑτοίμως καὶ ἀπαραμειώτως, ἐπαγρυπνεῖν τε ὀφειλομένως καὶ φροντίζειν τῆς εὐσταθείας τῶν ἐκεῖ ἐκκλησιῶν καὶ τῆς οἰκονομίας καὶ εἰρηνικῆς συμβιώσεως καὶ κατὰ Χριστὸν θεοφιλοῦς διαγωγῆς τοῦ ἐμπιστευθέντος αὐτῷ χριστωνύμου πληρώματος ἱερωμένου καὶ λαϊκοῦ, οἵτινες ὀφείλουσι τιμᾶν καὶ ἀγαπᾶν τὴν θεοφιλίαν αὐτοῦ, πειθαρχεῖν τε καὶ ὑποτάσσεσθαι κατὰ τὸ πρέπον, νόμιμόν τε καὶ δίκαιον, καὶ παρέχειν μεθ' ἑτοιμότητος πάντα τὰ ἀνήκοντα αὐτῷ ἀρχιερατικὰ δικαιώματα καὶ ἐκκλησιαστικὰ εἰσοδήματα κύρια καὶ τυχηρά, κανονικά, συνοικέσια, ἐμβατίκια, ζητείας, δίσκους, φιλότιμα καὶ πανηγήρεις, προθέσεις, παρρησίας καὶ ψυχομερίδια, καὶ εἴ τι ἄλλο σύνηθες ἀρχιερατικὸν δικαίωμα, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος τὸ παράπαν. Ὅστις δὲ τῶν χριστιανῶν ἱερωμένων ἢ λαικῶν, ἑκάστης τάξεως καὶ βαθμοῦ, ἐπιχειρήσει ποτὲ διασεῖσαι τὴν ἕνωσιν ταύτην καὶ ἀποξενῶσαι καθ' οἱονδήτινα τρόπον ἀπὸ τῆς ἐπισκοπῆς Παραμυθίας, ἢ ἀποσπάσαι τῆς ὑποταγῆς τῆς ἁγιωτάτης μητροπόλεως Ἰωαννίνων καὶ ἄλλως πως μετακινῆσαι τὴν συναρμολογίαν τῶν ῥηθεισῶν δύο παροικιῶν ὑπὸ μίαν ἀρχιερατικὴν διοίκησιν γεγενημένων, καὶ ἐπήρειάν τινα ἢ ἐνόχλησιν προξενῆσαι,

ἢ ὅλως τολμήσει παραλελογισμένως ἀνατρέψαι τὰ ἐν τῷ παρόντι συνοδικῷ ἐπικυρωθέντα καὶ ἀποφανθέντα, οἱ τοιοῦτοι ὁποῖοι ἂν ὦσιν, ὡς ἀλαζόνες καὶ ὀλίγωροι τῶν νομίμων καὶ καθηκόντων, ἀφωρισμένοι ὑπάρχωσιν ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ μετὰ θάνατον ἄλυτοι καὶ τυμπανιαῖοι καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνοι καὶ ἔνοχοι τοῦ πυρὸς τῆς γεέννης καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς, διὸ εἰς τὴν περὶ τούτων ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεχάλης Ἐκκλησίας, καὶ ἐδόθη τῷ ῥηθέντι θεοφιλεστάτῳ ἐπισκόπῳ Παραμυθίας καὶ Ἱερομερίου συναδέλφῳ ἡμῶν ἀγαπητῷ κὺρ . . . . .

,αωγ', κατὰ μῆνα ἰούνιον.

Καλλίνικος ἐλέῳ Θεοῦ κτλ.

Ὁ Ἐφέσου Μακάριος — Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Κυζίκου Ἰωακείμ — Ὁ Νικομηδείας Ἀθανάσιος — Ὁ Χαλκηδόνος Ἱερεμίας—Ὁ Δέρκων Γρηγόριος — Ὁ Προύσης Ἄνθιμος—Ὁ Νεοκαισαρείας Μελέτιος — Ὁ Ἰκονίου Ῥαφαήλ — Ὁ Δαρίσσης Διονύσιος — Ὁ Ἀγκύρας Ἰωαννίκιος — Ὁ Προϊλάβας Παρθένιος — Ὁ Πελαγωνείας Νεκτάριος.

XVI. 1809, августъ, инд. XII. Сигиллій патріарха Іереміи IV и священнаго синода о возстановленіи патріаршей экзархіи Гиромерія подъ управленіемъ игумена Іоанникія.

К. П. А., XI, 191—193.

Ἴσον ἀπαράλλακτον τοῦ ἤδη ἐκδοθέντος πατριαρχικοῦ καὶ συνοδικοῦ σιγγιλλιώδους γράμματος περὶ τῆς σταυροπηγιακῆς ἀξίας, τῆς ἐλευθερίας καὶ ἀδουλωσίας τοῦ ἐν τῇ ἐπαρχίᾳ Ἰωαννίνων κειμένου ἱεροῦ καὶ σεβασμίου μοναστηρίου τοῦ Γηρομερίου καὶ τῶν ὑποκειμένων αὐτῷ χωρίων.

Ἱερεμίας ἐλέῳ Θεοῦ κτλ.

Τῶν ἀναγκαίων ὑπέρ τι ἄλλο ἔργον ἐστί, κανονικοῖς λόγοις ὑποτιθέμενον, μετὰ πάσης ἐπιμελείας ἀνακαλεῖν ἀεὶ τὰ τῆς ἐκκλησίας πράγματα πρὸς τὴν ἀρχαίαν αὐτῶν τάξιν τε καὶ κατάστασιν, ὅσα δηλαδὴ τῷ προσήκοντι λόγῳ κατὰ καιροὺς διὰ τῶν πατριαρχικῶν προνομίων γεγόνασί τε καὶ διετάχθησαν, ἅπερ καὶ γράμμασι βεβαιω-

τηρίοις κατασφαλίζειν χρεών, ἀπείργειν τε καὶ ἀναστέλλειν τοὺς εἰς ἀνατροπὴν αὐτῶν ὁπώσποτε ἐπιχειροῦντας, ἐπὶ τῷ διατηρεῖσθαι καὶ τὰ πατριαρχικὰ προνόμια ἀπαρασάλευτα καὶ διὰ τῆς ἐνεργείας αὐτῶν τοῖς πᾶσι κατάδηλα γίγνεσθαι. Ἕκαστον καὶ γὰρ τῶν ὄντων τῆς οἰκείας ἐνεργείας ἕνεκα πέφυκεν, ἧς ἐκπίπτον καὶ στερούμενον ματαιοῦται καὶ ἀντ' οὐδενὸς λογίζεται· προνόμιον δὲ καὶ τῶν προνομίων τῶν πατριαρχικῶν κατ' ἐξαίρετον λόγον ὑπερτεροῦν, ὅπερ θεσπίσμασι τῶν φιλευσεβῶν βασιλέων καὶ κανονικοῖς διατάγμασι παρὰ τῶν πατέρων τῆς ἐκκλησίας καὶ τῶν ἱερῶν συνόδων ἀποκεκλήρωται τῷ ἁγιωτάτῳ πατριαρχικῷ καὶ οἰκουμενικῷ θρόνῳ τῆς Κων/πόλεως, ὥστε πανταχοῦ τῶν ὑποκειμένων τούτῳ παροικιῶν ἐπ' ἀδείᾳ ἔχειν σταυροπήγια ἐκτελεῖν, ναούς τε καὶ μονάς, χώρας παντελευθέρους ἀποκαθιστᾶν καὶ τῷ πατριαρχικῷ ταῦτα κατακοσμεῖν ὀνόματι. Διὸ καὶ ἡ μετριότης ἡμῶν, τὴν προστασίαν τῆς περιωπῆς τοῦ οἰκουμενικοῦ θρόνου θεῖῳ ἐλέει ἐμπιστευθεῖσα, δεῖν ἔγνω φυλάττειν πάντα τὰ ἀρχαῖα τούτου προνόμια καὶ τὴν τιμὴν διασώζειν καὶ τὴν ἀξίαν δεόντως. Ἐπειδὴ τοιγαροῦν καὶ τανῦν ἐνεφανίσθη ἡμῖν πατριαρχικὸν συνοδικὸν σιγγιλιῶδες ἐν μεμβράναις γράμμα, συντελεσθὲν ἀπὸ ἔτους χιλιοστοῦ ἑπτακοσιοστοῦ πεντηκοστοῦ ἐννάτου, κατὰ μῆνα αὔγουστον, ἰνδικτιῶνος ἑβδόμης, ἐπὶ τοῦ ἐν μακαρίᾳ τῇ λήξει κυροῦ Σεραφεὶμ ἐκδεδομένον, ἐν ᾧ μνεία γίνεται καὶ ἄλλου τινὸς προεκδεδομένου ἐκκλησιαστικοῦ σιγγιλλιώδους γράμματος τοῦ ἀοιδίμου ἐν πατριάρχαις κυρίου Ἱερεμίου, ἅπερ ἀμφότερα διαλαμβάνοντα παριστῶσι τὴν σταυροπηγιακὴν φιλοτιμίαν καὶ κλῆσιν, ἐλευθερίαν τε καὶ αὐτονομίαν τοῦ κατὰ τὴν ἐπαρχίαν Ἰωαννίνων κειμένου ἱεροῦ καὶ σεβασμίου μοναστηρίου, τοῦ σεμνυνομένου ἐπ' ὀνόματι τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, ἐπιλεγομένου δὲ τοῦ Γηρομερίου, προκεχωρημένων ἀνέκαθεν τῶν προνομίων τούτων τῆς σταυροπηγιακῆς ἀξίας καὶ χάριτος αὐτῷ τε καὶ τοῖς ἀνέκαθεν συνηρμοσμένοις αὐτῷ καὶ ὑποκειμένοις χωρίοις, τῆς Φανερωμένης δηλονότι, τῆς Πλεσίβιτζας, τῆς Κόντζας, τῆς Σαγιάδας, τῆς Κοπίτζας, τοῦ Ξέχωρα, τοῦ Τζιμπλοχωρίου, τοῦ Κοκκινολιθαρίου, τῆς Ἀράχοβας καὶ ἄλλων δύο πλησίον τούτων χωρίων, ὥστε εἶναι καὶ λέγεσθαι σύμπαντα ὁμοῦ ταῦτα πατριαρχικὰ σταυροπήγια ἀκαταπάτητα, ἐλεύθερα, ἀκαταζήτητα καὶ ἀκαταδούλωτα παρὰ παντὸς προσώπου ἱερωμένου καὶ λαϊκοῦ, μεθ' ὅλων τῶν κτημάτων αὐτῶν καὶ πραγμάτων, κινητῶν καὶ ἀκινήτων καὶ ὑπὸ μόνην τὴν προστασίαν διατελοῦντα τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου, καὶ μηδενὶ μηδὲν ὀφείλοντα διδόναι, εἰ μὴ μόνον τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ τὸ τεταγμένον ἐν τῷ τότε ἐτήσιον. Ταῦτα περιέχει τὸ ἐμφανισθὲν ἡμῖν σιγγιλλιῶδες ἐκεῖνο γράμμα περὶ τῆς ἐλευθερίας καὶ τῶν σταυ-

ροπηγιακῶν προνομίων τοῦ ἱεροῦ τούτου μοναστηρίου τοῦ Γηρομερίου καὶ τῶν ὑποκειμένων αὐτῷ ἀπηριθμημένων χωρίων, καὶ οὕτω διετέλεσεν ἀπ' ἀρχῆς διεξαγόμενόν τε καὶ ἐν ἐλευθερίᾳ διακυβερνώμενον παρὰ τοῦ ἐν αὐτῷ ἡγουμενεύοντος, παρ' οὗ καὶ τὰ εἰρημένα χωρία ἐπεσκέπτοντο ἐξαρχικῶς δι' ἐκκλησιαστικῆς ἀδείας, ἐξοικισθεῖσα δ' ὅμως ἀπερισκέπτως πρὸ καιροῦ τινος ἡ τοιαύτη σταυροπηγιακὴ ἐξαρχία τῆς ἧς ἔλαχε τάξεως, τὰς ἐφεξῆς ἐπεπόνθει μεταβολὰς· καὶ πρῶτον μὲν εἰς ἐπισκοπὴν ἀπεκρίθη τῆς ἁγιωτάτης μητροπόλεως Ἰωαννίνων, ὡς ἐν τοῖς ὁρίοις αὐτῆς ἐμπεριεχομένη, καὶ ἐπίσκοπος ἐπὶ τῇ κλήσει Ἱερομερίου κεχειροτόνηται ἐν αὐτῇ· μετέπειτα δέ, σκανδάλων οὐκ ὀλίγων ἐπὶ τούτῳ ἀναφυέντων καὶ ἀλληλομαχιῶν μεταξὺ τοῦ ἐπισκόπου ἐκείνου Ἱερομερίου καὶ τῶν κατοίκων ἐν τοῖς διαληφθεῖσι χωρίοις εὐσεβῶν, ἀπέσπασται μὲν τῆς προστασίας ἐκείνου, ἠνώθη δὲ μετὰ τῆς παρακειμένης ἑτέρας ἐπισκοπῆς τῆς ἁγιωτάτης μητροπόλεως Ἰωαννίνων, τοὐτέστι τῆς Παραμυθίας, καὶ ὑπὸ τὸν ἐπίσκοπον Παραμυθίας ἡ τοῦ Ἱερομερίου προσήλωται, ἐκδοθέντος ἐπὶ τῇ τοιαύτῃ ἑνώσει καὶ γράμματος σιγιλλιώδους ἐκκλησιαστικοῦ παρὰ τοῦ πρακατόχου ἡμῶν δηλονότι παναγιωτάτου καὶ σεβασμιωτάτου πατριάρχου Κων/πόλεως, ἐν Χριστῷ τῷ Θεῷ λίαν ἀγαπητοῦ καὶ περιποθήτου ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κυρίου κυρίου Καλλινίκου, ἐπὶ τῆς πρώτης δηλονότι πατριαρχείας αὐτοῦ, ἐν ᾧ γράμματι ὑποδηλοῦται καὶ ἡ ἀπὸ τῆς σταυροπηγιακῆς ἐξαρχίας εἰς ἐπισκοπὴν κατὰ πρῶτον μεθαρμογή, γενομένη ἐπὶ τοῦ ἀοιδίμου πατριάρχου Κων/πόλεως κυροῦ Νεοφύτου· ἀλλ' ἐπειδὴ ἡ μεταρρύθμισις αὕτη ἐφάνη ἐκ πολλῶν ἀφόρητος τοῖς ἐν τοῖς διαληφθεῖσι χωρίοις οἰκοῦσιν εὐσεβέσι καὶ ὀρθοδόξοις χριστιανοῖς, καὶ οὐκ ἐπαύσαντο ἔκτοτε δυσανασχετοῦντες ἐπὶ τῇ ἀφαιρέσει τῶν προκεχωρημένων αὐτοῖς ἀνέκαθεν σταυροπηγιακῶν προνομίων τῆς ἐλευθερίας καὶ ἀδουλωσίας αὐτῶν, προσέδραμον διὰ κοινῆς ἀναφορᾶς πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν καὶ τὴν δεινὴν αὐτῶν καὶ ἀμετάβλητον ἀπαρέσκειαν ἐπιδηλώσαντες τῇ τε ἡμῶν μετριότητι καὶ τῇ περὶ ἡμᾶς ἱερᾷ ἀδελφότητι καὶ ἁγίᾳ συνόδῳ, καὶ πάντῃ πάντως ἀδύνατον τὴν πρὸς τὴν ἐπισκοπὴν ἐκείνην ἢ εἰς ἄλλην τινὰ σχέσιν αὐτῶν καὶ οἰκειότητα ἀποφηνάμενοι, ἐδεήθησαν θερμῶς τυχεῖν ἐκκλησιαστικῆς φιλανθρωπίας καὶ περιθάλψεως, καὶ ἀκυρωθῆναι μὲν τὴν προγεγενημένην ἐκείνην διαίτησιν τῆς ὑποταγῆς αὐτῶν ὑπὸ τὴν ἐπισκοπὴν τοῦ Ἰωαννίνων, ἐπαναλαβεῖν δὲ αὐτοὺς αὖθις τὴν ἀρχαίαν τάξιν καὶ σταυροπηγιακὴν ἐλευθερίαν, καὶ διαμένειν ὡς τὸ πρῶτον τὰ χωρία ἐκεῖνα συνηνωμένα καὶ ὑποκείμενα τῷ ἐκεῖ ἱερῷ καὶ σεβασμίῳ μοναστηρίῳ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου τοῦ Ἱερομερίου, καὶ ἐπισκέπτεσθαι αὐτὰ παρὰ τοῦ ἐν αὐτῷ ἡγουμένου ὁσιωτάτου ἀρχιμανδρίτου κὺρ Ἰωαννικίου, ἀνδρὸς τά τε

ἄλλα θεοφιλοῦς καὶ ὑπ' αὐτῶν ἐγνωσμένου καὶ δεδοκιμασμένου, ὧν τὴν δέησιν καὶ παράκλησιν δικαίαν καὶ ἀναγκαίαν κατιδόντες καὶ πρὸς ἀγαθὸν σκοπὸν καὶ τὴν εἰρηνικὴν αὐτῶν κατάστασιν ἀφορῶσαν, ἔτι δὲ καὶ εἰς αὔξησιν καὶ βελτίωσιν τοῦ ἱεροῦ τούτου μοναστηρίου συντείνουσαν, εὐμενῶς καὶ φιλανθρώπως, προνοητικῶς τε ἅμα καὶ κηδεμονικῶς ἀποδεξάμενοι, γράφοντες συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν και συλλειτουργῶν, πρῶτον μὲν ἐπικυροῦμεν τὰ ὁπώσποτε φθάσαντα ἐκδοθῆναι ἐκεῖνα δύο πατριαρχικὰ καὶ συνοδικὰ σιγγιλλιώδη ἐν μεμβράναις γράμματα, τότε ἐπὶ τῆς πατριαρχείας τοῦ κυροῦ Νεοφύτου καὶ τὸ ἐπὶ τοῦ προκατόχου ἡμῶν κυρίου Καλλινίκου, περί τε τῆς εἰς ἐπισκοπὴν Ἱερομερίου μεθαρμογῆς καὶ τῆς ἑνώσεως μετὰ τῆς ἐπισκοπῆς Παραμυθίας, ἵνα μένωσι διὰ παντὸς ἄκυρα καὶ ἀνίσχυρα καὶ ὡς χάρτης ἄγραφος λογιζόμενα, καὶ οὐδεμίαν ἔχῃ σχέσιν καὶ ἀναφορὰν τοῦ λοιποῦ ἡ ἐξαρχία αὕτη μήτε πρὸς τὴν μητρόπολιν Ἰωαννίνων, μήτε πρὸς τὰς ὑπ' αὐτὴν τελούσας ἐπισκοπάς, μήτε πρὸς τοὺς ἐν αὐταῖς ἱερατικῶς προϊσταμένους νῦν καὶ εἰς αἰῶνα τὸν ἅπαντα· ἐπικυροῦντες δὲ τὰ προγεγενημένα γεραρὰ ἐκεῖνα σεβάσμια γράμματα τῶν ἀοιδίμων πατριαρχῶν τοῦ κυροῦ Ἱερεμίου καὶ τοῦ κυροῦ Σεραφεὶμ συμφώνως ἀποφαινόμεθα, ἵνα τὸ διαληφθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον, τὸ τιμώμενον ἐπ' ὀνόματι τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἐπιλεγόμενον τοῦ Γηρομερίου, μετὰ τῶν ἀνέκαθεν συνηνωμένων καὶ ὑποκειμένων αὐτῷ χωρίων, δηλαδὴ τῆς Φανερωμένης, τῆς Πλεσίβιτζας, τῆς Κόντζας, τῆς Σαγιάδας, τῆς Κοπίτζας, τοῦ Ξέχωρα, τοῦ Τζιμπλοχωρίου, τοῦ Κοκκινολιθαρίου, τῆς Ἀράχοβας καὶ τῶν προσκειμένων αὐτοῖς ἄλλων δύο χωρίων, πρὸς δὲ καὶ τῶν κτημάτων, πραγμάτων τε καὶ ἀφιερωμάτων αὐτῶν κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰσέπειτα προσγενησομένων ἄν, ὡς ἀπ' ἀρχῆς διετέλεσεν ὑπὸ τὴν προστασίαν τοῦ καθ' ἡμᾶς ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου, κατὰ τὴν περίληψιν τῶν εἰρημένων πατριαρχικῶν καὶ συνοδικῶν σιγγιλλιωδῶν γραμμάτων, οὕτω καὶ ἤδη καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον εἴη καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται σταυπηγιακόν, ἐλεύθερον, ἀδούλωτον, ἀκαταπάτητον, ἀνενόχλητον καὶ ἀνεπηρέαστον παρὰ παντὸς προσώπου ἱερωμένου καὶ λαϊκοῦ, μνημονευομένου ἐν αὐτῷ τε καὶ ἐν τοῖς ὑποκειμένοις αὐτῷ εἰρημένοις τούτοις χωρίοις τοῦ πατριαρχικοῦ ὀνόματος, ὡς νενόμισται, καὶ ὑπὸ μόνου τοῦ καθ' ἡμᾶς πατριαρχικοῦ καὶ οἰκουμενικοῦ θρόνου προστατευόμενόν τε, κρινόμενον καὶ ἀνακρινόμενον, καὶ πρὸς αὐτὸν μόνον τὴν ἀναφορὰν ἔχον, πρὸς ὃν ὀφείλει ἀποστέλλειν κατ' ἔτος λόγῳ εὐγνωμοσύνης καὶ ὑποταγῆς τὸ τεταγμένον ἐτήσιον γρόσια δηλαδὴ εἴκοσιν. Οἱ δ' ἐν τοῖς εἰρημένοις χωρίοις οἰκοῦντες εὐσεβεῖς ἔχουσι

διοικεῖσθαι ἐξαρχικῶς παρά τε τοῦ ἐν αὐτῷ ἡγουμενεύοντος ἀρχιμανδρίτου κὺρ Ἰωαννικίου καὶ τῶν μετὰ ταῦτα τὴν ἡγουμενείαν καὶ ἐξαρχίαν ταύτην διαδεξομένων, διοριζομένων κανονικῶς παρὰ τῆς Ἐκκλησίας κατ' ἐκκλογὴν καὶ σύμφωνον αὐτῶν θέλησιν, ὅστις καὶ ὀφείλει προσέχειν ἀκριβῶς καὶ φυλάττειν πάντα τὰ πατριαρχικὰ προνόμια ἀπαράτρεπτα καὶ ἀμεταποίητα, καὶ ἐπαγρυπνεῖν ὑπὲρ τῆς εὐσταθείας τῶν ἱερῶν ἐν αὐτοῖς ἐκκλησιῶν καὶ τῆς εὐσχημοσύνης τῶν ἱερωμένων καὶ τῆς σωτηρίας πάντων τῶν ἐν αὐτοῖς κατοίκων εὐσεβῶν, καὶ μηδὲν παρὰ τὰ ἐκκλησιαστικῶς ὡρισμένα πράττειν, μηδὲ ὅλως ἀπαιτεῖν πλείω τῶν ἀπ' ἀρχῆς νενομισμένων καὶ τεταγμένων ἐκκλησιαστικῶν εἰσοδημάτων παρὰ τῶν ἐκεῖ εὐσεβῶν ἱερωμένων καὶ λαϊκῶν· ἐπειδὰν δ' ἐν χρείᾳ γένωνται χειροτονίας ἢ ἄλλων ἀρχιερατικῶν λειτουργημάτων ἔχωσι προσκαλεῖν ὃν ἂν ἐθέλωσι τῶν πλησιοχώρων ἀρχιερέων, ἐπὶ τῷ ἐκτελεῖν αὐτοῖς τὰς χειροτονίας καὶ τὰ λοιπά, μετὰ πάσης τῆς ὀφειλομένης ἀκριβεστάτης κανονικῆς παρατηρήσεως. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς, ἵνα μένωσιν ἀπαράτρεπτα καὶ ἀμεταποίητα, ἕως οὗ ὁ ἥλιος διιππεύων τὸν ἴδιον περιτρέχει κύκλον. Ὅς δ' ἂν καὶ ὁποῖος τῶν ἁπάντων, εἴτε ἱερωμένος, εἴτε λαικός, ἑκάστης τάξεως καὶ βαθμοῦ τολμήσῃ κακοβούλως ἀνατρέψαι τὰ ἐν τῷ παρόντι συνοδικῶς ἐκπεφασμένα, καὶ μεταβαλεῖν ἀμέσως ἢ ἐμμέσως, κρυφίως ἢ φανερῶς τὴν ἐλευθερίαν τῆς πατριαρχικῆς ταύτης ἐξαρχίας, καὶ διασεῖσαι τὰ προνόμια τῆς σταυροπηγιακῆς ταύτης ἀξίας καὶ χάριτος, καὶ ἐνόχλησιν καθ' οἱονδήτινα τρόπον ἐπενεγκεῖν τοῖς ἐν τῷ ἱερῷ σταυροπηγιακῷ ἡμῶν τούτῳ μοναστηρίῳ καὶ τοῖς συνημμένοις αὐτῷ χωρίοις, ἢ ὅλως ἐπήρειάν τινα καὶ καταδούλωσιν αὐτῶν διανοηθείη, οἱ τοιοῦτοι ὁποῖοι ἂν ὦσιν, ὡς ἀλαζόνες καὶ ἀνατροπεῖς τῶν καλῶν καὶ πολέμιοι τῶν θεαρέστων κατορθωμάτων, ἀφωρισμένοι ὑπάρχωσι κτλ. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐδόθη πρὸς τὸ ῥηθὲν ἱερὸν καὶ σεβάσμιον ἡμέτερον πατριαρχικὸν καὶ σταυροπηγιακὸν μοναστήριον, τὸ τιμώμενον ἐπ' ὀνόματι τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἐπιλεγόμενον τοῦ Γηρομερίου.

,αωθ', κατὰ μῆνα αὔγουστον, ἐπινεμήσεως ιβ'.

Ἱερεμίας κτλ.

Ὁ Καισαρείας Φιλόθεος — Ὁ Ἐφέσου Διονύσιος — Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Κυζίκου Μακάριος — Ὁ Νικομηδείας Ἀθανάσιος — Ὁ Νικαίας Δανιήλ — Ὁ Δέρκων Γρηγόριος — Ὁ Θεσσαλονίκης Γεράσιμος — Ὁ Ἰκονίου Κύριλλος — Ὁ Δράμας Ἰωσήφ — Ὁ Ἀγκύρας Ἰωαννίκιος — Ὁ Ἐλασσῶνος Πορφύριος.

XVII. 1808, іюнь, инд. XI. Грамота патріарха Григорія V и священнаго синода о независимости патріаршей екзархіи Метсова.

К. П. А., Х., 224.

Ἴσον τοῦ ἐν Μετσόβῳ ἐκδοθέντος πατριαρχικοῦ καὶ συνοδικοῦ ἐπικυρωτικοῦ περὶ τῆς ἐλευθερίας τῆς πατριαρχικῆς ταύτης ἐξαρχίας γράμματος.

Γρηγόριος κτλ.

(Μετὰ τὸ προοίμιον). Ἐπειδὴ τοίνυν πρὸ χρόνων ἀμνημονεύτων τὸ Μέτσοβον καὶ πάντα τὰ συνημμένα αὐτῷ χώρια καὶ οἱ περίχωροι ὀρεινοὶ τόποι καὶ βουνοὶ ὑπάρχουσι διακεχωρισμένοι ἀπὸ τῶν πλησίον μερῶν καὶ τῶν ὁρίων τῶν ἐπαρχιῶν καὶ διόλου διακεκριμένοι, ὡς τιμηθέντες πατριαρχικῇ ἐξαρχίᾳ, δι' ἐκκλησιαστικοῦ γράμματος καὶ βασιλικοῦ θεσπίσματος ἐπικυρωθέντες, καὶ ἐν αὐτῇ τῇ πατριαρχικῇ ἐξαρχίᾳ ἀρχιερατικὴ προστασία οὐκ ἐγένετο, ὡς ἐν ταῖς λοιπαῖς ἐπαρχίαις, ἀλλ' ἐχούσης τῆς πατριαρχικῆς ἐκείνης ἐξαρχίας τὸ αὐτόνομον, τὸ ἐλεύθερον, τὸ ἀκατάλυτον καὶ ἀκαταπάτητον παρὰ παντὸς ἀρχιερατικοῦ προσώπου ἢ ἄλλου τινὸς ἐκκλησιαστικοῦ, ἐμνημονεύετο κανονικῶς τὸ ὄνομα τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ πατριάρχου, καὶ ὁ διοριζόμενος ὑπ' ἐκείνου πατριαρχικὸς ἔξαρχος διώκει καὶ ᾠκονόμει τὰ τῆς πατριαρχικῆς ἐξαρχίας κατὰ τὸ πρέπον, νόμιμόν τε καὶ εὔλογον, καὶ ἐγίνετο φροντὶς καὶ ἄγρυπνος ἐπιμέλεια τῆς εὐσταθείας τῶν ἐν αὐτῇ ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ ἱερῶν μοναστηρίων καὶ τῆς εὐνομίας τῶν ἱερωμένων καὶ λαικῶν πρὸς σωτηρίαν αὐτῶν. Ἀλλὰ τούτων οὕτως ἐχόντων ἡ Ἐκκλησία πρὸ καιροῦ πρόνοιαν ποιησαμένη τῆς βελτιώσεως καὶ ἀποκαταστάσεως τῆς παροικίας ταύτης καὶ τῆς σωτηρίας καὶ ψυχικῆς ὠφελείας τῶν ἐν αὐτῇ κατοίκων εὐλογημένων χριστιανῶν ἱερωμένων καὶ λαϊκῶν, ἠβουλήθη γνώμῃ κοινῇ ἀποκαταστῆσαι καὶ χειροτονῆσαι γνήσιον καὶ κανονικὸν ἀρχιερέα καὶ ἀναδεῖξαι ἐπισκοπήν, ὥστε ἔχειν τοὺς κατοικοῦντας καὶ περιοικοῦντας ποιμένα πνευματικὸν καὶ φροντιστὴν τῆς ψυχικῆς αὐτῶν σωτηρίας καὶ ὁδηγὸν εἰς τὰ σωτηριώδη ἔργα. Ἐφ' ᾧ καὶ ἔγραψε τὴν βουλὴν αὐτῆς καὶ συνεβούλευσε τὰ καθήκοντα. Οἱ δ' ἐν αὐτῇ κάτοικοι καὶ περίοικοι εὐσεβεῖς καὶ ὀρθόδοξοι χριστιανοί, δεξάμενοι εὐλαβῶς τὰ τῆς Ἐκκλησίας γράμματα, ἀπεκρίναντο εὐπροσώπως μετὰ κλαυθμῶν καὶ παρακλήσεων, ὅτι τὰ ἀρχαῖα πατριαρχικὰ προνόμια, τὰ ἐπιχορηγηθέντα τῇ πατρίδι αὐτῶν, ἐπικυρωθέντα ἐξ ἀμνημονεύτων, χρόνων ἐκκλησιαστικῶς καὶ δι' ὑψηλῶν προσκυνητῶν θεσπισμάτων βασιλικῶς, οὐδόλως στέργουσιν ἀνατραπῆναι, αἱρούμενοι τὴν φυγὴν αὐτῶν καὶ ἀναχώρησιν ἐκεῖθεν, ἀλλ' ἐξητήσαντο θερμοῖς τοῖς δάκρυσι διαμεῖναι τὴν πατριαρχικὴν ταύτην ἐξαρχίαν, ὡς τὸ ἀπ' ἀρ-

χῆς, ἐλευθέραν, ἀδούλωτον καὶ ἀκαταπάτητον καὶ ἐκτὸς ἀρχιερατικῆς προστασίας, δεόμενοι κοινῶς καὶ συμφώνως ἐπικυρωθῆναι αὖθις παρὰ τῆς Ἐκκλησίας τὰ ἀρχαῖα πατριαρχικὰ προνόμια. Τούτου χάριν, κατιδόντες τὸ ἀμετάβλητον τῆς γνώμης αὐτῶν, ἔγνωμεν γνώμῃ κοινῇ καὶ συνοδικῇ ἐπινεῦσαι πρὸς τὸ αἴτημα αὐτῶν. Ὅθεν καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων κτλ., ἵνα τὸ Μέτσοβον οὕτω λεγόμενον καὶ πάντα τὰ συνημμένα αὐτῷ χωρία καὶ οἱ περίχωροι ὀρεινοὶ τόποι καὶ βουνοὶ καὶ αἱ ἐν αὐτοῖς ἱεραὶ ἐκκλησίαι καὶ τὰ μοναστήρια ὑπάρχωσιν, ὡς τὸ ἀπ' ἀρχῆς, οὕτω καὶ εἰς τὸν ἐφεξῆς ἅπαντα αἰῶνα καὶ ὧσι καὶ λέγωνται καὶ παρὰ πάντων γινώσκωνται πατριαρχικὴ ἐξαρχία, ὑποκειμένη μόνῳ τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ παριαρχικῷ ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ, ἐλευθέρα, ἀδούλωτος καὶ ἀκαταπάτητος παρὰ τῶν πλησιοχώρων ἀρχιερέων μητροπολιτῶν, ἀρχιεπισκόπων καὶ ἐπισκόπων, μνημονευομένου τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος ἐν ταῖς ἱεραῖς ἐκκλησίαις καὶ τοῖς μοναστηρίοις τοῖς οὖσιν ἐν αὐτῇ τῇ πατριαρχικῇ ἡμῶν ἐξαρχίᾳ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς. Οἱ δ' ἐν αὐτῇ κάτοικοι καὶ περίοικοι εὐσεβεῖς καὶ ὀρθόδοξοι χριστιανοί, ἱερωμένοι καὶ λαϊκοί, ἔχοντες τὸ ἐλεύθερον διὰ τῶν πατριαρχικῶν προνομίων, ὀφείλουσιν ἐκλέγειν γνώμῃ αὐτῶν κοινῇ καὶ συμφώνῳ θελήσει αἱρεῖσθαι ἕνα ἐκ τῶν ἱερωμένων, ὃν ἂν ἐγκρίνωσι δεδοκιμασμένον, πιστόν, θεοσεβῆ τε καὶ κόσμιον τοῖς ἤθεσι καὶ πεπαιδευμένον καὶ ἄξιον καὶ ἀποκαθιστᾶν ἔξαρχον καὶ τὸ ὄνομα τοῦ τοιούτου διὰ κοινῆς ἐνυπογράφου ἀναφορᾶς ἀναγγέλλειν τῇ ἐκκλησίᾳ ἐπὶ τῷ διορίζεσθαι αὐτὸν κατ' ἐπιταγὴν ἐκκλησιαστικὴν παρὰ τοῦ καθολικοῦ ἐνταῦθα ἐξάρχου, πρὸς ὃν ἔχουσι διδόναι κατ' ἔτος, ὡς τὸ ἀπ' ἀρχῆς, ἀνὰ δεκαπέντε γρόσια ἐξαρχικὸν ἐτήσιον, μηδὲν πλείω τούτων ἀπαιτοῦντα, μηδὲ δυνάμενον ἀποκαταστῆσαι ἐπιτροπικῶς αὐτοῦ ἔξαρχον δι' ἰδίας αὐτοῦ ἀποδείξεως, ἄνευ τῆς κοινῆς ἐνυπογράφου ἀναφορᾶς τῶν ἐν τῇ πατριαρχικῇ ταύτῃ ἐξαρχίᾳ εὐσεβῶν ἱερωμένων καὶ λαϊκῶν καὶ δίχα τῆς εἰδήσεως, ἀδείας τε καὶ ἐπιταγῆς τῆς Ἐκκλησίας. Ὁ δὲ διοριζόμενος κατὰ καιροὺς ἔξαρχος ὀφείλει προσέχειν ἀκριβῶς, ὡς τὰ πρῶτα φέρων ἐν τῇ πατριαρχικῇ ταύτῃ ἐξαρχίᾳ, καὶ φυλάττειν πάντα τὰ πατριαρχικὰ προνόμια ἀπαράτρεπτα καὶ ἀμετάπτωτα καὶ ἐπαγρυπνεῖν ὑπὲρ τῆς εὐσταθείας τῶν ἐν αὐτῇ ἁγίων ἐκκλησιῶν καὶ τῶν ἱερῶν μοναστηρίων καὶ τῆς εὐσχημοσύνης τῶν ἱερωμένων καὶ τῆς σωτηρίας πάντων τῶν κατοίκων καὶ περιοίκων χριστιανῶν ἀνδρῶν τε καὶ γυναικῶν καὶ διατηρεῖν τοὺς θείους νόμους καὶ ἀποστολικοὺς κανόνας καὶ τοὺς συνοδικοὺς ὅρους καὶ θεσμοὺς ἀπαραβάτους καὶ μηδὲν παρὰ τὰ ἐκκλησιαστικῶς ὡρισμένα πράττειν, μήτε ὅλως ἀπαιτεῖν πλείω τῶν ἀπ' ἀρχῆς νενομισμένων καὶ τεταγμένων ἐξαρχικῶν δικαιμάτων παρὰ τῶν ἐκεῖ εὐσεβῶν ἱερωμένων καὶ λαϊκῶν. Ἐπειδὰν δὲ

γένωνται ἐν χρείᾳ χειροτονίας ἢ ἄλλων ἀρχιερατικῶν λειτουργημάτων ἔχουσι προσκαλεῖν, ὃν ἂν ἐθέλωσι τῶν πλησιοχώρων ἀρχιερέων, ἐπὶ τῷ ποιεῖν ἐκεῖνον πάντα τὰ ἀρχιερατικὰ λειτουργήματα μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως, ὡς νενόμισται, ὡσαύτως καὶ τὰς χειροτονίας διὰ τῆς προσηκούσης παρατηρήσεως τῶν ἠθῶν καὶ τῆς νομίμου ἡλικίας τῶν χειροτονηθησομένων κατὰ τὰς διακελεύσεις τῶν ἱερῶν νόμων. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς περὶ τῆς αὐτονομίας καὶ ἐλευθερίας, ὡς τὸ ἀπ' ἀρχῆς, τῆς πατριαρχικῆς ταύτης ἐξαρχίας τοῦ Μετσόβου καὶ πάντων τῶν συνημμένων αὐτῇ χωρῶν τε καὶ χωρίων καὶ τῶν ἐν τοῖς ὁρίοις αὐτῆς ἐκκλησιῶν καὶ μοναστηρίων, ἵνα διαμένῃ εἰς ἅπαντα τὸν αἰῶνα ἀμετακίνητος καὶ ἀνωτέρα ἀρχιερατικῆς προστασίας καὶ δουλαγωγίας ἄλλου τινὸς προσώπου ἱερωμένου ἢ λαϊκοῦ. Διὸ εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον παριαρχικὸν καὶ συνοδικὸν ἐπικυρωτικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη εἰς τὴν πατριαρχικὴν ἐξαρχίαν τοῦ Μετσόβου.

Ἐν ἔτει σωτηρίῳ ,αωή', ἐν μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος ια'.

Ὁ Καισαρείας Φιλόθεος — Ὁ Ἐφέσου Διονύσιος — Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Κυζίκου Μακάριος — Ὁ Νικομηδείας Ἀθανάσιος — Ὁ Νικαίας Δανιήλ — Ὁ Χαλκηδόνος Ἱερεμίας — Ὁ Δέρκων Γρηγόριος — Ὁ Θεσσαλονίκης Γεράσιμος — Ὁ Νεοκαισαρείας Μελέτιος — Ὁ Βερροίας Χρύσανθος — Ὁ Ἀθηνῶν Γρηγόριος — Ὁ Δράμας Ἰωσήφ — Ὁ Ἀγκύρας Ἰωαννίκιος — Ὁ Προιλάβου Παρθένιος — Ὁ Ἴμβρου Νικηφόρος — Ὁ Μπόσνας Καλλίνικος.

XVIII. 1810, декабрь, инд. XIV'. Грамота патріарха Іереміи IV' и священнаго синода о возведеніи архіепископіи Тиноса въ достоинство митрополіи и о пожалованія митрополиту Гавріилу титула „всечестнаго и экзарха Кикладскихъ острововъ".

К. П. А., IX, 451—452.

Ἴσον ἀπαράλλακτον τοῦ πρωτοτύπου.

Ἱερεμίας ἐλέῳ Θεοῦ κτλ.

Ἀλλήλοις μὲν ἴσους πρὸς τὴν τοῦ μυστηρίου ὑπερφυᾶ δύναμιν πάντας τοὺς ἀρχιερεῖς ἡ ἁγία ἡμῶν Ἐκκλησία παραδίδωσι καὶ τῷ μὲν πλεῖον, τῷ δὲ ἔλαττον μετεῖναι τῆς θείας ταύτης δυνάμεως οὐκ ἄν τις εὐσεβῶς οὔτ' εἴποι, οὔτε φρονήσειεν. Οἱ μέντοι θεῖοι καὶ ἱεροὶ πατέρες, τῶν σφῶν ἐπιμελούμενοι διαδόχων, ὅπως μηδοτιοῦν ἑαυτοὺς ἀπεχθανομένους ἀλλήλοις παρέξωνται, ὁριά τε διηγόρευσαν

εἶναι, ἐφ' ὅσον γῆς ἡ ἑκάστου ἀρχιερατεία ἐμμένουσα ἔσται καὶ εἰς μητροπόλεις, ἀρχιεπισκοπὰς καὶ ἐπισκοπὰς τὰς ἐπαρχίας διαταξάμενοι, τάξεις ἔθηκαν, καθ' ἃς ἐμμελῶς πρὸς ἀλλήλους προσενεχθήσονται. Ἀλλὰ τὸ μὲν τῆς ὑπερφυοῦς δυνάμεως θεῖον καὶ ἀεὶ ὡσαύτως ἔχον πρόσεστι τοῖς ἀρχιερεῦσι, τὰ δὲ ὅρια καὶ ἡ τάξις ἀνθρώπινα, καὶ ἄλλοτε ἄλλως μεταβαλλόμενα καθορᾶται τοῖς πάλαι τε καὶ τοῖς ἔπειτα, διὰ τοὺς ἐνοικοῦντας χριστιανοὺς ἢ προισταμένους ἀρχιερεῖς. Εἰ γάρ τις τὰς ἀρχαίας τε καὶ τὰς καθ' ἡμᾶς ἐπέλθοι διατυπώσεις ἄντικρυς εἴσεται τῶν ἐπαρχιῶν τὰς μὲν παντάπασιν ἐκλελοιπυίας, τὰς δὲ εἰς τὸ μεῖζον ἢ ἔλαττον τοῖς ὁρίοις μεταβεβλημένας ἢ τοὐναντίον ἀπ' ἐκείνας εἰς ταύτας μεταπεσούσας. Αὐτίκα γοῦν ἡ Μονεμβασία, πάλαι ποτὲ ἐπισκοπὴ οὖσα τῆς μητροπόλεως Κορίνθου, εἰς μητρόπολιν ἐτιμήθη, καὶ τὰ Ἰωάννινα, ἐπισκοπὴ τῆς Ναυπάκτου ὄντα, εἰς μητρόπολιν προεβιβάσθη καὶ ἡ ἐπαρχία Δημητριάδος, ἐπισκοπὴ οὖσα πρότερον τῆς Λαρίσσης, ἀρχιεπισκοπὴ ἀπεδείχθη καὶ πρὸ ἐτῶν εἰς μητρόπολιν προεβιβάσθη καὶ ἐτιμήθη διὰ τῆς ὑπερτιμίας καὶ ἐξαρχίας Πελασγῶν. Πολλὰ μὲν οὖν ἂν εὕροι τις ἐξενηνεγμένα περὶ τούτου τὰ παραδείγματα. Διὸ καὶ ἤδη τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Τήνου κὺρ Νεοφύτου τὸ ζῆν ἐκμετρήσαντος καὶ εἰς τὰς οὐρανίους μονὰς μεταστάντος, καὶ διὰ κανονικῶν ψήφων καὶ συνοδικῆς ἐκλογῆς προτιμηθέντος, εἰς διαδοχὴν τῆς ἀρχιεπισκοπῆς καὶ ἀρχιερατικῆς ἐπισκέψεως τῶν ἐκεῖ εὐλογημένων χριστιανῶν, τοῦ ὁσιωτάτου ἀρχιμανδρίτου τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου κὺρ Γαβριήλ, νομίμως ἐπ' αὐτῷ χειροτονηθέντος καὶ εἰς τὸν τῆς ἀρχιερωσύνης προαχθέντος βαθμόν, ἔγνωμεν κατὰ φιλοτιμίαν ἀναλογοῦσαν τῇ ἀρχιερωσύνῃ αὐτοῦ, προβιβάσαι καὶ τιμῆσαι τὴν ἐπαρχίαν αὐτοῦ ταύτην εἰς μητροπόλεως τάξιν καὶ εἰς προνόμιον ὑπερτιμίας καὶ ἐξαρχίας Κυκλάδων νήσων, οὐ καινοτομοῦντες, ἀλλ' ἀρχαῖον ἐκκλησιαστικὸν ἔθος φυλάττοντες. Καθορῶντες γὰρ τὴν αὐτοῦ ἱερότητα κόσμιον ὄντα τοῖς ἤθεσιν καὶ σεμνόν, θεοσεβείᾳ τε καὶ φρονήσει κομῶντα καὶ ὑπερβαλλούσῃ ἀξιότητι καὶ ἱκανότητι σεμνυνόμενον καὶ πολλοῖς ἄλλοις προτερήμασι κατακαλλυνόμενον, τοῖς ἀναλογοῦσι τῷ ἀρχιερατικῷ χαρακτῆρι καὶ ἐπαγγέλματι, καὶ τὴν ἐπὶ πᾶσιν εὐδοκίμησιν αὐτοῦ καὶ εὐαρέστησιν, καὶ ἐκ τούτων βεβαίαν ἔχοντες τὴν πεποίθησιν ὅτι τῇ θείᾳ συναντιλήψει πολυειδῶς καὶ πολυτρόπως ἐπωφελὴς ἔσεται τοῖς ἐπαρχιώταις αὐτοῦ εὐλογημένοις χριστιανοῖς καὶ εὐαγγελικῶς καὶ ὁσίως ποιμανεῖ τὸ ἐμπιστευθὲν αὐτῷ λογικὸν τοῦ Χριστοῦ ποίμνιον καὶ εἰς σωτηρίους ποδηγετήσει νομάς, καθ' ὃν προέθετο ἀξιόχρεων σκοπὸν καὶ διάπυρον ζῆλον καὶ πόθον ἐκτρέφει, ἀντὶ πάντων τούτων ἔγνωμεν δικαίως καὶ εὐλόγως φιλοτιμήσασθαι τῇ αὐτοῦ ἱερότητι τὸ προνόμιον τοῦτο τοῦ εἶναι καὶ λέγεσθαι ἱερώ-

τατον μητροπολίτην Τήνου, ὑπέρτιμον καὶ ἔξαρχον Κυκλάδων νήσων. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν κτλ., ἵνα ἡ ῥηθεῖσα ἁγιωτάτη μητρόπολις Τήνου ἔχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ εἰς ἅπαντα τὸν αἰῶνα τὸ κατ' ἐκκλησιαστικὴν ἡμῶν φιλοτιμίαν δωρηθὲν τοῦτο προνόμιον, καὶ ὁ ἤδη ἀξιοπρεπῶς ἐν αὐτῇ ἀρχιερατεύσας ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Γαβριὴλ ᾖ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἱερώτατος μητροπολίτης Τήνου, ὑπέρτιμος καὶ ἔξαρχος Κυκλάδων νήσων, ἐπιφημιζόμενος οὕτω καὶ μνημονευόμενος καὶ ἐν ταῖς ἱεραῖς τελεταῖς κατὰ τὴν ἐκκλησιαστικὴν διατύπωσιν, ἔχων καὶ τὴν τάξιν καὶ ἕδραν αὐτοῦ ἐν ταῖς ἐκκλησιαστικαῖς συνελεύσεσι μετὰ τοὺς ἄλλους μητροπολίτας, τοὺς ὑποκειμένους ἀνέκαθεν τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ, ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ, ὡσαύτως δὲ καὶ πάντες οἱ μετ' αὐτὸν διαδεξόμενοι τὴν ἁγιωτάτην ταύτην μητρόπολιν. Ταῦτα μὲν ἀπεφάνθη κατὰ πατριαρχικὴν καὶ συνοδικὴν φιλοτιμίαν καὶ κεκύρωται ἐκκλησιαστικῶς· ὅστις δὲ τῶν χριστιανῶν ἱερωμένος ἢ λαϊκὸς ἐπιχειρήσει ποτὲ ἀνατρέψαι τὰ ἐν τῷ παρόντι ἐπ' εὐλόγοις λόγοις δεδογμένα καὶ συνοδικῶς ἐκπεφασμένα, καὶ διασεῖσαι τὰ τοῦ ἐπιχορηγηθέντος τούτου προνομίου, ὁ τοιοῦτος, ὡς ἀλαζὼν καὶ κακότροπος, ἀφωρισμένος ὑπάρχῃ παρὰ Θεοῦ Κυρίου Παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ τῷ ἀναθέματι ὑπόδικος. Εἰς δὲ τὴν περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη τῷ ῥηθέντι ἱερωτάτῳ μητροπολίτῃ Τήνου, ὑπερτίμῳ καὶ ἐξάρχῳ Κυκλάδων νήσων, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος κὺρ Γαβριήλ.

,αωι', ἐν μηνὶ δεκεμβρίῳ ἰνδικτιῶνος ιδ'.

Ὁ Καισαρείας Φιλόθεος — Ὁ Ἐφέσου Διονύσιος — Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Κυζίκου Μακάριος — Ὁ Νικομηδείας Ἀθανάσιος — Ὁ Νικαίας Δανιὴλ — Ὁ Χαλκηδόνος Γεράσιμος — Ὁ Τορνόβου Μακάριος — Ὁ Βερροίας Χρύσανθος.

XIX. 1811, февраль, инд. XIV'. Сигиллій патріарха Іереміи IV' и священнаго синода о возведеніи патріаршей экзархіи Зарната въ достоинство архіепископіи.

Κ. Π. Α., ΧΙΙ, 113—115.

Ἴσον ἀπαράλλακτον τοῦ ἐκδοθέντος σιγγιλλιώδους γράμματος περὶ τῆς εἰς ἀρχιεπισκοπὴν προαχθείσης καὶ τιμηθείσης ἐξαρχίας Ζαρνάτας.

Ἐν πολλοῖς μὲν καὶ ἄλλοις ἔστιν ἰδεῖν τὸ περὶ τὰ συμπίπτοντα συνετὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ τὸ τῆς διηκήσεως νουνεχές, οὐχ ἥκιστα δὲ καὶ περὶ τὰς ὑποκειμένας αὐτῇ ἀρχιερατικὰς ἐπαρχίας καὶ πατριαρχικὰς ἐξαρχίας ἔκπαλαι οὐ παύεται τοῦτο ἐξ ἔθους ἐπιδεικνυμένη, ἐν οἷς νῦν μὲν ἀναβιβάζει τῇ τάξει τὰς ὑποβεβηκυίας, νῦν δὲ τὰς ἀναβεβηκυίας καταβιβάζει, καὶ ὁτὲ μὲν τὰς πατριαρχικὰς ἑαυτῆς ἐξαρχίας ἀρχιερεῦσιν ἐπιτρέπει εἰς πρόνοιαν, ὁτὲ δὲ τὰς ἐκείνοις ἐπιτετραμμένας ἐνορίας ὑφ' ἑαυτῇ φέρουσα ὑποβάλλει εὐφυῶς μάλα, νῦν μὲν ὑφιεῖσα, νῦν δὲ ἐπιτείνουσα τὰς τῶν πραγμάτων χορδὰς πρὸς τοὺς τῶν καιρῶν καὶ περιστάσεων φθόγγους καὶ τὴν τῆς διοικήσεως ἁρμονίαν ἐμμελεστάτην ἀνακρουομένη. Αὐτίκα γοῦν ἦν τις ἐπέλθῃ μὲν τὰς περὶ τῶν ἐπαρχιῶν διατυπώσεις καὶ ἐκθέσεις, ἔτι δὲ καὶ τὰς γεγραμμένας ἐν τῷ πρὸς χρῆσιν ἀνὰ χεῖρας φερομένῳ Συνταγματίῳ, ἐπιστήσῃ δὲ τὸν νοῦν καὶ ταῖς ἤδη ἐφ' ἡμῶν διατεταγμέναις τάξεσι τῶν ἐπαρχιῶν καὶ ἀναγνῷ τὰ ἐν τοῖς ἱεροῖς κώδιξι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κατεστρωμένα γράμματα καὶ σιγγίλλια, ἦν οὖν ταῦτα πάντα ἐπέλθῃ τις τῷ νοῖ καὶ παραβάλῃ πρὸς ἄλληλα, εὕροι ἂν πολλὰς πεπονθότα κατὰ καιροὺς τὰς μεταβολάς, τὸν δὲ καθ' ἡμᾶς τοῦτον ἀγιώτατον πατριαρχικὸν ἀποστολικὸν καὶ οἰκουμενικὸν θρόνον ἀνέκαθεν καὶ ἐξ ἀρχῆς εἰωθότα εὐφυῶς μάλα πρὸς τὰς χρείας καὶ τοὺς καιροὺς διοικεῖσθαι καὶ διακοσμεῖν τὰ πράγματα. Ταύτῃ τοι καὶ ἡ μετριότης ἡμῶν, ἀρχαίῳ ἐκκλησιαστικῷ ἔθει στοιχοῦσα, ἔγνω βραβεῦσαί τε καὶ διοικήσασθαι καὶ τὰ περὶ τῆς ἐξαρχίας Ζαρνάτας, κατὰ τὸν ἐφεξῆς τρόπον, τῆς ἐν τῇ Πελοποννήσῳ παρὰ τὴν ἁγιωτάτην μητρόπολιν Λακεδαιμονίας κειμένης. Ἡ γὰρ Ζαρνάτα αὕτη συνισταμένη ὑπὸ τῶν χωρίων τῆς Καπαντζαρνάτας, τῆς καὶ Κάμπος ὀνομαζομένης, τοῦ Βαρουσίου, τῆς Μαλτίτζης, τοῦ Μαυλευριάνικου, τῶν Κάτω καὶ Ἐπάνω Δολῶν, τῆς Μεγάλης καὶ Μικρᾶς Μανδίκας, τῆς Ζέλιτζας, τοῦ χωριδίου Τριγκότζοβα καὶ τοῦ ἑτέρου Σωτηριάνικα, τοῦ Ἀλτομυρᾶ, τῶν Πηγαδίων καὶ τῶν τεσσάρων χωριδίων Γαϊτζές, τῆς Χώρας, τῶν Μπρίντων, τῶν Μπήλιοβων, τοῦ Γερίστα, τοῦ χωριδίου Ἀροβᾶ καὶ τοῦ ἑτέρου χωριδίου Λευτίνι, ὑπὸ τούτων τοίνυν τῶν χωρίων συνισταμένη ἡ Ζαρνάτα αὕτη, καὶ πρὸ χρόνων πατριαρχικὴ ἐξαρχία τελέσασα, κατὰ πατριαρχικὴν φιλοτιμίαν ἐδωρεῖτο ἐξάρχοις καὶ ὑπὸ ἐξαρχικοῖς ἐπιτρόποις ὑπῆρχε διοικουμένη καθ' ἑαυτήν, πρὸ καιροῦ δέ, καθ' ὃν χρόνον ὁ ἤδη ἱερώτατος μητροπολίτης Δέρκων, ὑπέρτιμος καὶ ἔξαρχος Βοσπόρου Θρᾳκικοῦ καὶ Κυανέων, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς καὶ περιπόθητος ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κύρ Γρηγόριος, προΐστατο ἀρχιερατικῶς τῆς ἐπαρχίας Λακεδαιμονίας, χειροτονηθέντος ἐπισκόπου Ζαρνάτας τοῦ ἤδη θεοφιλεστάτου συναδέλφου ἡμῶν ἀγαπη-

τοῦ κὺρ Παρθενίου καὶ προχειρισθέντος παρὰ τῆς αὐτοῦ ἱερότητος πρὸς ἀντίληψιν καὶ βοήθειαν τῶν ἀρχιερατικῶν αὐτοῦ ὑπουργημάτων, ἐπετράπη τότε καὶ ἡ πνευματικὴ διοίκησις τῶν ἐν τοῖς ἐξαρχικοῖς τούτοις χωρίοις χριστιανῶν πρὸς τὸν αὐτὸν θεοφιλέστατον ἐπίσκοπον Ζαρνάτας, κατὰ συγκατάθεσιν τοῦ γνησίου καὶ καθολικοῦ ἐξάρχου τοῦ ἐκλαμπροτάτου Μπεγζαδέ, ἡμετέρου κατὰ Πνεῦμα υἱοῦ ἀγαπητοῦ καὶ περιποθήτου κυρίου Γρηγορίου Σούτζου, μηδεμίαν μέντοι γε παθούσης μεταβολὴν τῆς ἐξαρχίας ταύτης ἢ ὑποταγὴν ἢ σχέσιν ὅλως λαβούσης ἐπ' αὐτῇ τῆς ἁγιωτάτης μητροπόλεως Λακεδαιμονίας, ἀλλὰ διατηρησάσης ἀνώτερον πάσης δουλαγωγίας τὸ τῆς ἐλευθερίας αὐτῆς ἀρχαῖον προνόμιον, καθὰ δὴ καὶ αἱ λοιπαὶ ἐξαρχίαι, ὡς τὴν σχέσιν ἄμεσον ἔχουσαι πρὸς τὸν καθ' ἡμᾶς ἁγιώτατον πατριαρχικόν, ἀποστολικὸν καὶ οἰκουμενικὸν θρόνον· ἐφ' ᾧ καὶ ὁ πρὸς ἐπίσκεψιν τοῦ ἐν αὐτῇ χριστεπωνύμου πληρώματος διορισθεὶς εἰρημένος θεοφιλέστατος ἐπίσκοπος Ζαρνάτας ἐπλήρου καὶ ἀπέδιδε τὸ ὡρισμένον ἐξαρχικὸν ἐτήσιον ἀμέσως πρὸς τὸν γνήσιον καὶ καθολικὸν ἔξαρχον, τὴν ἐκείνου, φαμέν, ἐκλαμπρότητα, λαμβάνων τὴν συνήθως διδομένην ἀπόδειξιν. Ταῦτα μὲν οὖν τὰ κατὰ τὴν ἐξαρχίαν ταύτην. Ἐπειδὴ δὲ ὁ εἰρημένος θεοφιλέστατος ἐπίσκοπος Ζαρνάτας, ἐξ ἧς παρέτεινε πνευματικῆς καὶ ἀρχιεροπρεποῦς τῳόντι προστασίας ἐπὶ ἔτη τριάκοντα σχεδόν, δόκιμος ἐφάνη καὶ πρὸς πάντας εὐάρεστος καὶ πολλὴν ἐπεδείξατο τὴν πνευματικὴν καρποφορίαν, διὰ τῆς ἀμέμπτου καὶ εὐαγγελικῆς αὐτοῦ διαγωγῆς, καὶ ἀξίαν ἐκτήσατο τὴν ὑπόληψιν παρά τε τῇ ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ καὶ παρὰ τοῖς ἐκεῖ εὐσεβέσιν ὁμογενέσιν ἡμῶν, ἀγαπώμενος καὶ τιμώμενος παρὰ πάντων· ἄλλως τε καὶ οὗτοι, χάριτι θείᾳ, πρὸς τῇ ἀκμῇ τῆς πληθύος, ἔργα χριστιανικὰ ἐπεδείξαντο, εὐσεβείᾳ τε καὶ θεοσεβείᾳ κοσμούμενοι. Διὰ ταῦτα ἔγνωμεν ἤδη προσφόρως κατὰ πάντα λόγον καὶ τρόπον δικαίου ἐπιβραβεῦσαι τῇ αὐτοῦ θεοφιλίᾳ καὶ τιμῆσαι ὁμοῦ τοὺς ἐν τοῖς ἐξαρχικοῖς τούτοις χωρίοις πάντας, ἀποκαθιστῶντες καὶ ἀναβιβάζοντες εἰς τάξιν ἀρχιεπισκοπῆς τὴν ἁγιωτάτην ταύτην ἐξαρχίαν Ζαρνάτας, καὶ τοὺς χριστιανοὺς ἐκείνους ἀγαγεῖν ὑπὸ ἰδίαν ἀρχιερατικὴν προστασίαν ἰδίου κανονικοῦ ἀρχιερέως τῆς τε αὐτοῦ θεοφιλίας καὶ τῶν μετὰ ταῦτα διαδόχων αὐτοῦ, προσλιπαροῦντος μάλιστα καὶ παρορμῶντος ἐπὶ τούτῳ τοῦ διαληφθέντος καθολικοῦ ἐξάρχου ἐκλαμπροτάτου καὶ περιβλέπτου Μπεγζαδέ, ὅστις καὶ δι' ἐνυπογράφου καὶ ἐνσφραγίστου οἰκειοθελοῦς καὶ ἀβιάστου αὐτοῦ γράμματος παρῃτήσατο τῆς ῥηθείσης ἐξαρχίας εἰς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν. Τούτου χάριν καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὰ εἰρημένα χωρία τὰ ἐξ ἀρχῆς συνιστῶντα τὴν ἐξαρχίαν ἐκεί-

νην τῆς Ζαρνάτας, ἤτοι ἡ Καπαντοζαρνάτα, ἡ καὶ Κάμπος ὀνομαζομένη, τὸ Βαροῦσι, ἡ Μαλτίτζα, τὸ Μαλευριάνικον, οἱ Κάτω καὶ Ἐπάνω Δολοί, ἡ Μεγάλη καὶ Μικρὰ Μανδίκα, ἡ Ζελίτζα, τὸ χωρίδιον Τριγκότζοβα καὶ τὸ ἕτερον Σωτηριάνικα, τὸ Ἀλτομυρά, τὰ Πηγάδια, τὰ τέσσαρα χωρίδια Γαϊτζές, ἡ Χώρα, τὰ Μπρίντα, τὰ Μπήλιοβα, τὸ Γερίστα, τὸ χωρίδιον Ἀροβᾶ καὶ τὸ ἕτερον χωρίδιον Λευτίνι, μηδόλως ὧσι τοῦ λοιποῦ, μηδὲ λέγωνται πατριαρχικὴ ἐξαρχία, ἀλλ' ὑπάρχωσιν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον καὶ παρὰ πάντων γινώσκωνται ὡς ἐνορίαι τῆς ἤδη συστάσης ἁγιωτάτης ἀρχιεπισκοπῆς Ζαρνάτας, ὡσαύτως δὲ καὶ ὁ ἐν αὐτοῖς ἀρχιερατεύων συνάδελφος ἡμῶν ἀγαπητὸς κὺρ Παρθένιος, ᾧ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται θεοφιλέστατος ἀρχιεπίσκοπος Ζαρνάτας, ἔχων τὴν τάξιν καὶ στάσιν αὐτοῦ ἀμέσως μετὰ τοὺς πρὸ αὐτοῦ θεοφιλεστάτους ἀρχιεπισκόπους τῶν ἐπαρχιῶν τῶν ὑποκειμένων τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ, ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ, ὡσαύτως δὲ καὶ πάντες οἱ τὴν ἐπαρχίαν ταύτην διαδεξόμενοι ἔχωσι τὸ αὐτὸ προνόμιον τοῦ γράφεσθαί τε καὶ λέγεσθαι ἀρχιεπίσκοποι παρὰ τῶν κατὰ καιροὺς πατριαρχῶν, ταττόμενοι ἐν ταῖς συμπεσούσαις ἂν ἀρχιερατικαῖς συνελεύσεσι καὶ ἔχοντες τὴν τάξιν αὐτῶν ἀμέσως μετὰ τοὺς προηγουμένους καὶ προτετιμημένους ἐν ἐπαρχίαις ἀρχιεπισκόπους. Ὀφείλει τοιγαροῦν ὁ εἰρημένος θεοφιλέστατος ἀρχιεπίσκοπος Ζαρνάτας προΐστασθαι ἀρχιερατικῶς ἐπὶ πᾶσι τοῖς διαληφθεῖσι χωρίοις, καὶ ὡς γνήσιος, νόμιμος καὶ κανονικὸς αὐτῶν κυριάρχης διοικεῖν καὶ διιθύνειν εὐαγγελικῶς πάντας τοὺς ἐν αὐτοῖς τελοῦντας εὐσεβεῖς καὶ ὀρθοδόξους χριστιανούς· ὡσαύτως δὲ καὶ οὗτοι ὀφείλουσιν ὑπείκειν, πείθεσθαι τε καὶ ὑποτάσσεσθαι τῇ αὐτοῦ θεοφιλίᾳ κατὰ τὸ πρέπον καὶ εὔλογον, καὶ παρέχειν αὐτῷ εὐπειθῶς καὶ εὐγνωμόνως πάντα τὰ ἀνήκοντα ἀρχιερατικὰ εἰσοδήματα καὶ δικαιώματα, κύρια καὶ τυχηρά, κατὰ μίμησιν καὶ τῶν ἐν ταῖς λοιπαῖς ἐπαρχίαις εὐλογημένων χριστιανῶν, καὶ μνημονεύειν τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἐκκλησιαστικαῖς ἀκολουθαίαις. Ἐπὶ πᾶσι δὲ τούτοις ἀποφαινόμεθα, ἵνα ὥσπερ ἀνέκαθεν ἀδούλωτος καὶ ἀκαταπάτητος καὶ διόλου ἄσχετος πρὸς τὴν γειτνιάζουσαν ἐπαρχίαν Λακεδαιμονίας διετέλεσεν ἡ ἁγιωτάτη αὕτη ἀρχιεπισκοπὴ Ζαρνάτας, ἥντινα πληροφορίαν ἔτι μᾶλλον ἐλάβομεν ἀπὸ ζώσης φωνῆς καὶ ἀξιοπίστου καὶ ἀπαρακρούστου μαρτυρίας τῶν διαπρεψάντων ἀρχιερατικῶς ἐν ἐκείνῃ τῇ ἐπαρχίᾳ, τοῦ τε εἰρημένου ἱερωτάτου μητροπολίτου Δέρκων κυρίου Γρηγορίου καὶ τοῦ ἀμέσως διαδόχου αὐτου γενομένου, ἤδη ἱερωτάτου μητροπολίτου Νικαίας κυρίου Δανιήλ, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν καὶ περιποθήτων συναδέλφων, ὥσπερ οὖν ἄσχετος καὶ ἐλευθέρα διέμεινεν ἀπ' ἀρχῆς, οὕτω καὶ νῦν καὶ εἰς αἰῶνα τὸν ἅπαντα διαμένῃ ἐλευ-

ὑέρα, ἀδούλωτος, ἀκαταπάτητος παρά τε τοῦ ἤδη Λακεδαιμονίας κυρίου Χρυσάνθου καὶ τῶν μετὰ ταῦτα διαδόχων αὐτοῦ, μηδεμίαν πρόφασιν ἐχόντων ἐπιβῆναι ἐν οὐδενὶ τῶν εἰρημένων χωρίων ἢ δικαίωμα ἀπαιτῆσαι ἢ τὸν θεοφιλεστατον ἀρχιεπίσκοπον Ζαρνάτας παρενοχλῆσαι ἐν μηδενί, ἵνα μὴ ὑπαίτιοι γένωνται τῷ παρ' ἐνορίαν κανονικῷ ἐγκλήματι, ἀλλ' ἔχῃ διοικεῖσθαι ἡ ἁγιωτάτη αὕτη ἀρχιεπισκοπὴ μετὰ τῶν ἐπιχορηγηθέντων ἤδη ἐπ' αὐτῇ προνομίων κατὰ τὸν διειλημμένον τρόπον εἰς αἰῶνα τὸν ἅπαντα. Ταῦτα τοίνυν οὕτως εὐλόγως καὶ δικαίως καθ' ἡμετέραν ἐκκλησιαστικὴν φιλοτιμίαν, οὐ καινοτομοῦντες, ἀλλ' ἀρχαίῳ ἐκκλησιαστικῷ ἔθει ἑπόμενοι, ἐπ' εὐλόγοις λόγοις ἀπεφηνάμεθα. Ὅς δ' ἂν καὶ ὁποῖος τῶν ἁπάντων, εἴτε ἱερωμένος εἴτε λαικός, ἑκάστης τάξεως καὶ βαθμοῦ, ἐπιχειρήσῃ ποτὲ κακοβούλως ἀνατρέψαι τὰ ἐν τῷ παρόντι συνοδικῶς ἐκτεθέντα καὶ νομίμως ἀποφανθέντα καὶ ἐνόχλησίν τινα ἢ ἐπήρειαν ἐπενεγκεῖν τῇ αὐτοῦ θεοφιλίᾳ, καὶ ἄλλως βουλεύσηται περὶ τῶν οὕτω δεδογμένων εὐλόγως, ὁ τοιοῦτος, ὡς ἀλαζὼν καὶ κακόβουλος καὶ ἀνατρεπτικὸς τῶν καλῶς τεθειμένων, ἀφωρισμένος ὑπάρχῃ παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου μακαρίας Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος. Εἰς γοῦν ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη τῷ εἰρημένῳ θεοφιλεστάτῳ ἀρχιεπισκόπῳ Ζαρνάτας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Παρθενίῳ.

ˏαωια', κατὰ μῆνα φεβρουάριον, ἐπινεμήσεως ιθ'.

Ἱερεμίας κτλ.

Ὁ Καισαρείας Φιλόθεος — Ὁ Ἐφέσου Διονύσιος — Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Κυζίκου Μακάριος — Ὁ Νικομηδείας Ἀθανάσιος.

XX. 1811, мартъ, инд. XIV. Объявительная грамота патріарха Іереміи IV и священнаго синода о ставропигіальномъ и экзаршескомъ достоинствѣ храма Св. Николая на рыбномъ промыслѣ Бурусъ.

К. П. А., XII, 104—105.

Ἴσον ἀπαράλλακτον τοῦ ἤδη ἐκδοθέντος πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος περὶ τῆς δωρηθείσης σταυροπηγιακῆς

ἀξίας τῇ ἐν τῷ κατὰ βιβάριον τῆς Μπουροῦς κειμένῃ ἱερᾷ ἐκκλησίᾳ τοῦ ἁγίου Νικολάου.

Ἱερεμίας κτλ.

Πάντας μὲν τοὺς τῷ ἐκκλησιαστικῷ ἐλέει προστρέχοντας καὶ δίκαια προβαλλομένους ὑποδέχεσθαι οἶδεν εὐμενῶς ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία καὶ φιλοστόργως ἀντιλαμβάνεσθαι, οἷα κοινὴ φιλόστοργος μήτηρ, τοὺς δὲ ἱερὰ τεμένη κατ' ἔνθεον ζῆλον ἱδρύοντας καὶ προσάγοντας αὐτῇ καὶ τὴν περὶ αὐτὰ ἐκκλησιαστικὴν προστασίαν καὶ κηδεμονίαν αὐτῆς αἰτουμένους πρὸς σύστασιν αὐτῶν καὶ διαμονήν, οὐχ ὅπως ἀποδοχῆς ἀξιοῖ, ἀλλὰ καὶ εὐφημίαις ταῖς προσηκούσαις κατακοσμεῖ καὶ τὰ προσαγόμενα, ὅπου ἂν διατελῶσιν, ὑπὸ τὴν πατριαρχικὴν περιωπὴν τοῦ κατ' αὐτὴν ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου ἀναιρουμένη τάττει καὶ συνίστησι καὶ κρατύνει διὰ σταυροπηγιακῆς ἀξίας, αὐτονομίας τε καὶ ἐλευθερίας· προνόμιον γὰρ καὶ τοῦτο ἀνέκαθεν κεκλήρωται ὁ κατ' αὐτὴν ἁγιώτατος οὗτος οἰκουμενικὸς θρόνος. Ἐπειδὴ τοιγαροῦν προσεκομίσθη καὶ ἤδη τῇ ἡμῶν μετριότητι συνοδικῶς προκαθημένῃ ἐνυπόγραφος καὶ ἐνσφράγιστος ἀναφορὰ παρά τινων εὐσεβῶν χριστιανῶν, διαλαμβάνουσα ὅτι ἐν μέσῳ τῆς θαλάσσης τῆς παρὰ τὴν ἁγιωτάτην ἐπαρχίαν Ξάνθης ἀποτελευτώσης ἔχοντες κατεσκευασμένον ἰχθυοσκοπεῖον, ἤτοι βιβάριον ἐπιλεγόμενον τῆς Μπουροῦς, συνέρχονται κατ' ἔτος ἀπὸ τῶν γειτνιαζουσῶν ἐπαρχιῶν καὶ ἐξ ἄλλων ἔτι μερῶν, ἔνθα καὶ διατρίβοντες τὸ ἥμισυ ἢ καὶ πλέον τοῦ χρόνου ἐργάζονται τὰ τῆς ἁλιευτικῆς αὐτῶν τέχνης καὶ πάλιν ἀπέρχονται εἰς τὰ ἴδια. Ἀλλ' ἐπειδὴ ἑώρων ἑαυτούς, σὺν οὐκ ὀλίγῃ ὀδύνῃ, ἀπολειπομένους τῶν εἰς ψυχικὴν σωτηρίαν συντεινόντων καὶ ὑστερημένους τῶν πνευματικῶν χαρισμάτων καὶ ἁγιασμῶν, ἐξ αἰτίας τῆς μακρᾶς ἀποστάσεως τῶν ἱερῶν ἐκκλησιῶν, τῶν ἐν ταῖς γειτνιαζούσαις ἐπαρχίαις κειμένων, θείου ζήλου πλησθέντες κατεσκεύασαν, ἐφ' ὅσον ἠδύναντο, μικράν τινα ἐκκλησίαν, καθιερώσαντες αὐτὴν καὶ τιμήσαντες ἐπὶ τῷ ἐνδόξῳ ὀνόματι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ· καὶ οὕτω, προσκαλεσάμενοι κόσμιόν τινα ἱερομόναχον, ἀποκατέστησαν ἐν αὐτῷ καὶ ἔχουσιν ἐπιμελούμενον τῆς ψυχικῆς αὐτῶν σωτηρίας, εὐλογοῦντα καὶ ἁγιζοντα αὐτοὺς ἱερατικῶς καὶ ἐπισκεπτόμενον. Ταῦτα τοίνυν οὕτω διαπραξάμενοι καὶ βουλόμενοι τὸ θεοφιλὲς αὐτῶν τοῦτο κατόρθωμα ἀνεπηρέαστον διατελεῖν καὶ ἀδιάσειστον καὶ τῷ χρόνῳ συμπαραμένον, ἔγνωσαν ἀναθεῖναι αὐτὸ τῇ προστασίᾳ τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου. Καὶ δὴ προσδραμόντες ἐδεήθησαν μετὰ θερμῶν παρακλήσεων τῆς συνήθους ἐκκλησιαστικῆς κηδεμονίας ἀξιῶσαι καὶ τοῖς λοιποῖς σταυροπηγίοις συγ-

κατατάξαι καὶ τὴν ῥηθεῖσαν αὐτὴν ἱερὰν ἐκκλησίαν, ὅπως, τῇ ἐκκλησιαστικῇ ἰσχύι ἐπιρρωνυμένη, ἀνωτέρα γίγνηται πάσης ἐναντίας προσβολῆς καὶ ἐπηρείας· παρέστησαν δὲ καὶ μάρτυρα ἐπὶ τούτοις ἀξιόπιστον τὸν ἱερώτατον μητροπολίτην Μαρωνείας, ὑπέρτιμον καὶ ἐξαρχον Ῥοδόπης, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτουργὸν κὺρ Κωνστάντιον, ὅστις γράφων ὁμοῦ πρὸς τὴν Ἐκκλησίαν τὰ αὐτὰ διαβεβαιοῖ καὶ διαμαρτυρεῖ, ὡς ὁ τόπος ἐκεῖνος, ὁ ἐν θαλάσσῃ παττάλοις καὶ σανίσι κατεσκευασμένος, ἤτοι τὸ βιβάριον αὐτὸ τῆς Μπουροῦς, οὐδαμῶς περιέχεται ἐν τοῖς ὁρίοις τῆς γειτνιαζούσης ἐπαρχίας Ξάνθης, οὔτε μὴν σχέσιν ὅλως ἔχει πρὸς αὐτὴν ἢ πρὸς ἑτέραν τινά, ἅτε ὑπὸ θαλάσσης παντοχόθεν περιβρεχόμενος καὶ παρὰ τῶν εἰρημένων χριστιανῶν οὕτω πως κατεσκευασμένος, ὅσον πρὸς ἐργασίαν τῆς ἁλιευτικῆς αὐτῶν τέχνης, ὡς εἴρηται. Τούτου χάριν, τὴν αἴτησιν αὐτῶν ὡς εὔλογον οὖσαν εὐμενῶς ἀποδεξάμενοι καὶ τῆς θεοσεβείας αὐτοὺς ἀγασάμενοι κατὰ τὸ εἰκός, καὶ πατρικῶς ἐπευλογήσαντες, ἔγνωμεν σταυροπηγιακῇ ἀξίᾳ καὶ χάριτι τιμῆσαι τὴν ῥηθεῖσαν ἱερὰν ἐκκλησίαν καὶ ἐξαρχίαν ἀποκαταστῆσαι ὁμοῦ καὶ προνοῆσαι καθ' ἡμετέραν πατριαρχικὴν φιλοτιμίαν τῷ ἐνδοξοτάτῳ καὶ πανευγενεστάτῳ ἄρχοντι μεγάλῳ λογοθέτῃ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἡμετέρῳ κατὰ πνεῦμα υἱῷ ἀγαπητῷ λίαν περιποθήτῳ κυρίῳ κυρίῳ Ἀλεξάνδρῳ Μάνῳ λίαν ἁρμοδίως καὶ προσφυῶς, ἵνα καὶ ἡ περιπόθητος ἡμῖν αὐτοῦ ἐνδοξότης, οἷα τῶν καλῶν καὶ θεαρέστων ἔργων πρόμαχος καὶ προασπιστής, συναντιλαμβάνηται παντοίως καὶ συνεφάπτηται τῆς ἱερᾶς ἐκείνης ἐκκλησίας, ἐπὶ τῷ μένειν ἀνωτέραν πάσης δουλαγωγίας ἐν παντὶ καιρῷ. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἁγιωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαληφθεῖσα ἱερὰ ἐκκλησία, ἡ ἐπ' ὀνόματι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου τιμωμένη καὶ κειμένη ἐν ᾧ περ εἰρήκαμεν βιβαρίῳ τῆς Μπουροῦς, εἴη τὸ ἀπὸ τοῦδε καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἡμετέρα πατριαρχικὴ καὶ σταυροπηγιακή, ἐλευθέρα, ἀδούλωτος, ἀσύδοτος, ἀκαταζήτητος παρὰ παντὸς προσώπου ἱερωμένου καὶ λαικοῦ, καὶ μηδενὶ ἄλλῳ ὑποκειμένη, εἰμὴ μόνῳ τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ καὶ οἰκουμενικῷ θρόνῳ, καθάπερ καὶ τὰ λοιπὰ κατὰ μέρη κείμενα ἱερὰ σταυροπήγια, μνημονευομένου ἐν αὐτῇ ἀενάως τοῦ εἰρημένου πατριαρχικοῦ ὀνόματος, ὡς νενόμισται· ὀφείλουσι δὲ καὶ οἱ ἐν αὐτῇ ἐκκλησιαζόμενοι εὐσεβεῖς καὶ δουλεύοντες κατὰ καιροὺς ἐν τῷ βιβαρίῳ τούτῳ τῆς Μπουροῦς διατηρεῖν ἀπαράτρεπτα τὰ ἐπικεχορηγημένα ταῦτα τῆς σταυροπηγιακῆς ἀξίας προνόμια, καὶ διδόναι μετὰ πάσης εὐγνωμονύνης καὶ προθυμίας πρὸς τὸν γνήσιον καὶ καθολικὸν ἔξαρχον, τὴν ἐκείνου, φαμέν, ἐνδοξότητα, τὸ ταχθὲν ἤδη ἐξαρχικὸν ἐτή-

σιον . . . . . ἀπὸ τοῦ βιβαρίου τούτου τῆς Μπουροῦς, ἔχοντες ἐπ' ἀδείας αἱρεῖσθαι μὲν καὶ ἐκλέγειν ἐκ τῶν ἀξίων καὶ ἀνεπιλήπτων ἱερέων, ὃν ἂν βούλωνται, πρὸς ἐπίσκεψιν αὐτῶν πνευματικήν, τὸν τοιοῦτον δὲ ἀποκαθιστᾶν διὰ τῆς συνήθους ἀποδείξεως τοῦ γνησίου καὶ καθολικοῦ ἐξάρχου, οὗτινος ἡ ἔντονος καὶ θερμὴ προστασία ἀδιάλειπτος ἔσεται ἐπ' αὐτῶν ἐν οἱαδήποτε περιστάσει. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς· ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἀποφαντικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ ἐδόθη πρὸς τοὺς διαληφθέντας εὐλογημένους χριστιανοὺς τοὺς δουλεύοντας ἐν τῷ βιβαρίῳ τούτῳ τῷ ἐπιλεγομένῳ τῆς Μπουροῦς.

,αωια'.

Ἐν μηνὶ μαρτίῳ, ἰνδικτιῶνος ιδ'.

Ὁ Καισαρείας Φιλόθεος — Ὁ Ἐφέσου Διονύσιος — Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Κυζίκου Μακάριος — Ὁ Νικομηδείας Ἀθανάσιος — Ὁ Χαλκηδόνος Γεράσιμος — Ὁ Τυρνόβου Μακάριος.

XXI. 1811, марта 16. Письмо патріарха Іереміи IV' къ митрополиту Ксанѳы относительно патріаршей экзархіи на рыбномъ промыслѣ Бурусъ.

К. П. А., XII, 105.

Ἴσον ἀπαράλλακτον τῆς πρὸς τὸν ἅγιον Ξάνθης σταλείσης ἐπιστολῆς, ἀναιρούσης τὴν προσταλεῖσαν αὐτῷ περὶ τοῦ ἀνωτέρω βιβαρίου τῆς Μπουροῦς.

Ἱερώτατε μητροπολῖτα Ξάνθης κτλ.

Ἀγκαλὰ πρὸ ὀλίγου καιροῦ γράψασα ἡ Ἐκκλησία ὑπεχώρησε τῇ ἱερότητί σου, ὡς ἐνοριακὸν δῆθεν τὸ βιβάριον τῆς Μπουροῦς, ἤτοι τὴν ἐν αὐτῷ ἱερὰν ἐκκλησίαν τοῦ ἁγίου Νικολάου, λαβοῦσα νύξιν ἀπὸ τῶν σταλέντων ἐνταῦθα γραμμάτων σου καὶ μὴ περαιτέρω προσεξετάσασα τὴν ὑπόθεσιν ταύτην, ἤδη ὅμως πληροφορηθέντες ἐκκλησιαστικῶς ἡμεῖς τε καὶ ἡ περὶ ἡμᾶς σύμπασα ἱερὰ ἀδελφότης ἁγία σύνοδος, καὶ βεβαιωθέντες οὐ μόνον ἀπὸ ἐνυπογράφων καὶ ἐνσφραγίστων γραμμάτων τῶν ἐν τῷ βιβαρίῳ ἐκείνῳ δουλευόντων χριστιανῶν, ἀλλὰ καὶ ἀπὸ ἄλλων ἀξιοπίστων μαρτυριῶν, ὅτι οὐδεμίαν σχέσιν ἔχει μετὰ τῆς ἐπαρχίας σου αὐτὸς ὁ τόπος, οὐδ' ἐν τοῖς ὁρίοις αὐτῆς περιέχεται, ἀλλ' εἶναι πάντῃ πάντως ἐλεύθερος, ἐπενεύσαμεν ταῖς παρακλήσεσι τῶν εὐλογημένων ἐκείνων χριστιανῶν, καὶ ἐτιμήσαμεν τῇ σταυροπηγιακῇ ἀξίᾳ καὶ χάριτι τὴν

ἱερὰν ἐκείνην ἐκκλησίαν τοῦ ἁγίου Νικολάου, κατοχυρώσαντες τὸ ἐπιχορηγηθὲν αὐτῇ τῆς ἐλευθερίας καὶ ἀδουλωσίας προνόμιον καὶ δι' ἐκδόσεως ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος. Τοίνυν γράφοντες ἀμέσως ἐντελλόμεθα καὶ παραγγέλομέν σοι ἐκκλησιαστικῶς, ὅπως, γνωρίζων ἀνῃρημένην καὶ διόλου ἠκυρωμένην καὶ ἀπρακτοῦσαν τήν ὁπώσποτε σταλεῖσάν σοι ἐκκλησιαστικὴν ἐκείνην ἐπιστολήν, μένῃς ἐν τοῖς ὁρίοις τοῖς ἰδίοις τῆς ἐπαρχίας σου, μακρὰν ἀπέχων τοῦ λοιποῦ ἀπό τε τοῦ βιβαρίου ἐκείνου καὶ τῆς ἐν αὐτῷ σταυροπηγιακῆς ἡμῶν ἐκκλησίας, ἵνα μή, ὑπὲρ τὰ ἐσκαμμένα πηδῶν, περιπέσῃς εἰς τὸ παρ' ἐνορίαν κανονικὸν ἔγκλημα καὶ μείνῃς ἀναπολόγητος. Οὕτω τοίνυν γιγνώσκων καὶ προσέχων καλῶς σεαυτῷ, ποίησον ὡς σοι γράφοντες παρακελευόμεθα καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ τῆς ἱερότητός σου.

,αωια', μαρτίου ις'.

XXII. 1812, апрѣль. Грамота патріарха Іереміи IV и священнаго синода о присоединеніи церкви Св. Николая въ Бурусѣ къ Ксанѳской епархіи.

К. П. А., XII, 163—164.

Ἴσον ἀπαράλλακτον τοῦ πρωτοτύπου.

Τῶν ἀναγκαίων ἔργων ἐστὶν ἑκάστης ἐπαρχίας τὰ δίκαια σώζεσθαι καὶ διατηρεῖσθαι ἀπαράτρεπτα καὶ ἀπαρασάλευτα, καθὰ τῇ ἐκκλησιαστικῇ θεσμοθεσίᾳ καὶ τοῖς ἱεροῖς κανόσι τῶν οἰκουμενικῶν συνόδων νενομοθέτηται· μὴ μέταιρε γάρ, φασίν, ὅσα ἀρχαῖα, ἃ ἔθεντο οἱ πατέρες σου· καὶ πάλιν· ἔδοξε, φασί, σώζεσθαι ἑκασταχοῦ καθαρά, ἀνεπίμικτα καὶ ὅλως ἀπαραβίαστα τὰ ἑκάστῳ προσόντα δίκαια ἐξ ἀρχῆς καὶ ἄνωθεν κατὰ τὸ παλαιὸν ἐπικρατῆσαν ἔθος. Τὸ δὲ ὀλιγώρως διατίθεσθαι περὶ τὰ τῶν ἐπαρχιῶν δίκαια προφανῶς ἐστιν ἀδικεῖν ἐκείνας, καὶ τὸ ἀδικουμένας παραβλέπειν αὐτὰς οὐ μικρὸν ὑπάρχει πλημμέλημα· τὸ γὰρ ἄδικον οὐκ εὐλογεῖταί ποτε, οὔτε μὴν συγχώρησιν ἐπιδέχεται ἀδιόρθωτον διαμεῖναν· ταύτῃ τοι καὶ ὅσα ποτὲ νέφους ἀγνοίας ἐπισκιάσαντος ἢ ἄλλως πως ἔφθασαν ἐκποιηθῆναι δίκαια ὄντα ἐπαρχιακὰ ταῦτα, τῆς ἀληθείας ἐπιλαμψάσης, ἐπανάγονται εἰς τὴν προτέραν θέαιν αὐτῶν κατὰ φιλοδίκαιον προστασίαν, καθὰ δὴ καὶ ἐπὶ τοῦ παρόντος. Πρὸ χρόνου γὰρ ἤδη ἑνός, αἰτήσεως γενομένης παρά τινων χριστιανῶν ἐκ τοῦ βιβαρίου τῆς Μπουροῦς λεγομένου, ἐξεδόθη γράμμα ἐκκλησιαστικόν, ἀποκαθιστῶν μὲν τὴν ἐν αὐτῷ ἱερὰν ἐκκλησίαν τοῦ ἁγίου Νικολάου σταυροπηγιακήν, ἐλευθέραν τε καὶ ἀδούλωτον μετὰ τῶν ἐν αὐτῇ ἐκκλησιαζο-

μένων, καὶ μόνον τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ θρόνῳ ὑποκειμένην, ἀναδεικνύον δὲ τὴν αὐτὴν ἐξαρχίαν προσηλωμένην τῷ ἐνδοξοτάτῳ καὶ πανευγενεστάτῳ ἄρχοντι μεγάλῳ λογοθέτῃ, ἡμετέρῳ κατὰ πνεῦμα υἱῷ λίαν ἀγαπητῷ καὶ περιποθήτῳ κυρίῳ κυρίῳ Ἀλεξάνδρῳ Μάνῳ. Καὶ ταῦτα μὲν οὕτω πως ἀπεφάνθησαν πρὸ χρόνου ἑνός, μήπω γνωστῆς ἐντελῶς γενομένης τῆς οἰκειότητος καὶ ἑνώσεως, ἣν ἔχει ὁμολογουμένως μετὰ τῆς ἁγιωτάτης ἐπαρχίας Ξάνθης. Ἀλλ' ἐπειδὴ ἡ περιφανεστάτη αὐτοῦ ἐνδοξότης, πληροφορηθεῖσα ἤδη δι' ἀπταίστων καὶ ἀπαρακρούστων ἀποδείξεων τὸ γνήσιον τοῦ βιβαρίου ἐκείνου πρὸς τὸ καθόλου τῆς ἐπαρχίας Ξάνθης, οὐκ ἠνέσχετο καταλιπεῖν τὴν ἐπαρχίαν τοῦ ἰδίου μέλους ἐστερημένην, ἀλλ' οἷα μεγαλόφρων, γνώμῃ τε θεοφιλεῖ καὶ προαιρέσει κινούμενος καὶ τοῦ δικαίου ὑπέρμαχος προστάτης καὶ ὑπερβαλλούσῃ φιλοτιμίᾳ ἐχόμενος, ἐνέδωκε λίαν ἀσμένως καὶ ἐπιεικῶς ἀποκατασταθῆναι κατὰ χώραν τὸ ἐπαρχιακὸν δικαίωμα διὰ τῆς ἀκυρώσεως τοῦ ἐκδοθέντος ἐκείνου ἐκκλησιαστικοῦ γράμματος. Τούτου χάριν ἀποδεξάμενοι τὸν ὑπὲρ τοῦ δικαίου θερμότατον καὶ διακαέστατον ζῆλον τῆς περιφανεστάτης αὐτοῦ ἐνδοξότητος, καὶ ταῖς προσηκούσαις κοιναῖς εὐφημίαις καὶ ἐγκαρδίοις εὐχαῖς ἡμῶν καταστέψαντες τὴν αὐτοῦ ἐνδοξότητα, διὰ τὸ ὑπερβάλλον τῆς φιλοτιμίας καὶ μεγαλοφροσύνης, γράφομεν συνοδικῶς κτλ. καὶ πρῶτον μὲν ἀκυροῦμεν τὸ ὁπωσποτε ἐκδοθὲν περὶ τῆς σταυροπηγιακῆς ἀποκαταστάσεως ἐκείνου τοῦ βιβαρίου γράμμα καὶ τὰ ἐν αὐτῷ περιεχόμενα πάντα, ὅπως μένωσιν ἀνίσχυρα, ἀργά τε καὶ ἀνενέργητα διόλου· πρὸς γὰρ τοῖς λοιποῖς ἄλλοις καὶ τοῦτο ἐγεγόνει κατάδηλον, ὅτι οἱ ἐκεῖ διατρίβοντες χριστιανοὶ οὐκ ἀπὸ μιᾶς καὶ τῆς αὐτῆς ἐπαρχίας συνέρχονται, οὐδὲ διαμένουσιν, ἀλλ' ἐκ διαφόρων ἐπαρχιῶν συνερχόμενοι καὶ συναθροιζόμενοι ἐργάζονται τὰ τῆς τέχνης αὐτῶν, παρατείνοντες τὴν διατριβὴν περὶ τοὺς πέντε ἢ ἓξ μῆνας τοῦ χρόνου, πάροικοι καὶ παρεπίδημοι ὄντες, ἔπειτα ἐπανέρχονται εἰς τὰ ἴδια, καταλείποντες ἐρήμην τὴν ἐκκλησίαν, ὥστε καὶ κατ' αὐτὸν τὸν λόγον ἀναγκαία ἀπαραιτήτως ἡ ἐκ τοῦ σύνεγγυς ἀρχιερατικὴ προστασία τε καὶ ἐπίσκεψις. Εἶτα δὲ ἀποφαινόμεθα, ἵνα τὸ εἰρημένον βιβάριον τῆς Μπουροῦς καὶ ἡ ἐν αὐτῷ ἱερὰ ἐκκλησία τοῦ ἁγίου Νικολάου ὑπάρχωσιν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς συνημμένα τῇ ἁγιωτάτῃ ἐπαρχίᾳ Ξάνθης, ὡς ἐν τοῖς ὁρίοις αὐτῆς κείμενα καὶ περιεχόμενα, καὶ λέγωνται καὶ παρὰ πάντων γινώσκωνται ἐνοριακὰ τῆς αὐτῆς ἐπαρχίας καὶ γνήσια αὐτῆς μέλη ἀναφαίρετά τε εἰς ἅπαντα τὸν αἰῶνα καὶ ἀναπόσπαστα, καὶ μνημονεύηται ἐν αὐτῇ τῇ ἱερᾷ ἐκκλησίᾳ ἀενάως τὸ κανονικὸν ὄνομα τοῦ κατὰ καιρὸν ἐν τῇ ἐπαρχίᾳ Ξάνθης ἀρχιερατεύοντος. Ὀφείλει δὲ ὁ κατὰ καιρὸν ἀρχιερεὺς ἐπισκέπτεσθαι κυριαρχικῶς τὰ τῆς ἐκκλησίας τοῦ ἁγίου Νικολάου καὶ τοὺς ἐν τῷ βιβαρίῳ διατρίβοντας εὐσεβεῖς καὶ περιθάλπειν

αὐτοὺς πατρικῶς καὶ ὑπὲρ τῆς σωματικῆς ἀνέσεως αὐτῶν καὶ τῆς ψυχικῆς σωτηρίας προνοεῖν κατὰ τὸ ἀπαραίτητον καθῆκον τοῦ ἀρχιερατικοῦ αὐτοῦ ἐπαγγέλματος, διορίζειν τε ἐν αὐτοῖς κυριαρχικῶς ἱερέα τὸν ἄξιον καὶ ἀνεπίληπτον καὶ ἀποκαθιστᾶν μετὰ τῆς δεούσης κανονικῆς δοκιμασίας πρὸς ἐπιτέλεσιν τῶν ἱερατικῶν ὑπουργημάτων, ἀρκεῖσθαί τε εἰς τὰς μεταξὺ αὐτοῦ καὶ αὐτῶν περὶ μισθοῦ συμφωνίας καὶ συμπολιτεύεσθαι μετὰ πάντων καλῶς καὶ ὡς τὸ ἀρχιερατικὸν ἐπάγγελμα ἀπαιτεῖ, καὶ ἐπὶ πᾶσι τούτοις δέχεσθαι εὐχαρίστως τὴν διδομένην αὐτῷ ἐτήσιον προσφορὰν κατὰ συναρέσκειαν αὐτοῦ τε κἀκείνων καὶ εἴτι ἄλλο ἀρχιερατικὸν δικαίωμα. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἔννομον διαιτητικὸν καὶ ἀποφαντικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Ξάνθης καὶ Περιθεώρου καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος κὺρ Σεραφείμ.

,αωιβ' ἐν μηνὶ ἀπριλίῳ.

Ὁ Καισαρείας Φιλόθεος — Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Νικομηδείας Ἀθανάσιος — Ὁ Χαλκηδόνος Γεράσιμος — Ὁ Δέρκων Γρηγόριος — Ὁ Φιλαδελφείας Δωρόθεος — Ὁ Μεσημβρίας Γρηγόριος — Ὁ Γάνου Γεράσιμος — Ὁ Φερσάλων Παρθένιος.

XXIII. 1815. Томъ патріарха Кирилла VI и священнаго синода о соединеніи митрополіи Ниссы и архіепископіи Ниссавы въ одну епархію, подъ властью митрополита Ниссы кир Мелетія.

К. П. А., IX, 353—354.

Κύριλλος ἐλέῳ Θεοῦ κτλ.

Ἡ μὲν θεραπευτικὴ μέθοδος διὰ τῆς συνθέσεως τῶν ἁπλῶν πολλάκις τοῖς ἀσθενέσι παρέχεται ἴασιν καὶ ἔντονον καὶ κατὰ φύσιν ἀποτελεῖ τῶν πρώην ἐκλελυμένων καὶ παραπαιόντων σωμάτων τὴν κίνησιν· ἡ δὲ κατὰ πνευματικὴν ἐπιστήμην ἀκροτάτη διοίκησις διὰ τῆς ἑνώσεως πολλάκις δύο διῃρημένων παροικιῶν καὶ ὑφ' ἕνα καὶ τὸν αὐτὸν προστάτην κανονικῆς ἐπισκέψεως τὴν σωτηριώδη κατάστασιν τῶν ὀρθοδόξων μελῶν τῆς Ἐκκλησίας ποιεῖται εὔρυθμόν τε καὶ κατὰ λόγον τὴν διεξαγωγὴν τῶν ἐπαρχιῶν ἀναδείκνυσι, πρόσφορον καὶ κατάλληλον ἐπάγουσα τῇ περιστάσει τὴν θεραπείαν· πάντα γὰρ πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν γίνεσθαι καὶ ὁ ἀποστολικὸς ἀποφαινόμενος λόγος, εἰς αὐτὸ τοῦτο προάγει καὶ διατίθησι τοὺς τὴν

ἐκκλησιαστικὴν προστασίαν ἀνεζωσμένους καὶ θεία νεύσει τοῦ χριστωνύμου πληρώματος ἀνειλημμένους τὴν ἐπιμέλειαν. Τοιαύτῃ τινὶ οἰκονομίᾳ καὶ θεραπείᾳ ἔγνωμεν ἐν δέοντι χρήσασθαι καὶ περὶ τὰς ἐφεξῆς δύο ἐπαρχίας Νύσσης καὶ Νυσσάβας, φαμέν, τὰς ὑποκειμένας τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ οἰκουμενικῷ θρόνῳ· διῃρημέναι γὰρ οὖσαι ἀνέκαθεν, ὑπὸ δύο ἀρχιερέων κανονικὴν προστασίαν διετέλουν, καὶ ἡ μὲν ὡς μητρόπολις τετιμημένη τὸν ἴδιον εἶχε μητροπολίτην, ἡ δὲ μέλος ἦν ἀνέκαθεν ἴδιον σκηνωμένον τῇ ἁγιωτάτῃ μητροπόλει Σοφίας, διοικουμένη ὑπὸ τοῦ κατὰ καιρὸν μητροπολίτου Σοφίας· μετὰ ταῦτα δ' ἀποσπασθεῖσα ἐκείνης εἰς ἀρχιεπισκοπικὴν καθέδραν τετίμηται, καὶ δὴ τάξιν ἀρχιεπισκοπῆς λαβοῦσα ἀπὸ χρόνων ἱκανῶν, ἴδιον εἶχεν ἀρχιεπίσκοπον, ἐκλελεγμένους ἐκκλησιαστικῶς καὶ ἀποκαθισταμένους κανονικῶς ἐν ἑκατέρᾳ, καὶ οὕτω διετέλεσαν μεμερισμένως ἄχρι τοῦ νῦν διοικούμεναι. Ἀλλ' ἡ μὲν διὰ τὰς καιρικὰς περιπετείας καὶ τὴν ἀθρόαν τῶν ἀνυποίστων ἐκείνων καὶ τοῖς πᾶσιν ἐγνωσμένων ἐπαγωγήν, μονονοὺ ἐρημωθεῖσα, ἀδύνατος πρὸς τὴν ἀναγκαιοτάτην κυβέρνησιν τοῦ κυριάρχου αὐτῆς ἀνεφάνη, ἡ δὲ ἁγιωτάτη ἀρχιεπισκοπὴ Νυσσάβας, καίτοι πρὸς τοῦτο ἱκανὴ οὖσα καὶ ἧ μηδὲν ἧ μικρὸν μετασχοῦσα τῆς καιρικῆς ἐκείνης κακότητος, ὅμως εἰς ἀνωμαλίαν περιέστη πολλήν, διά τε τοῦ βίου τὸ ἐπιλήψιμον καὶ τὸ ἀκατάστατον τοῦ τρόπου καὶ ὅλως ἀδόκιμον τοῦ ἐν αὐτῇ ὁπώσποτε ἀρχιερατεύοντος Σαμουήλ. Περὶ αὐτῶν γοῦν συνοδικῶς ἡμῖν διασκεπτομένοις καὶ τὴν κατάλληλον θεραπείαν διανοουμένοις ἐπενεγκεῖν, ἀναγκαιότατον ἔδοξεν εἰς μίαν αὐτὰς ἑνῶσαι καὶ ὑπὸ μίαν καὶ τὴν αὐτὴν τάξαι προστασίαν τοῦ κανονικῶς θατέραν, ἤτοι τὴν ἁγιωτάτην μητρόπολιν Νύσσης, διιθύνοντος, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Μελετίου, τὸ μὲν τῇ ἀδυνάτῳ καὶ ἐνδεῶς ἐχούσῃ δύναμίν τινα καὶ συναντίληψιν διὰ τῆς φεραλλήλου ταύτης ἑνώσεως πρυτανεύοντες, τὸ δὲ καὶ ὡς βραβεῖον καὶ ἔπαθλον τῷ συναδελφῷ ἡμῶν τούτῳ ἀπονέμοντες διὰ τὰς πιστὰς αὐτοῦ καὶ ἀξιοπρεπεῖς ἐκδουλεύσεις πρός τε τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν καὶ τὸ βασίλειον αὐτὸ κράτος καὶ τὴν ἀξιόχρεων εὐαρέστησιν καὶ εὐδοκίμησιν, ἐν αἷς διωρίσθη ἐκεῖ ὑπουργίαις, τὴν μετὰ πολλῶν ἐπαίνων γενομένην γνωστὴν πρὸς τὸ ὑψηλὸν καὶ κραταιὸν δεβλέτι, καὶ τοιαύτης ἀντιμισθίας φανεῖσαν ἐπάξιον, εὐέλπιδες ὄντες ὅτι σὺν Θεῷ ἀντιλήπτορι οὐ μόνον τὸ ἐν αὐταῖς λογικὸν ποίμνιον πατρικῆς ἀξιώσει περιθάλψεως καὶ παραμυθίας, ἀλλὰ καὶ τὰς ἐπαρχίας αὐτὰς ἀξίας λόγου καὶ ζηλωτάς, τοῦ καιροῦ προιόντος, ἀναδείξεται κατὰ τὸν ἐν εὐαγγελίοις πιστὸν καὶ φρόνιμον οἰκονόμον. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τοῦ εἰρημένου Σαμουὴλ

τοῦ ἐν τῇ ἐπαρχίᾳ Νυσσάβας, ὡς μὴ ὤφελεν, ἄχρι τοῦ νῦν ἀρχιερατεύσαντος, μεμακρυσμένου διόλου μένοντος ἀπ' αὐτῆς καὶ ἀπεξενωμένου καὶ μηδεμίαν ὅλως ἔχοντος μετ' αὐτῆς σχέσιν ἢ ἀναφορὰν ἢ λόγον κυριαρχίας καὶ δεσποτείας, μείνῃ αὕτη ἡνωμένη μετὰ τῆς ἁγιωτάτης μητροπόλεως Νύσσης, καὶ συνηρμοσμένη μετὰ πάντων τῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτῆς κινητῶν τε καὶ ἀκινήτων, καὶ ὑπάρχῃ καὶ παρὰ πάντων γινώσκηται ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς μία καὶ μόνη ἐπαρχία, δεσποζομένη ὑπὸ τοῦ νῦν κυριάρχου αὐτῆς ἱερωτάτου μητροπολίτου Νύσσης καὶ Νυσσάβας, ὑπερτίμου καὶ ἐξάρχου κάτω Μοισίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Μελετίου, ἰθυνομένη τε καὶ διεξαγομένη κανονικῶς ὑπὸ τῆς αὐτοῦ ἱερότητος, ὅστις ἔχει ἐπ' ἀδείᾳ ποιμαίνειν τὸ ἐν αὐτῇ λογικὸν ποίμνιον καὶ ποδηγετεῖν σωτηριωδῶς εἰς τὰς ὁδοὺς τῆς εὐαγγελικῆς χάριτος, εὐλογεῖν τε καὶ ἁγιάζειν αὐτοὺς καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν κατὰ τὴν περίληψιν τῆς πράξεως αὐτοῦ μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καρπούμενος καὶ λαμβάνων ἀπαραμειώτως καὶ ἀνελλιπῶς καὶ πάντα τὰ ἀνήκοντα αὐτῷ δικαιώματα καὶ εἰσοδήματα κύριά τε καὶ τυχηρά· ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν αὐτῇ τῇ ἐπαρχίᾳ Νυσσάβας χριστιανοί, ἱερωμένοι καὶ λαϊκοί, καθὼς καὶ οἱ ἐν τῇ ἐπαρχίᾳ Νύσσης, γνωρίζειν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς γνήσιον καὶ νόμιμον αὐτῶν ἀρχιερέα καὶ κυριάρχην τὴν αὐτοῦ ἱερότητα, πειθαρχεῖν τε καὶ ὑποτάσσεσθαι αὐτῷ καὶ παρέχειν εὐπειθῶς καὶ προθύμως τὰ ἀνήκοντα δικαιώματα, μηδενὸς ἐναντιουμένου τὸ παράπαν ἢ ἀντιλέγοντος, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀλύτου ἀφορισμοῦ τοῦ ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπολυθεὶς καὶ ὁ ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, κἂν τῷ ἱερῷ κώδικι τῶν ὑπομνημάτων καταστρωθείς, ἐπεδόθη τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Νύσσης καὶ Νυσσάβας, ὑπερτίμῳ καὶ ἐξάρχῳ κάτω Μοισίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Μελετίῳ.

ϡωιε'.

Ὁ πατριάρχης Κωνσταντινουπόλεως ἀποφαίνεται.

Ὁ Ἐφέσου Διονύσιος — Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Κυζίκου Κωνστάντιος — Ὁ Νικαίας Ἰωαννίκιος — Ὁ Δέρκων Γρηγόριος — Ὁ Παροναξίας . . . . . — Ὁ Σκοπίων Ἄνθιμος — Ὁ Πόσνας Καλλίνικος.

XXIV. 1818, февраль, инд. VI. Грамота патріарха Кирилла VI и священнаго синода о возведеніи епископіи Триполицы, бывшей патріаршей экзархіи, въ достоинство митрополіи, съ присоединеніемъ къ ней епископіи Амикла.

К. П. А., XIII, 77.

Κύριλλος κτλ.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ ἀποδεικτικοῦ γράμματος δῆλον γίνεται ὡς ἡ ἐν Πελοποννήσῳ κειμένη πολιτεία Τριπολιτζᾶ καλουμένη, ἐξ ἀρχῆς τῆς ὑπάρξεως αὐτῆς καὶ συστάσεως τῶν σταυροπηγιακῶν προνομίων ἀξιωθεῖσα καὶ ἐξαρχία τελέσασα, ἐδωρεῖτο ἐξάρχοις φιλοτιμίᾳ πατριαρχικῇ, καὶ ἀνετίθετο ἡ πνευματικὴ διοίκησις αὐτῆς ὁτὲ μὲν τῷ ἁγίῳ Λακεδαιμονίας, ὁτὲ δὲ τῷ ἁγίῳ Ἀμυκλῶν, ἢ ἄλλῳ τινὶ τῶν πλησιοχώρων συναδέλφων ἀρχιερέων, πληρούντων ἐτησίως τὸ ὡρισμένον ἐξαρχικὸν δικαίωμα πρὸς τὸν κατὰ καιρὸν καθολικὸν ἔξαρχον, καὶ λαμβανόντων ἐνυπόγραφον παρ' αὐτοῦ τὴν συνήθη ἀπόδειξιν. Ἐπεὶ δέ, μετὰ τὴν ἀποβίωσιν τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἀμυκλῶν κὺρ Νικηφόρου, εἰς ἐπαρχίαν καὶ μητρόπολιν μετερρυθμίσθη ἡ ῥηθεῖσα Τριπολιτζᾶ, κατὰ κοινὴν καὶ συνοδικὴν διάγνωσιν ἐπὶ λόγοις εὐλόγοις, προσφυέσι τε καὶ ἀναγκαίοις, ἐμφερομένοις ῥητῶς καὶ ἐν αὐτῷ τῷ τῶν ἱερῶν ὑπομνημάτων ἐκκλησιαστικῷ κώδικι, ἀφῃρέθησαν ἀπ' αὐτῆς καὶ τὰ προκεχωρημένα σταυροπηγιακὰ προνόμια, καὶ τὰ τῆς ἐξαρχίας ἠπράκτησεν, ὡς εἰκός, καὶ κατηργήθη διόλου, χειροτονηθέντος ἐπὶ τῷ ὀνόματι αὐτῆς τε τῆς πολιτείας καὶ τῶν συνημμένων αὐτῇ χωρίων Ἀμυκλῶν, τῶν ἐπισκοπικὴν τάξιν ἄχρι τοῦδε λαχόντων, καὶ κυριάρχου κανονικοῦ ἀποδειχθέντος τοῦ ἤδη ἱερωτάτου μητροπολίτου Τριπολιτζᾶς καὶ Ἀμυκλῶν καὶ ὑπερτίμου, ἐν ἁγίῳ κτλ. κὺρ Διονυσίου. Ἔνθεν τοι καὶ ἀσφαλείας ἕνεκα μείζονος τῆς αὐτοῦ ἱερότητος καὶ τῶν διαδόχων αὐτοῦ καὶ ἀπαλλαγὴν ἀπὸ τῆς τοῦ ἐξαρχικοῦ ἐτησίου χορηγίας καὶ ἐκπληρώσεως, γράφοντες καὶ διὰ τοῦ παρόντος πατριαρχικοῦ ἡμῶν καὶ συνοδικοῦ γράμματος ἀποφαινόμεθα συνοδικῶς κτλ., ἵνα ἡ μέχρι τοῦ νῦν πατριαρχικὴ ἐξαρχία διατελέσασα Τριπολιτζᾶ αὕτη ὑπάρχῃ τὸ ἀπὸ τοῦδε καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἐπαρχία καὶ μητρόπολις, ἔχουσα τὸν ἴδιον προστάτην πνευματικὸν καὶ κυριάρχην, τὸν παρὰ τῆς ἐκκλησίας κανονικῶς ἀποκαθιστάμενον, καὶ μηδένα γνωρίζουσα ἔξαρχον ἀπὸ τοῦ νῦν, ἀνωτέρα τε καὶ ἐλευθέρα πάσης ἀπαιτήσεως ἐξαρχικῆς καὶ συγκατειλεγμένη ταῖς ὑποκειμέναις τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ καὶ οἰκουμενικῷ θρόνῳ. Ὡσαύτως δὲ καὶ ὁ ἤδη κανονικῶς ἐν αὐτῇ ἀρχιερατεύων ἀγαπητὸς κτλ. καὶ οἱ μετὰ ταῦτα νομίμως αὐτὸν διαδεξόμενοι, ἀκαταζήτητοι δικαιωμάτων ἐξαρχικῶν καὶ κατὰ τοῦτο ὑπάρχωσιν ἀνενόχλητοι καὶ ἀνεπηρέαστοι, μηδενὶ μηδὲν ὀφείλοντες διδόναι λόγῳ

ἐτησίου ἐξαρχικοῦ, μήτε τῷ τέως ἐξάρχῳ αὐτῆς διατελέσαντι λογιωτάτῳ β' ὀστιαρίῳ κὺρ Γεωργίῳ, μήτε ἄλλῳ τινὶ εἰς αἰῶνα τὸν ἅπαντα μέχρι καὶ αὐτοῦ τοῦ λεπτοῦ, ἀλλ' ἔχωσιν ἐπ' ἀδείας καρποῦσθαι καὶ νέμεσθαι ἀπ' αὐτῆς πάντα τὰ κύρια καὶ τυχηρὰ ἐκκλησιαστικὰ καὶ ἐνοριακὰ αὐτοῦ δικαιώματα καὶ εἰσοδήματα, καὶ ἀπολογεῖσθαι μὲν προθύμως τὰ πρὸς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας χρέη αὐτοῦ, τό γε βασιλικὸν μιρὶ καὶ χαράτζι καὶ τὰ διάφορα τῶν αὐλικῶν δανειστῶν καὶ εἴ τι ἄλλο κατὰ τὴν τάξιν καὶ τῶν λοιπῶν ἐπαρχιῶν, διοικεῖν δὲ καὶ διεξάγειν κυριαρχικῶς πάσας τὰς ὑποθέσεις αὐτῆς, ὃν τρόπον καὶ τῶν συγκροτούντων τὴν ἐπαρχίαν αὐτὴν ἐπιλοίπων μερῶν κατὰ τὴν περίληψιν τῆς ἐκκλησιαστιακῆς πράξεως καὶ τῶν ἐπιδιδομένων ὑψηλῶν βασιλικῶν προσκυνητῶν ὁρισμῶν, μνημονευομένου ἀενάως καὶ τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἐκεῖ διατελούσαις ἱεραῖς ἐκκλησίαις, ὡς νενόμισται. Εἰς γοῦν ἔνδειξιν τούτων καὶ ἀσφάλειαν διηνεκῆ ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν κτλ. καὶ ἐδόθη τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Τριπολιτζᾶς κτλ.

,αωιη', ἐν μηνὶ φεβρουαρίῳ, ἰνδικτιῶνος ς'.

Ὁ Καισαρείας Ἰωαννίκιος — Ὁ Ἐφέσου Διονύσιος — Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Κυζίκου Κωνστάντιος — Ὁ Νικομηδείας Ἀθανάσιος — Ὁ Χαλκηδόνος Γεράσιμος — Ὁ Δέρκων Γρηγόριος — Ὁ Βερροίας Ζαχαρίας — Ὁ Κρήτης Γεράσιμος — Ὁ Λαρίσσης Πολύκαρπος — Ὁ Σκοπείων Ἄνθιμος — Ὁ Σίφνου Καλλίνικος — Ὁ Δεβρῶν Δοσίθεος.

XXV. 1818, февраль, инд. VI. Сигиллій патріарха Кирилла VI и священнаго синода о присоединеніи экзархіи Метсова къ мѣстной греческой школѣ.

К. П. А., XIII, 82—83.

Κύριλλος ἐλέῳ Θεοῦ κτλ.

Ἐν πολλοῖς μὲν καὶ ἄλλοις ἔστιν ἰδεῖν τῆς ἐκκλησιαστικῆς προνοίας τὸ ἀδιάλειπτόν τε καὶ ἄγρυπνον καὶ οἷαν ἐν τοῖς ἐμπίπτουσι προβάλλεται τὴν οἰκονομίαν, πολλῷ δὲ πλέον ἐν ταῖς ὑποκειμέναις αὐτῇ ἀνέκαθεν ἐξαρχίαις καὶ τῷ πατριαριχκῷ κλεϊζομέναις ὀνόματι. Ταύτας καὶ γὰρ ποικιλοτρόπως ῥυθμίζειν εἴωθεν, ὡς μέλη γνήσια τοῦ κατ' αὐτὴν ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου πεφυκυίας, καὶ ἀείποτε πρὸς τὸ εὔθετον συντάττειν οὐκ ἀπαναίνεται διὰ τῶν ὑπεροχικῶν αὐτῆς προνομίων καὶ τῆς ὑπερτελεστάτης δυνάμεως, σκοπὸν ἔχουσα τὸ ἄνετον τῶν ἐν αὐταῖς διατελούντων εὐσεβῶν καὶ ὅσα τούτοις κοινὴν τὴν ὠφέλειαν ἐνεργάζεται.

Ἐπειδὴ τοιγαροῦν καὶ τὸ κατὰ τὴν Ἤπειρον κείμενον ὑπερύψηλον ὄρος τοῦ Πίνδου, ὅπερ κοινότερον Μέτζοβον ἐκλήθη, μετὰ τῶν παρακειμένων χωρίων Ἀνήλιο, Προσήλιο, Μηλιά, Μαλακάσι, Κοψοφάνη καὶ Τρεβωτίστα, καὶ τῶν ἐν αὐτοῖς ἱερῶν ἐκκλησιῶν καὶ τριῶν σεβασμίων μοναστηρίων, πατριαρχικὴ ἀνέκαθεν ἐξαρχία τελέσαν, ἄμεσον ἔσχε τὴν ἀναφορὰν πρὸς μόνον τὸν καθ' ἡμᾶς ἁγιώτατον πατριαρχικὸν ἀποστολικὸν οἰκουμενικὸν θρόνον, ἐδωρεῖτο κανονικοῖς ἐξάρχοις κατὰ φιλοτιμίαν πατριαρχικήν, καὶ διῳκεῖτο κατά γε τὰ πνευματικὰ ὑπὸ τῶν ἐκλεγομένων ὑπ' αὐτῶν καὶ διὰ τῆς συνήθους ἐξαρχικῆς ἀποδείξεως διοριζομένων κατὰ καιροὺς ἐπιτρόπων προσώπων ἱερωμένων. Ἀλλ' ἐπειδὴ πρὸ χρόνων τινῶν, θερμῆς αἰτήσεως γενομένης παρὰ τοῦ τότε τὴν ἁγιωτάτην μητρόπολιν Ἰωαννίνων κανονικῶς ἱθύνοντος μακαρίτου κὺρ Ἱεροθέου, ἐπετράπη δι' ἐξαρχικῆς συναινέσεως ἡ διοίκησις αὐτῆς τῇ ἐπιτροπικῇ τῆς αὐτοῦ ἱερότητος ἐπισκέψει, οἱ τῶν ἐξονομασθέντων χωρίων χριστιανοί, τὴν πρὸς καιρὸν ὑποχώρησιν ἔνδοσιν ὑπολαβόντες ἑνώσεως τῆς ἐξαρχίας μετὰ τῆς ἁγιωτάτης μητροπόλεως τῶν Ἰωαννίνων, καὶ αἰτίαν μεταρρυθμίσεως καὶ ἀποκαταστάσεως εἰς ἐπισκοπήν, κἀντεῦθεν τὴν στέρησιν τῶν ἀνέκαθεν ἐπιδαψιλευομένων αὐτοῖς σταυροπηγιακῶν προνομίων μὴ ἀνεκτὴν ἡγησάμενοι, προσέδραμον τῇ Ἐκκλησίᾳ διὰ κοινῆς ἀναφορᾶς αὐτῶν προσκλαιόμενοι, καὶ τὴν ἐπικύρωσιν τῆς ἐλευθερίας τῶν προνομίων αὐτῆς ἐξαιτούμενοι, ἥτις ἐπεδόθη αὐτοῖς διὰ γράμματος πατριαρχικοῦ καὶ συνοδικοῦ, διαλύοντος τὰς ἀναφυείσας αὐτοῖς ὑπονοίας καὶ πρὸς τοῖς ἄλλοις ἀπαγορεύοντος ἐν παντὶ καιρῷ καὶ οἱῳδήποτε τρόπῳ τὴν ἀποκατάστασιν ἐπ' αὐτοῖς ἀρχιερατικοῦ προσώπου, καὶ τὴν εἰς ἐπισκοπὴν ἢ μητρόπολιν καὶ ἁπλῶς ἐπαρχίαν μεταρρύθμησιν καὶ μεταβολήν· ἀλλὰ καίτοι τούτων οὕτω διατεθέντων πρὸς ἡσυχίαν αὐτῶν, ἐνεφανίσθησαν ὅμως ἤδη τῇ ἡμῶν μετριότητι καὶ τῇ περὶ ἡμᾶς ἱερᾷ ἀδελφότητι χριστιανοὶ τῶν ἐνταῦθα ἐξ ἐκείνων τῶν μερῶν διατριβόντων εὐσεβεῖς, δεόμενοι καὶ ἱκετεύοντες θερμῶς ἐξ ἑαυτῶν τε καὶ τῶν ἀπόντων συνεγχωρίων αὐτοῖς, ὅπως ἡ πατριαρχικὴ ἡμῶν αὕτη ἐξαρχία συνενωθῇ τῇ ἐκεῖ σχολῇ τῶν ἑλληνικῶν μαθημάτων καί, προσηλωθεῖσα ἀδιασπάστως, διοικῆται ὑπὸ τῶν κατὰ καιροὺς ἐκλεγομένων ἐπιτρόπων, προβαλλόμενοι τὴν ἕνωσιν αὐτὴν οὐ μόνον τῶν σταυροπηγιακῶν προνομίων συντηρητικωτέραν, ἀλλὰ καὶ πολλῶν συμβαινουσῶν καταχρήσεων ἀπαλλακτικήν, ὅσαι ὑπὸ τῶν μονομερῶς διοριζομένων κατὰ τόπον ἐξαρχικῶν ἐπιτρόπων συνέβαινον ἄχρι τοῦ νῦν, ἡσυχίας τε καὶ ἀσφαλείας πᾶσιν αὐτοῖς περιποιητικήν, καὶ τελευταῖον ἐπικουρίας τινὸς καὶ ἀντιλήψεως τῇ ἐκεῖ διατελούσῃ σχολῇ τῶν ἑλληνικῶν μαθημάτων παρεκτικὴν καὶ παραίτιον. Ταύτης γοῦν τῆς αἰτήσεως αὐτῶν συνοδικῶς ἐπεξεργασθείσης καὶ διὰ τοὺς εἰρημένους λόγους φανείσης ἀποδεκτῆς, ὑπείκοντός τε καὶ συν-

διατιθεμένου πρὸς ταῦτα καὶ τοῦ ἄχρι τοῦ νῦν καθολικοῦ ἐξάρχου λογιωτάτου γραμματικοῦ τοῦ κοινοῦ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κὺρ Ἀλεξάνδρου καὶ ὑποχωροῦντος ἀβιάστως καὶ οἰκειοθελῶς, ἔγνωμεν ἐνδοῦναι καὶ τὰ τῆς ἑνώσεως διαπράξασθαι διὰ τοῦδε τοῦ ἐκτελεστικοῦ ἡμῶν γράμματος σιγγιλιώδους ἐν μεμβράναις. Καὶ δὴ κατὰ τὴν αἴτησιν ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν κτλ., ἵνα ἡ ἐξαρχία Μετζόβου, μετὰ πάντων τῶν συνιστώντων αὐτὴν εἰρημένων χωρίων καὶ ἱερῶν ἐκκλησιῶν καὶ τῶν δύο ἱερῶν μοναστηρίων, ὑπάρχῃ τὸ ἀπὸ τοῦδε συνηνωμένη ἀδιαλύτως καὶ προσηλωμένη ἀδιασπάστως μετὰ τῆς ἐκεῖ κοινῆς τῶν ἑλληνικῶν μαθημάτων σχολῆς, καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται μέλος ἓν ἀδιαίρετον, ἀνωτέρα μὲν ἁπάσης ἀπαιτήσεως ἐξαρχικῆς, ὑποκειμένη δὲ ἀμέσως ὡς καὶ πρότερον τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ, ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ, καὶ μηδένα γνωρίζουσα ἔξαρχον ἰδιαίτερον ἀπὸ τοῦ νῦν, μνημονευομένου ἐν πάσαις ταῖς ἐν αὐτῇ ἱεραῖς ἐκκλησίαις καὶ τοῖς ἱεροῖς καταγωγίοις τοῦ πατριαρχικοῦ ὀνόματος ἡμῶν τε καὶ τῶν μετὰ ταῦτα διαδόχων ἡμῶν. Ἔχουσι δὲ ἐπ' ἀδείας οἱ κατὰ καιροὺς ἐπίτροποι τῆς σχολῆς ἐκλέγειν ἕνα τῶν ἐκεῖ ἱερωμένων, τὸν μᾶλλον ἄξιον καὶ ἁρμόδιον καὶ ὑπόληψιν ἔχοντα φρονημάτων ὀρθῶν καὶ βίου ἀνεπιλήπτου, πρὸς ἐπίσκεψιν τῶν ἐμπιπτουσῶν ἐκκλησιαστικῶν ὑποθέσεων ἄγρυπνον καὶ διοίκησιν ἀρίστην, ἐν πάσῃ τῇ ὀφειλομένῃ κανονικῇ ἀκριβείᾳ ἐνεργουμένην· κἀπειδὰν ἐν χρείᾳ γένωνται χειροτονίας, προσκαλεῖν ὃν ἂν βούλωνται τῶν πλησιοχώρων ἀρχιερέων ἐπὶ τῷ ἐκτελεῖν αὐτάς, γράφειν τε ἀμέσως περὶ πάσης καὶ παντοίας αὐτῶν ἐκκλησιαστικῆς καὶ πνευματικῆς χρείας καὶ ὑποθέσεως πρὸς τὸν κατὰ καιροὺς τὸν οἰκουμενικὸν θρόνον διέποντα, καὶ ἀναγγέλλειν θαρρούντως τὰς αἰτήσεις αὐτῶν ἐπὶ τῷ λαμβάνειν τὸ προσῆκον πέρας κατὰ τὸ εὐλογοφανὲς καὶ δίκαιον. Πρὸ πάντων δὲ ὀφείλουσιν ἀγρύπνοις ὀμμάτων βολαῖς φροντίζειν καὶ διατηρεῖν ἀπαράτρεπτα καὶ ἀπαρεγχείρητα τὰ ἐπικεχορηγημένα τῇ πατριαρχικῇ ἡμῶν ταύτῃ ἐξαρχίᾳ γεραρὰ τῆς σταυροπηγιακῆς χάριτος καὶ ἀξίας προνόμια, ἵνα μή ποθεν κατάχρησίς τις ἀναφυεῖσα παραβλάψῃ τὴν ἀνεξαρτησίαν αὐτῆς καὶ τὸ παντελεύθερον καὶ τὴν ἐκκλησιαστικῇ συγκαταβάσει καὶ προμηθείᾳ γενομένην ἕνωσιν μετὰ τῆς σχολῆς, λόγῳ βοηθείας καὶ συστάσεως μείζονος καὶ ὠφελείας τῶν ἐγχωρίων· ὅστις δ' ἂν καὶ ὁποῖος ἐπιχειρήσῃ διασεῖσαι καὶ διαλύσαι τρόπῳ οἱῳδήτινι κτλ.

,αωιη', κατὰ μῆνα φεβρουάριον, ἐπινεμήσεως ς'.

Κύριλλος κτλ.

Ὁ Καισαρείας Ἰωαννίκιος — Ὁ Ἐφέσου Διονύσιος — Ὁ Ἡρακλείας Μελέτιος — Ὁ Κυζίκου Κωνστάντιος — Ὁ Νικομηδεί-

ας Ἀθανάσιος — Ὁ Χαλκηδόνος Γεράσιμος — Ὁ Δέρκων Γρηγόριος — Ὁ Βερροίας Ζαχαρίας — Ὁ Κρήτης Γεράσιμος — Ὁ Λαρίσσης Πολύκαρπος — Ὁ Ἀγχιάλου Εὐγένιος — Ὁ Σκοπείων Ἄνθιμος — Ὁ Σίφνου Καλλίνικος — Ὁ Δεβρῶν Δοσίθεος.

XXVI. 1818, ноября 15. Синодальное посланіе митрополиту Касторіи о присоединеніи епископіи Колоніи.

К. П. А., DCXXXVIII, 2.

Ἴσον ἀπαράλλακτον τῆς ἐκδοθείσης καὶ σταλείσης πρὸς τὸν ἅγιον Καστορίας συνοδικῆς ἐπιστολῆς περὶ τῆς προσηλώσεως τῆς ἐπισκοπῆς Κολωνίας.

Ἱερώτατε μητροπολῖτα Καστορίας κτλ. Τὸ πρὸς ἡμᾶς καὶ τὴν περὶ ἡμᾶς ἀδελφότητα καὶ ἁγίαν σύνοδον ἀπὸ τῆς ις' τοῦ παρελθόντος ἰουλίου σεσημειωμένον ἀδελφικόν σου ἐλάβομεν εὐμενῶς, καὶ ἀναγνόντες εἴδομεν τὰς εὐχαρηστηρίους ἀπαντήσεις σου εἰς ὅσα ἡ Ἐκκλησία ψήφῳ παγγενεῖ ἀπεφήνατο περὶ τῆς ἐπὶ τὸ βέλτιον μεταρρυθμίσεως τῶν τοῦ Κοινοῦ αὐτῆς πραγμάτων, καὶ τῆς διαιτήσεως τοῦ κορυφωθέντος ἐκείνου χρέους, γνωστοποιηθέντων σοι πάντων τούτων περιστατικῶς διά τε τῆς ἐκδοθείσης ἐγκυκλίου ἐπιστολῆς καὶ τοῦ συναπολυθέντος καὶ τύποις ἐκδοθέντος ἐκκλησιαστικοῦ καὶ γενικοῦ τόμου· καὶ ἐπῃνέσαμεν τὴν ἐν τοῖς δεδογμένοις ὑπακοήν σου καὶ προθυμίαν, ὡς παραστατικὴν τῆς εὐγνωμοσύνης σου πρὸς τὴν κοινὴν εὐεργέτιδα καὶ τροφόν. Εἴδομεν ἐπομένως καὶ τὴν ἀνάπτυξιν τῶν διατρεξάντων ἀπ' ἀρχῆς περί τε τὴν διαίρεσιν καὶ ἕνωσιν αὖθις τῆς ἐπισκοπῆς Κολωνίας μετὰ τῆς ἁγιωτάτης μητροπόλεώς σου, δηλονότι ἡ μὲν διαίρεσις ἐκείνη ἐγένετο ἀδείᾳ ἐκκλησιαστικῇ ἐπὶ τοῦ μακαρίτου προκατόχου σου Γενναδίου, καὶ οὕτω διῃρημένην εὗρες καὶ ἡ ἱερότης σου ἀρχιερατεύσας· ἀποθανόντος δὲ τοῦ ἐπισκόπου Κολωνίας ἠνώθη πάλιν κατ' ἄδειαν ἐκκλησιαστικὴν μετὰ τῆς ἐπαρχίας, ὅτε καὶ ἀνέλαβες ἡ ἱερότης σου οὐ μόνον τὸ ἐπ' ὀνόματι τῆς ἐπισκοπῆς αὐλικὸν χρέος, συνενωθὲν τῷ χρέει τῆς μητροπόλεως, ἀλλὰ καὶ τὸ ἴδιον ἐκείνου ἐπιτοπίως χρεωστούμενον καὶ ἀναπόδραστον διὰ τὴν ἰσχὺν τῶν λαμβάνειν ἐχόντων, ἐξ οὗ καὶ ἐπλήρωσας γρόσια 1000 κεφάλαιον, καὶ εἰσέτι κατ' ἔτος ἀποκρίνεσαι τοὺς δεδηλωμένους τόκους τῆς λοιπῆς ποσότητος. Ταῦτα κατὰ πλάτος καὶ περιστατικῶς εἴδομεν ἐν τῇ σταλείσῃ ἀναφορᾷ σου καὶ ἐν τοῖς συναποσταλεῖσιν ἐγγράφοις καὶ καταστίχοις καὶ ἀνενοήσαμεν, ὅτι ἀπερισκέπτως συμπεριελαμβάνετο εἰς τοὺς προσδιορισμοὺς τῶν ἐκκλησιαστικῶν συδοσιμάτων τὸ ὄνομα τῆς μὴ ὑφεστώσης μηδὲ ὑπαρχούσης ἤδη ἐπισκοπῆς Κολωνίας, καθὼς συνέβη καὶ εἰς τὴν προσφά-

τως γενομένην διανομὴν τῶν τριῶν χιλιάδων πουγγίων εἰς ὅλας τὰς σωζομένας καὶ ὑφεστώσας ἐπαρχίας, μὲ τὸ νὰ μὴν ὑπῆρχε προγεγενημένη ἡ διασάφησις αὐτὴ καὶ ἀνάπτυξις, καὶ προσδιωρίσθησαν ἐπ' ὀνόματι ἐπισκοπῆς Κολωνίας τρεῖς χιλιάδες ἑξακόσια γρόσια, ἐκτὸς τῶν προστεθέντων τῷ αὐλικῷ χρέει τῆς ἁγιωτάτης μητροπόλεώς σου· ἀρθείσης δὲ ἐκ μέσου κάθε ἐπιπροσθούσης ἀμφιβολίας, δὲν θέλει γίνεται εἰς τὸ ἑξῆς προσδιορισμὸς χρέους ἐπ' ὀνόματι τῆς ἐπισκοπῆς ἐκείνης, ἀλλ' ἔχει νὰ γνωρίζηται καὶ εἰς τὸ ἑξῆς καθὼς ὑπῆρχε, καὶ ἐκ τοῦ καιροῦ τῆς ἑνώσεως, μία καὶ μόνη ἡ ἐπαρχία αὕτη ὑπὸ τὴν κυριαρχικὴν ἀτομικῶς τῆς ἱερότητός σου διοίκησιν καὶ πνευματικὴν οἰκονομίαν, καὶ ἔσο βέβαιος περὶ τούτου καὶ ἀμέριμνος, ὅτι ἐσημειώθη ἐπίτηδες τοῦτο καὶ ἐν τοῖς κώδιξι τοῦ Κοινοῦ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, διὰ νὰ μὴ ἀκολουθήσῃ εἰς τὸ ἑξῆς λάθος παρόμοιον· τὸ δὲ νὰ ἀφαιρεθῇ διόλου ἡ προσδιορισθεῖσα ποσότης τῶν 3600 ἢ νὰ ἀφεθῇ, καίτοι τῆς ὑποθέσεως οὕτως ἐχούσης, ὡς εἴρηται, τοῦτο εἶναι ἀδύνατον, ἐπειδὴ καὶ λυμαίνεται τὴν ἁρμονίαν τοῦ ἀφαιρεθέντος ἐκ τοῦ Κοινοῦ καὶ διανεμηθέντος εἰς τὰς ἐπαρχίας χρέους τῶν τριῶν χιλιάδων πουγγίων, καὶ μήτε τὸ Κοινὸν δύναται νὰ ἐπαναλάβῃ ἐξ ἐκείνου τοῦ χρέους ὀβολόν, μήτε καμμία ἄλλη, ὡς εἰκός, ἐπαρχία, ὡς ἀναδεξαμένης μιᾶς ἑκάστης τὸ ἐπιβάλλον αὐτῇ· μ' ὅλον τοῦτο κατὰ πολλὴν εὐμένειαν τῆς Ἐκκλησίας πρὸς τὴν ἱερότητά σου καὶ διὰ τὰς ἐνθέρμους μεσιτείας καὶ παρακλήσεις τοῦ ἐνθέρμου ἐφόρου σου καὶ περιποθήτου ἡμῶν συναδέλφου γέροντος ἁγίου Χαλκηδόνος, ἐκ τῶν προσδιορισθέντων 3600 ἀφῃρέθησαν τὰ γρόσια 1600 καὶ ἔμειναν μόνον αἱ 2000, ἐνωθεῖσαι μετὰ τῆς ὁρισθείσης προσθήκης ἐπὶ τῷ σωζομένῳ αὐλικῷ χρέει τῆς ἁγιωτάτης μητροπόλεως, ὥστε καὶ θέλεις γνωρίζει ὁλικῶς χρέους προσθήκην ἀνάλογον ἕνδεκα χιλιάδας γρόσια, τῶν ὁποίων τὰ διάφορα θέλεις προφθάνει ἐν καιρῷ κατὰ τὴν α' ἰανουαρίου κατὰ τὴν ἔννοιαν τῆς ἐγκυκλίου ἐπιστολῆς, εὐγνωμονῶν καὶ διὰ τὴν συγκατάβασιν τῶν χιλίων αὐτῶν ἑξακοσίων γροσίων πρὸς τὴν κοινὴν εὐεργέτιδα καὶ τροφόν, καθότι ἐκτὸς τῆς προθυμίας, ἣν ὀφείλεις ὡς μέλος αὐτῆς γνήσιον, εἶναι γνωστὴ καὶ ἡ ἐλάφρωσις τῆς ἐπαρχίας σου, καὶ τελευταῖον, διὰ νὰ ἀπαρτισθῇ ὁ ἀριθμὸς τῶν τριῶν χιλιάδων πουγγίων, καὶ ἄλλοι τινὲς τῶν ἀδελφῶν, καίτοι μὴ ἐλαφρωμένων ἐπὶ τοσοῦτον τῶν ἐπαρχιῶν αὐτῶν, ὅμως ἀνεδέξαντο πλεῖω τῆς ἀναλογίας, μὲ ἄκραν αὐτῶν εὐχαρίστησιν, φανέντες φιλότιμοι καὶ συντελεστικοί, καὶ εὐχῶν καὶ ἐπαίνων ἀξιωθέντες, καθὼς τῶν τοιούτων θέλεις ἀξιωθῇ καὶ ἡ ἱερότης σου μὲ τὴν εὐχάριστον συγκατάθεσίν σου εἰς τὴν παροῦσαν διαίτησιν, ἥτις ἀναμφιβόλως καὶ θέλει λογισθῇ μία ἐξαίρετος καὶ ἀξιόχρεως δούλευσίς σου πρὸς τὴν Ἐκκλησίαν. Ἰδοὺ δέ, κατὰ τὴν θερμὴν αἴτησίν σου, σφραγισθεῖσαι

μὲ τὴν σφραγῖδα τοῦ Κοινοῦ καὶ δύο ἐπαρχιακαί σου ὁμολογίαι ἐξ χιλιάδων γροσίων στέλλονται εἰς χεῖρας σου, τὰς ὁποίας καὶ θέλεις ἐγχειρίσει εἰς τὰ γνωστά σοι πρόσωπα, λαμβάνων τὰς παρ' ἐκείνοις ἔτι σωζομένας ἐπισκοπικάς, καὶ προφθάνων τῷ σεβασμίῳ ἐφόρῳ σου διὰ νὰ σχισθῶσι συνοδικῶς, καθ' ἣν ἔδωκεν ἡ ἱερότης του ἐγγύησιν πρὸς τὴν Ἐκκλησίαν· εἶναι δὲ φροντὶς ἰδική σου καὶ ἡ ἐξόφλησις τοῦ κατὰ τόπον ὀφειλομένου ἰδίου ἐπισκοπικοῦ ἐκείνου χρέους καί, ὃν τρόπον ἐπλήρωσας τὰ χίλια, ἀνάγκη νὰ ἐπιμεληθῇς νὰ πληρώσῃς καὶ τὰς λοιπὰς τρεῖς χιλιάδας ὁποῦ ἀνέλαβες καὶ ἔχεις ἴδιον βάρος ἐπὶ τοῦ καιροῦ τῆς ἑνώσεως, τὸ ὁποῖον καὶ περιμένει νὰ πληροφορηθῇ ἡ Ἐκκλησία οὐ μόνον ἐκ τῶν ἀποτελεσματικῶν γραμμάτων σου, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν ἰδίων χρεωστικῶν ὁμολογιῶν, ἐξοφλουμένων καὶ ἐσχισμένων, καθὼς καὶ ἡ σταλεῖσα τῶν χιλίων, διὰ νὰ σὲ καταπλουτίσῃ καὶ κατὰ τοῦτο μὲ τὴν δαψίλειαν τῶν εὐχῶν καὶ ἐπαίνων της. Ἡ δὲ τοῦ Θεοῦ χάρις κτλ.

,αωιη', νοεμβρίου ιε'.

XXVII. 1821, мартъ, инд. IX. Томъ патріарха Григорія V и священнаго синода о соединеніи архіепископій Фанарія и Ферсалъ въ одну митрополію подъ управленіемъ митрополита Дамаскина, «пречестнаго и экзарха всей Фтіи».

К. П. А., IX. 429.

Γρηγόριος ἐλέῳ Θεοῦ κτλ.

Ἡ μὲν θεραπευτικὴ μέθοδος, διὰ τῆς συνθέσεως τῶν ἁπλῶν, πολλάκις τοῖς ἀσθενέσι παρέχεται ἴασιν καὶ ἔντονον καὶ κατὰ φύσιν ἀποτελεῖ τῶν πρώην ἐκλελυμένων καὶ παραπαιόντων σωμάτων τὴν κίνησιν, ἡ δὲ κατὰ πνευματικὴν ἐπιστήμην ἀκροτάτη διοίκησις, διὰ τῆς ἑνώσεως πολλάκις δύο διῃρημένων παροικιῶν καὶ ὑφ' ἕνα καὶ τὸν αὐτὸν προστάτην κανονικῆς ἐπισκέψεως, τὴν σωτηριώδη κατάστασιν τῶν ὀρθοδόξων μελῶν τῆς Ἐκκλησίας ποιεῖται, εὔρυθμόν τε καὶ κατὰ λόγον τὴν διεξαγωγὴν τῶν ἐπαρχιῶν ἀναδείκνυσι, πρόσφορον καὶ κατάλληλον, ἐπάγουσα τῇ περιστάσει τὴν θεραπείαν· πάντα γὰρ πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν γίνεσθαι καὶ ὁ ἀποστολικὸς ἀποφαινόμενος λόγος, εἰς αὐτὸ τοῦτο προάγει καὶ διατίθησι τοὺς τὴν ἐκκλησιαστικὴν προστασίαν ἀνεζωσμένους καὶ θεία νεύσει τοῦ χριστωνύμου πληρώματος ἀνειλημμένους τὴν ἐπιμέλειαν. Τοιαύτῃ τινὶ οἰκονομίᾳ ἔγνωμεν ἐν δέοντι χρήσασθαι καὶ περὶ τῶν ἐφεξῆς δύο ἐπαρχιῶν Φερσάλων καὶ Φαναρίου, τῶν ὑποκειμένων τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ, ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ. Ἀμφότεραι γὰρ ἀρχιεπισκοπαὶ οὖσαι, ἴδιον εἶχεν ἑκατέρα ἀρχιερέα, καὶ μέχρι μέν τινος ἀμφότεραι διῳκονομοῦντο ἄριστα, ἔκ τινων δὲ χρόνων ἡ

μὲν τῶν Φερσάλων ἀρχιεπισκοπή, διατηρήσασα τὴν καλῶς ἔχουσαν κατάστασιν, μᾶλλον ἐπὶ τὸ κρεῖττον προῆλθεν, ἀρχιερατεύσαντος ἐν αὐτῇ κατ' εὐκληρίαν τοῦ ἀγαπητοῦ ἡμῶν συναδέλφου κὺρ Δαμασκηνου, ἀνδρὸς ἤθεσιν ἀρχιεροπρεπέσι κεκοσμημένου καὶ ἀξιότητι πεπλουτισμένου· ἡ δὲ τοῦ Φαναρίου ἀρχιεπισκοπὴ ἐπὶ τὸ χεῖρον ἐξετράπη, χρέεσιν ἰδίοις καταβαρυνθεῖσα, ὥστε καὶ ὁ ἐν αὐτῇ ἤδη ἀρχιερατεύων κὺρ Σεραφείμ, ὁλοκλήρους χρόνους ἀγωνισθείς, ἀδύνατος ἐφάνη περὶ τῶν χρεῶν τούτων τὴν οἰκονομίαν, καὶ οὐ μόνον τούτων, ἀλλὰ δὴ καὶ αὐτῶν τῶν αὐλικῶν διαφόρων αὐτῆς, καὶ αὐτοῦ τοῦ βασιλικοῦ ζητομηρίου καὶ χαρατζίου, ὥστε καὶ ἠναγκάσθη δοῦναι τὴν εὐχάριστον καὶ οἰκειοθελῆ αὐτοῦ παραίτησιν ἀπ' αὐτῆς. Περὶ τούτων γοῦν συνοδικῶς ἡμῖν ἤδη συνδιασκεπτομένοις καὶ τὴν κατάλληλον θεραπείαν διανοουμένοις ἐπενεγκεῖν, ἀναγκαιότατον ἔδοξεν εἰς μίαν αὐτὰς ἑνῶσαι καὶ ὑπὸ μίαν καὶ τὴν αὐτὴν τάξαι προστασίαν, τοῦ κανονικῶς θατέραν, ἤτοι τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Φερσάλων, ἰθύνοντος συναδέλφου ἡμῶν κὺρ Δαμασκηνοῦ, τὸ μὲν τῇ ἀδυνάτῳ καὶ ἐνδεῶς ἐχούσῃ δύναμίν τινα καὶ συναντίληψιν διὰ τῆς φεραλλήλου ταύτης ἑνώσεως πρυτανεύοντες, τὸ δὲ καὶ πεπεισμένοι ὄντες, ὅτι διὰ τῆς ἐνούσης αὐτῷ φρονήσεως καὶ ἀξιότητος ἔχει διοικῆσαι κατὰ τὸ συμφερώτερον ἀξιοπρεπῶς καὶ ἀναδεῖξαι αὐτὴν ἐπαρχίαν λαμπροτάτην καὶ ἀρίζηλον, ὡς πιστὸς καὶ φρόνιμος οἰκονόμος, ἐφ' ᾧ καὶ ἐτιμήσαμεν αὐτὴν εἰς μητρόπολιν, ἐπὶ προνομίῳ τε εἶναι καὶ φημίζεσθαι τήν τε αὐτοῦ ἱερότητα καὶ τοὺς μετὰ ταῦτα διαδόχους αὐτοῦ ἱερωτάτους μητροπολίτας Φαναρίου καὶ Φερσάλων, ὑπερτίμους καὶ ἐξάρχους πάσης Φθίας. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα αἱ ῥηθεῖσαι δύο ἁγιώταται ἀρχιεπισκοπαὶ οὖσαι, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς οὖσαι ἡνωμέναι εἰς μίαν ἀδιασπάστως καὶ ἀδιαιρέτως, ὑπάρχωσι καὶ λέγωνται, μετὰ πάντων τῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτῶν κινητῶν τε καὶ ἀκινήτων, καὶ παρὰ πάντων γινώσκωνται μία καὶ μόνη μητρόπολις καὶ ἐπαρχία, δεσποζομένη παρὰ τοῦ νῦν κυριάρχου αὐτῆς ἱερωτάτου μητροπολίτου Φαναρίου καὶ Φερσάλων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Φθίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Δαμασκηνοῦ, ἰθυνομένη καὶ διεξαγομένη κανονικῶς ὑπὸ τῆς αὐτοῦ ἱερότητος, ὅστις ἔχει ἐπ' ἀδείας ποιμαίνειν τὸ ἐν αὐτῇ λογικὸν ποίμνιον καὶ ποδηγετεῖν σωτηριωδῶς εἰς τὰς ὁδοὺς τῆς εὐαγγελικῆς χάριτος, εὐλογεῖν τε καὶ ἁγιάζειν αὐτοὺς καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καρπούμενος καὶ λαμβάνων ἀπαραμειώτως καὶ ἀνελλιπῶς καὶ πάντα τὰ ἀνήκοντα αὐτῷ δικαιώματα καὶ εἰσοδήματα κύρια καὶ τυ-

χηρά. Ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν αὐτῇ τῇ ἐπαρχίᾳ Φαναρίου καὶ Φερσάλων χριστιανοί, ἱερωμένοι ἢ λαικοί, πειθαρχεῖν καὶ ὑποτάσσεσθαι αὐτῷ καὶ παρέχειν εὐπειθῶς καὶ προθύμως τὰ ἀνήκοντα δικαιώματα, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος· τὸ παράπαν, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀλύτου ἀφορισμοῦ τοῦ ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπολυθεὶς καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος κἂν τῷ ἱερῷ κώδικι τῶν ὑπομνημάτων καταστρωθείς, ἐπεδόθη τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Φαναρίου καὶ Φερσάλων, ὑπερτίμῳ καὶ ἐξάρχῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Δαμασκηνῷ.

,αωκα'.

Ἐν μηνὶ μαρτίῳ, ἰνδικτιῶνος θ'.

XXVIII. 1824, май, инд. XII. Грамота патріарха Аѳнима III и священнаго синода о возведеніи архіепископіи Приконниса въ митрополію и о пожалованіи митрополиту Космѣ и преемникамъ титула „пречестнаго и экзарха всей Пропонтиды".

К. П. А., XIV, 54.

Ἴσους μὲν ἀλλήλοις πρὸς τὴν τοῦ μυστηρίου ὑπερφυᾶ δύναμιν πάντας τοὺς ἀρχιερεῖς ἡ ἁγία ἡμῶν Ἐκκλησία παραδίδωσι καὶ τῷ μὲν πλεῖον, τῷ δ' ἔλαττον μετεῖναι τῆς θείας ταύτης δυνάμεως οὐκ ἄν τις εὐσεβῶς οὔτ' εἴποι, οὔτε φρονήσειεν. Οἱ μέντοι θεῖοι καὶ ἱεροὶ πατέρες, τῶν σφῶν ἐπιμελούμενοι διαδόχων, ὅπως μηδοτιοῦν ἑαυτοὺς ἀπεχθανομένους ἀλλήλοις παρέξωνται, ὁριά τε διηγόρευσαν εἶναι, ἐφ' ὅσον γῆς ἡ ἑκάστου ἔσται ἀρχιερατεία εμμένουσα, καὶ εἰς μητροπόλεις, ἀρχιεπισκοπὰς καὶ ἐπισκοπὰς τὰς ἐπισκοπὰς διαταξάμενοι, τάξεις ἔθηκαν, καθ' ἃς ἐμμελῶς πρὸς ἀλλήλους προσενεχθήσονται. Ἀλλὰ τὸ μὲν τῆς ὑπερφυοῦς δυνάμεως θεῖον καὶ ἀεὶ ὡσαύτως ἔχον πρόσεστι τοῖς ἀρχιερεῦσι, τὰ δ' ὅρια καὶ αἱ τάξεις ἀνθρώπινα καὶ ἄλλοτε ἄλλως μεταβαλλόμενα καθορᾶται τοῖς πάλαι τε καὶ τοῖς ἔπειτα, διὰ τοὺς ἐνοικοῦντας χριστιανοὺς ἢ προισταμένους ἀρχιερεῖς. Εἰ γάρ τις τὰς ἀρχαίας τε καὶ τὰς καθ' ἡμᾶς ἐπέλθοι διατυπώσεις ἄντικρυς εἴσεται τῶν ἐπαρχιῶν τὰς μὲν παντάπασιν ἐκλελοιπυίας, τὰς δὲ εἰς τὸ μεῖζον ἢ ἔλαττον τοῖς ὁρίοις μεταβεβλημένας, ἢ τοὐναντίον ἀπ' ἐκείνων εἰς ταύτας μεταπεσούσας. Αὐτίκα γοῦν τὰ Ἰωάννινα, ἐπισκοπὴ τῆς Ναυπάκτου ὄντα, εἰς μητρόπολιν προεβιβάσθη· τὸ δὲ Διδυμότειχον ἐπισκοπὴ οὖσα τοῦ Τραιανουπόλεως Ῥοδόπης, πρῶτον μὲν εἰς ἀρχιεπισκοπὴν μετεβλήθη, εἶτα δὲ καὶ εἰς μητρόπολιν προεβιβάσθη· καὶ μυρία ὅσα εὕροι τις ἂν τὰ παραδείγματα ἐν ταῖς ἀρχαίαις

*

ἐκθέσεσι καὶ διατυπώσεσι περὶ τῶν προβιβασθεισῶν ἢ ὑποβιβασθεισῶν μητροπόλεων, ἀρχιεπισκοπῶν καὶ ἐπισκοπῶν. Ἀλλὰ καὶ ἐπὶ τῶν καθ' ἡμᾶς ἡ ἐπαρχία Δημητριάδος, ἐπισκοπὴ οὖσα τῆς Λαρίσσης, πρῶτον μὲν ἀρχιεπισκοπὴ ἀπεδείχθη ἔτεσιν οὐκ ὀλίγοις, μετὰ δὲ ταῦτα καὶ εἰς μητρόπολιν προεβιβάσθη. Πολλὰ μὲν οὖν ἄν τις ἐξενηνεγμένα εὕροι περὶ τουτου τὰ παραδείγματα. Ἐφ' ᾧ καὶ ἤδη τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Προικοννήσου, ὡς γειτνιάζουσαν τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ, ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ, καὶ ἔκπαλαι ὑπὸ τοῦ προνομίου τοῦ τοῖς μητροπολίταις ἀνήκοντος ἱερωτάτου τετιμημένην, ἔγνωμεν γνώμῃ κοινῇ καὶ συνοδικῇ διαγνώσει τιμῆσαι καὶ προβιβάσαι εἰς μητρόπολιν, ὡς εὐσεβεῖ λαῷ τοῦ χριστωνύμου πληρώματος τῶν ὀρθοδόξων κομῶσαν, οὐ καινοτομοῦντες, ἀλλ' ἀρχαῖον ἐκκλησιαστικὸν ἔθος φυλάττοντες. Ἐπεὶ δὲ καὶ ὁ ἤδη γνησίως καὶ κανονικῶς εἰς αὐτὴν ἀρχιερατικῶς προϊστάμενος, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Κοσμᾶς, ἐστὶν ἀνὴρ φρονήσει τε διαπρέπων καὶ θεοσεβείᾳ ἐντεθραμμένος, τίμιός τε καὶ ἄξιος, καὶ πρότερον μὲν ἐξ ἁπαλῶν ὀνύχων πολλὰ ἐξυπηρετηκὼς ἦν περὶ τὰ ἀρχιερατικὰ καὶ ἐκκλησιαστικὰ ὑπουργήματα, καὶ ἤδη δέ, συνεδριάζων μετὰ τῆς ἱερᾶς τῶν συναδέλφων ὁμηγύρεως, οὐκ ὀλίγα ἐξυπηρέτησεν εἰς τὰς ἐκκλησιαστικὰς τοῦ κοινοῦ ὑποθέσεις, εὐδόκιμος κατὰ πάντα ἀναφανεὶς καὶ ποθητὸς παρὰ τῶν ἐπαρχιωτῶν αὐτοῦ εὐσεβῶν χριστιανῶν ἀποδεχθείς, διὰ τὸ σεμνοπρεπὲς αὐτοῦ, πρᾷον καὶ τὰ λοιπὰ προτερήματα, ἀνήκοντα τοῖς εὐαγγελικοῖς ποιμέσι· διὰ ταῦτα γοῦν, κατὰ φιλοτιμίαν ἐκκλησιαστικήν, προσθεῖναι ἔδοξε καὶ διὰ τὴν αὐτοῦ ἱερότητα τὸ ὑπερτίμους καὶ ἐξάρχους λέγεσθαι πάσης Προποντίδος αὐτόν τε καὶ πάντας τοὺς διαδόχους τῆς μητροπόλεως ταύτης. Γράφοντες τοίνυν μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἀποφαινόμεθα, ἵνα ἡ ῥηθεῖσα ἐπαρχία τῆς Προικοννήσου, διὰ τοὺς εἰρημένους εὐλογοφανεῖς λόγους, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς κατ εἰς αἰῶνα τὸν ἅπαντα ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται μητρόπολις, καὶ ὁ ἤδη ἀρχιερατεύων ἐν αὐτῇ καὶ οἱ μετ' αὐτὸν διάδοχοι τῆς ἁγιωτάτης ταύτης μητροπόλεως ἔχωσι τὸ προνόμιον τοῦ λέγεσθαι καὶ γράφεσθαι ἱερώτατοι μητροπολῖται Προικοννήσου ὑπέρτιμοι καὶ ἔξαρχοι πάσης Προποντίδος, ἔχωσι δὲ καὶ τὴν τάξιν καὶ ἕδραν αὐτῶν ἐν ταῖς ἐκκλησιαστικαῖς συνελεύσεσιν, εἰ οὕτω τύχοι, ἀμέσως μετὰ τοὺς ἄλλους μητροπολίτας, τοὺς ἔκπαλαι ὑποκειμένους τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ, μηδενὸς τολμῶντος ἀνελεῖν καὶ ἀνατρέψαι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι περὶ τοῦ προβιβασμοῦ καὶ προνομίου τῆς ῥηθείσης ἐπαρχίας συνοδικῶς διαγορευθέντα, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀλύτου ἀφορισμοῦ. Ταῦτα μὲν οὖν ἀπεφάν-

ὕη συνοδικῶς· εἰς δὲ τὴν περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Προικοννήσου, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Προποντίδος, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Κοσμᾷ.

,αωκδ'. ἐν μηνὶ μαΐῳ, ἰνδικτιῶνος ιβ'.

Ὁ Ἐφέσου Μακάριος — Ὁ Ἡρακλείας Ἰγνάτιος — Ὁ Κυζίκου Ματθαῖος — Ὁ Νικομηδείας Πανάρετος — Ὁ Νικαίας Ἱερόθεος — Ὁ Χαλκηδόνος Καλλίνικος — Ὁ Δέρκων Ἱερεμίας — Ὁ Θεσσαλονίκης Μακάριος — Ὁ Σερρῶν Χρύσανθος — Ὁ Νέων Πατρῶν Δοσίθεος — Ὁ Μεσημβρίας Κύριλλος — Ὁ Ξάνθης Σεραφείμ — Ὁ Λήμνου Νεκτάριος — Ὁ Πελαγωνείας Ἰωσήφ — Ὁ Κασσανδρείας Δανιήλ.

XXIX. 1824, май, инд. XII. Посланіе патріарха Анѳима III и священнаго синода духовенству и народу епархіи Приконниса по поводу возведенія ея въ достоинство митрополіи.

К. П. А., XV, 166

Ἐντιμότατοι κληρικοὶ τῆς ἁγιωτάτης μητροπόλεως Προικοννήσου, εὐλαβέστατοι ἱερεῖς, τίμιοι πρόκριτοι καὶ προεστῶτες καὶ λοιποὶ ἁπαξάπαντες εὐλογημένοι χριστιανοὶ τῆς ἐπαρχίας ταύτης, τέκνα ἐν Κυρίῳ ἀγαπητά, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ, παρ' ἡμῶν δὲ εὐχή, εὐλογία καὶ συγχώρησις. Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ ἐκκλησιαστικοῦ γράμματος δηλοποιοῦμεν εἰς ὅλους σας, ὅτι, ἐπειδὴ θείᾳ χάριτι ἡ ἐπαρχία αὕτη καὶ πατρίς σας Προικόννησος, μετὰ τῶν ἐν αὐτῇ ὑποκειμένων νήσων, καθορᾶται κομῶσα εὐσεβεῖ λαῷ τοῦ χριστωνύμου πληρώματος καὶ προχωρεῖ εἰς αὔξησιν πληθύος τῶν ὀρθοδόξων, ὁ δὲ γνήσιος καὶ κανονικὸς ὑμῶν ἀρχιερεὺς καὶ πνευματικός σας πατὴρ καὶ προστάτης συνάδελφος ἡμῶν ἀγαπητὸς καὶ περιπόθητος κὺρ Κοσμᾶς, συνεδριάζων ἐνταῦθα μετὰ τῶν λοιπῶν ἁγίων ἀρχιερέων καὶ ὢν διωρισμένος εἰς ἐκκλησιαστικὰ λειτουργήματα καὶ εἰς ὑπουργίας καὶ ὑποθέσεις τοῦ Γένους ἡμῶν καὶ τῆς Ἐκκλησίας, ἐφ' ἱκανὸν χρόνον πιστῶς καὶ ἀξίως ἐξυπηρέτησε καὶ ἐφάνη εὐδόκιμος κατὰ πάντα εἰς τὰς ἐκκλησιαστικὰς ταύτας τοῦ κοινοῦ ἐξυπηρετήσεις καὶ ἄξιος καὶ κοινωφελής, διὰ τοῦτο, τόσον διὰ τὴν λαμπρότητα τῆς ἐπαρχίας αὐτῆς καὶ διὰ τὸ γειτνιάζον αὐτῆς πρὸς τὸν ἁγιώτατον πατριαρχικὸν ἀποστολικὸν θρόνον ὅσον καὶ διὰ τὴν φρόνησιν καὶ ἐμπειρίαν καὶ ἀξιότητα τοῦ ἐν αὐτῇ ἀρχιερατικῶς προϊσταμένου ἤδη ἀρχιερέως σας, καὶ διὰ τὸ τῆς πνευμα-

τικῆς καρποφορίας παντελεστικόν· διὰ ταῦτα οὖν τὰ προτερήματα τῆς εὐαγγελικῆς ποιμαντορίας τῆς αὐτοῦ ἱερότητος, καὶ διὰ τὴν ἐν τῇ ἐπαρχίᾳ ταύτῃ πλυθὺν τοῦ εὐσεβοῦς πληρώματος τῶν ὀρθοδόξων χριστιανῶν, ἐκρίναμεν εὔλογον καὶ δίκαιον, καί, τιμήσαντες τὴν ἐπαρχίαν ταύτην Προικοννήσου, προεβιβάσαμεν εἰς μητρόπολιν διὰ πατριαρχικοῦ καὶ συνοδικοῦ ἡμῶν γράμματος, ὥστε εἶναι καὶ γινώσκεσθαι τοῦ λοιποῦ μητρόπολιν, ὑποκειμένην ὡς καὶ τὸ πρῶτον τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ τῆς Κωνσταντινουπόλεως οἰκουμενικῷ θρόνῳ, καὶ τὸν ἀρχιερέα ὑμῶν λέγεσθαι καὶ γράφεσθαι ἱερώτατον μητροπολίτην Προικοννήσου, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Προποντίδος, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτουργὸν κὺρ Κοσμᾶν καὶ τοὺς μετὰ τὴν αὐτοῦ ἱερότητα διαδόχους αὐτοῦ. Ἐπειδὴ δέ, καθ' ὃν τρέφει ζῆλον καὶ πατρικὸν πόθον πρὸς ὑμᾶς, τὰ πνευματικὰ αὐτοῦ τέκνα, ἡ αὐτοῦ ἱερότης ἐζήτησεν τὴν παρ' ἡμῶν ἄδειαν νὰ ἔλθῃ εἰς πνευματικήν σας ἀπόλαυσιν καὶ ἐπίσκεψιν, διὰ τοῦτο κατὰ τὴν νόμιμον εὐλογοφανῆ αἴτησιν αὐτοῦ, παρέχομεν τὴν ἐκκλησιαστικὴν ἄδειαν τῆς εἰς τὴν ἐπαρχίαν αὐτοῦ καὶ μητρόπολιν ταύτην ἐλεύσεώς του. Διὸ καὶ γράφοντες μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, εὐχόμεθα καὶ εὐλογοῦμεν πατρικῶς ἁπαξάπαντας μικροὺς καὶ μεγάλους, ἱερωμένους καὶ λαϊκούς, ἄνδρας τε καὶ γυναῖκας, καὶ ἐντελλόμενοι συμβουλεύομεν καὶ παραγγέλλομεν ὑμῖν, ὅπως, εἰδοποιηθέντες τὴν ἐκκλησιαστικὴν ταύτην φιλοτιμίαν καὶ τὴν χαροποιὰν ἀγγελίαν τοῦ προβιβασμοῦ εἰς μητρόπολιν τῆς ἐπαρχίας ταύτης καὶ τῆς χορηγηθείσης τιμῆς καὶ προνομίων τῆς πατρίδος σας, διάγητε ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ μὲ τὴν ἀκριβῆ φυλακὴν τῶν θείων ἐντολῶν, καὶ νὰ εὐγνωμονῆτε πρὸς τὴν κοινὴν μητέρα καὶ εὐεργέτιδα καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν, καί, εὐοδωθέντα σὺν Θεῷ τὸν γνήσιον ἡμῶν ἀρχιερέα καὶ πνευματικόν σας πατέρα καὶ εὐαγγελικὸν ποιμένα καὶ κυριάρχην τῆς μητροπόλεως καὶ ἐπαρχίας ταύτης, νὰ τὸν ὑποδεχθῆτε ἅπαντες μετὰ πάσης τιμῆς καὶ εὐλαβείας καὶ μετὰ τῆς προσηκούσης φιλοφροσύνης, δεξιώσεως καὶ περιποιήσεως, σεβόμενοι εὐπειθῶς καὶ ἀγαπῶντες τὴν αὐτοῦ ἱερότητα, πειθόμενοι καὶ ὑπακούοντες εἰς τὰς πνευματικὰς συμβουλὰς καὶ νουθεσίας καὶ φυλάττοντες ἀκριβῶς τὰ χριστιανικὰ καὶ ραγιαδικά σας χρέη, καὶ παρέχοντες μετ' εὐγνωμοσύνης καὶ προθυμίας τὰ νενομισμένα ἀρχιερατικὰ εἰσοδήματα καὶ δικαιώματα κύρια καὶ τυχηρά, καὶ παντὶ τρόπῳ νὰ ἐκτελῆτε τὰ χρέη σας καὶ νὰ περιθάλπητε τὸν ἀρχιερέα σας, διὰ νὰ ἀπολογῆται τὰ ἄφευκτα χρέη του καὶ νὰ σᾶς ποιμαίνῃ ἐν ἀνέσει καὶ ἡσυχίᾳ. Πρὸ πάντων δὲ παραγγέλλομεν ὑμῖν, ὅπως, διὰ τῶν πνευματικῶν αὐτοῦ νουθεσιῶν καὶ ἀρχιερατικῶν συμβουλῶν, διαμένητε ἀμετακίνητοι

εἰς τὸ κέντρον τοῦ πιστοῦ ραγιαλικίου σας, νὰ εἶσθε πιστοὶ καὶ σα-
δίκηδες εἰς τὸ ὑψηλὸν καὶ κραταιὸν δεβλέτι, νὰ δεικνύητε εὐ-
πείθειαν καὶ ὑποταγὴν εἰς τὴν ἐφ' ἡμᾶς τεταγμένην κοινὴν τροφὸν
κραταιὰν καὶ ἀήττητον βασιλείαν (ἧς τὸ ἀκαταμάχητον κράτος εἴη
διαιωνίζον εἰς ἀπεράντους αἰῶνας), νὰ εἶσθε εὐπειθεῖς καὶ πρόθυ-
μοι εἰς τὰς προσταγὰς τῶν ἐνδοξοτάτων ζαπίτων καὶ εὐγνώμονες
εἰς τὰ ἐκχεόμενα ἡμῖν καθ' ἑκάστην πλούσια βασιλικὰ ἐλέη. Καὶ
οὕτω φερόμενοι καὶ φυλάττοντες πάντα τὰ χρέη σας, καὶ τὰ χρι-
στιανικὰ καὶ τὰ ραγιαδικά, νὰ ζῆτε ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ καὶ ἀνέ-
σει καὶ ἡσυχίᾳ μετὰ τοῦ ἀρχιερέως καὶ πνευματικοῦ σας προστά-
του, δεομένου πρὸς Κύριον ὑπὲρ τῆς κοινῆς ὑμῶν ὑγείας καὶ ψυχι-
κῆς σωτηρίας, οὗ τὰς θερμὰς δεήσεις ἀποδεχόμενος αὐτὸς ὁ Κύριος
ἡμῶν Ἰησοῦς Χριστὸς νὰ ἀντικαταπέμψῃ τὴν θείαν αὐτοῦ χάριν εἰς
ὅλους σας, νὰ εὐλογῇ καὶ ἁγιάζῃ τοὺς οἴκους σας, τὰ τέκνα σας,
τὰς φαμηλίας σας καὶ τὰ ἔργα τῶν χειρῶν σας, τὰ ταξείδιά σας,
τὰ κτήματα καὶ ὑπάρχοντά σας, καὶ νὰ σᾶς δώσῃ τὴν εὐλογίαν τοῦ
Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, καὶ τέλος νὰ σᾶς ἀξιώσῃ τῆς οὐρανίου
αὐτοῦ μακαριότητος, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος καὶ ἡ εὐχὴ
καὶ ἡ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετὰ πάντων ὑμῶν.

,αωκδ'.

Ἐν μηνὶ μαΐῳ, ἰνδικτιῶνος ιβ'.

Ὁ Ἐφέσου Μακάριος — Ὁ Ἡρακλείας Ἰγνάτιος — Ὁ Κυζίκου Ματθαῖος — Ὁ Νικομηδείας Πανάρετος — Ὁ Νικαίας Ἱερόθεος — Ὁ Χαλκηδόνος Καλλίνικος — Ὁ Δέρκων Ἱερεμίας — Ὁ Θεσσαλονίκης Μακάριος — Ὁ Σερρῶν Χρύσανθος — Ὁ Νέων Πατρῶν Δοσίθεος — Ὁ Μεσημβρίας Κύριλλος — Ὁ Ξάνθης Σεραφείμ — Ὁ Λήμνου Νεκτάριος — Ὁ Πελαγωνείας Ἰωσήφ.

XXX. 1828, мартъ, инд. I. Томъ патріарха Агаѳангела и священнаго синода о соединеніи митрополіи Корицы и архіепископіи Погоніаны въ одну митрополію, подъ управленіемъ киръ Виссаріона, митрополита Корицы и Погоніаны и пречестнаго.

К. П. А., XIV, 140.

Ἀγαθάγγελος κτλ.

Ἡ μὲν θεραπευτικὴ μέθοδος διὰ τῆς συνθέσεως τῶν ἁπλῶν πολλάκις τοῖς ἀσθενέσι παρέχεται ἴασιν καὶ ἔντονον ἀποτελεῖ τῶν πρώην ἐκλελυμένων σωμάτων τὴν κίνησιν· ἡ δὲ κατὰ πνευματικὴν ἐπιστήμην ἀκροτάτη διοίκησις, διὰ τῆς ἑνώσεως πολλάκις δύο διηρημένων παροικιῶν καὶ ὑφ' ἕνα καὶ τὸν αὐτὸν προστάτην κανονικῆς ἐπισκέψεως, τὴν σωτηριώδη κατάστασιν τῶν ὀρθοδόξων μελῶν τῆς

Ἐκκλησίας ποιεῖται, εὔρυθμόν τε καὶ κατὰ λόγον τὴν διεξαγωγὴν τῶν ἐπαρχιῶν ἀναδείκνυσι, κατάλληλον ἐπάγουσα τὴν θεραπείαν. Πάντα γὰρ πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν γίνεσθαι καὶ ὁ ἀποστολικὸς ἀποφαινόμενος λόγος, εἰς αὐτὸ τοῦτο προάγει καὶ διατίθησι τοὺς τὴν ἐκκλησιαστικὴν προστασίαν θείᾳ νεύσει ἀνεζωσμένους. Τοιαύτῃ τινὶ οἰκονομίᾳ ἔγνωμεν καὶ ἤδη ἐν δέοντι χρήσασθαι περὶ τῶν ἐφεξῆς δύο ἐπαρχιῶν Κορυτζᾶς καὶ Πωγωνιανῆς, τῶν ὑποκειμένων τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ, ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ. Ἀμφότεραι γὰρ διῃρημέναι οὖσαι ἀνέκαθεν καὶ ἴδιον ἔχουσα ἑκατέρα κυριάρχην πνευματικόν, ἡ μὲν ὡς μητρόπολις τετιμημένη, ἡ δὲ ἀρχιεπισκοπικὴν τάξιν λαχοῦσα, ἀδυνάτως εἶχον εἰς διατροφὴν τοῦ ἰδίου αὐτῶν ἀρχιερέως καὶ περίθαλψιν, διὰ τὸ γλίσχρον πάνυ καὶ ὀλιγοπρόσοδον αὐτῶν. Καὶ ἡ μὲν Κορυτζᾶ καὶ πρότερον ἐν μετρίᾳ πως καταστάσει τυγχάνουσα, ὅσον ἀποζῆν τὸν οἰκεῖον αὐτῆς ἀρχιερέα, ἐπὶ τὰ χείρω ἤδη ἐξετράπη διὰ τὰς ἐπενεχθείσας καιρικὰς περιστάσεις καὶ ἀνωμαλίας, ὧν ἕνεκα τὰ μὲν εἰσοδήματα αὐτῆς ἐλαττωθῆναι καὶ ἐκλείπειν κατὰ μικρόν, τὰς δὲ ἀναγκαίας καὶ ἀφύκτους δόσεις καὶ δαπανήματα πολλῷ τῷ μέτρῳ πολλαπλασιασθῆναι συνέβη· ἡ δὲ τῆς Πωγωνιανῆς ἀρχιεπισκοπὴ ἔκπαλαι ἀδύνατος διετέλει τοῖς ὅλοις καὶ πάντῃ ἀνίκανος πρὸς τὴν ἀναγκαιοτάτην κυβέρνησιν τοῦ κυριάρχου αὐτῆς, ὥστε καὶ τὸν ὑπὲρ τὰ τριάκοντα ἔτη ἐν αὐτῇ ἀρχιερατεύσαντα καὶ τὸ ζῆν ἐκμετρήσαντα πρὸ μικροῦ κὺρ Διονύσιον, διὰ τὴν τοιαύτην ἀθλίαν αὐτῆς καὶ ἀδύνατον κατάστασιν, οὐδέποτε προσωπικῶς ἐν αὐτῇ ἐπιδημῆσαι, ἀλλά, δι' ἐπιτρόπων διοικοῦντα, ἐν τῇ πόλει τοῦ Βουκουρεστίου τὸν ἅπαντα χρόνον διελθεῖν, ἀπὸ ἀρχιεροπραξιῶν καὶ ἄλλων λειτουργημάτων τὰ πρὸς ζωάρκειαν ἐξοικομοῦντα, ὑπερήμερον δὲ φαίνεσθαι καὶ πρὸς τὴν ἀποστολὴν τῶν αὐλικῶν διαφόρων καὶ αὐτοῦ τοῦ βασιλικοῦ ζητομιρίου. Περὶ τούτων γοῦν συνοδικῶς ἡμῖν σκεπτομένοις, ἤδη μετὰ τὴν πρὸς Κύριον ἐκδημίαν τοῦ διαληφθέντος ἀρχιεπισκόπου Πωγωνιανῆς κὺρ Διονυσίου, καὶ τὴν κατάλληλον θεραπείαν διανοουμένοις ἐπενεγκεῖν, ἀναγκαιότατον ἔδοξεν εἰς μίαν αὐτὰς ἑνῶσαι καὶ ὑπὸ μίαν καὶ τὴν αὐτὴν τάξαι προστασίαν τοῦ κανονικῶς ἤδη θατέραν, ἤτοι τὴν ἁγιωτάτην μητρόπολιν Κορυτζᾶς, διέποντος συναδέλφου ἡμῶν ἐν Χριστῷ ἀγαπητοῦ κὺρ Βησσαρίωνος, τὸ μέν, ὡς ἀδυνάτοις ἀμφοτέραις ταῖς ἐπαρχίαις καὶ ἐνδεῶς ἐχούσαις, δύναμίν τινα καὶ συναντίληψιν διὰ τῆς φεραλλήλου ταύτης ἑνώσεως πρυτανεύοντες, τὸ δὲ καὶ πεπεισμένοι ὄντες, ὅτι διὰ τῆς ἐνούσης αὐτῷ φρονήσεως καὶ ἀξιότητος ἔχει διοικῆσαι κατὰ τὸ συμφερώτερον ἀξιοπρεπῶς καὶ ἀναδεῖξαι αὐτὴν ἐπαρχίαν λαμπράν, ὡς πιστὸς καὶ φρόνιμος οἰκονόμος. Ἐφ' ᾧ καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ

συλλειτουργῶν, ἵνα ἡ ἐπαρχία αὕτη Πωγωνιανῆς μένῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ἡνωμένη μετὰ τῆς ἁγιωτάτης μητροπόλεως Κορυτζᾶς καὶ συνηρμοσμένη μετὰ πάντων τῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτῆς κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἐντὸς αὐτῆς καὶ τῶν ἀλλαχοῦ κειμένων καὶ εὑρισκομένων, καὶ παρὰ πάντων γινώσκηται μία καὶ μόνη ἐπαρχία, δεσποζομένη ὑπὸ τοῦ νῦν κυριάρχου αὐτῆς ἱερωτάτου μητροπολίτου Κορυτζᾶς καὶ Πωγωνιανῆς καὶ ὑπερτίμου, ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Βησσαρίωνος καὶ τῶν μετὰ ταῦτα κανονικῶς διαδεξομένων αὐτόν, ἰθυνομένη τε καὶ διεξαγομένη ὑπὸ τῆς αὐτοῦ ἱερότητος, ὅστις ἔχει ἐπ' ἀδείας ποιμαίνειν τὸ ἐν αὐτῇ λογικὸν τοῦ Χριστοῦ ποίμνιον καὶ ποδηγετεῖν σωτηριωδῶς εἰς τὰς ὁδοὺς τῆς εὐαγγελικῆς χάριτος, εὐλογεῖν τε καὶ ἁγιάζειν αὐτοὺς καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καρπούμενος καὶ λαμβάνων ἀπαραμειώτως καὶ ἀνελλιπῶς καὶ πάντα τὰ ἀνήκοντα αὐτῷ εἰσοδήματα καὶ δικαιώματα, κύρια καὶ τυχηρά. Ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν αὐτῇ τῇ ἐπαρχίᾳ Πωγωνιανῆς χριστιανοὶ ἱερωμένοι καὶ λαικοὶ πειθαρχεῖν καὶ ὑποτάσσεσθαι αὐτῷ ὡς γνησίῳ καὶ κανονικῷ αὐτῶν κυριάρχῃ καὶ παρέχειν εὐπειθῶς καὶ προθύμως τὰ ἀνήκοντα δικαιώματα, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος τὸ παράπαν ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀλύτου ἀφορισμοῦ, τοῦ ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπολυθεὶς καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, κἂν τῷ ἱερῷ κώδικι τῶν ὑπομνημάτων καταστρωθείς, ἐπεδόθη τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Κορυτζᾶς καὶ Πωγωνιανῆς καὶ ὑπερτίμῳ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Βησσαρίωνι.

,αωκη'. Κατὰ μῆνα μάρτιον, ἐπινεμήσεως α'.

Ὁ πατριάρχης Κωνσταντινουπόλεως ἀποφαίνεται.

Ὁ Ἐφέσου Μακάριος — Ὁ Ἡρακλείας Ἰγνάτιος — Ὁ Κυζίκου Ζαχαρίας — Ὁ Νικομηδείας Πανάρετος.

XXXI. 1828, марта 10. Посланіе патріарха Агаѳангела и священнаго синода митрополиту Виссаріону по поводу присоединенія архіепископіи Погоніаны къ митрополіи Корицы, подъ его управленіемъ.

К. П. А., XVI, 122.

Ἀγαθάγγελος κτλ.

Ἱερώτατε μητροπολῖτα Κορυτζᾶς καὶ Πωγωνιανῆς καὶ ὑπέρτιμε, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν

μετριότητος, κὺρ Βησσαρίων, χάρις εἴη σου τῇ ἱερότητι καὶ εἰρήνη παρὰ Θεοῦ. Διὰ τῆς παρούσης ἡμετέρας πατριαρχικῆς καὶ συνοδικῆς ἐπιστολῆς δηλοποιοῦμεν τῇ ἱερότητί σου, ὅτι τοῦ χρηματίσαντος ἀρχιεπισκόπου Πωγωνιανῆς κὺρ Διονυσίου τὸ ζῆν ἐκμετρήσαντος καὶ εἰς τὰς οὐρανίους μονὰς μεταστάντος, προὐτέθη σκέψις συνοδικῶς περὶ τῆς εἰς τοὐπιὸν καλῆς διεξαγωγῆς καὶ θεοφιλοῦς διοικήσεως τοῦ ἐν αὐτῇ λογικοῦ ἐν Χριστῷ ποιμνίου· γνωστὸν γὰρ καὶ τῇ ἀρχιερωσύνῃ σου, ὅτι ὁ μακαρίτης περὶ τοὺς τριάκοντα χρόνους ἀρχιερατεύων, οὐδέποτε προσωπικῶς παρεγένετο ἐν αὐτῇ πρὸς ἐπίσκεψιν τῶν χριστιανῶν, ἀλλὰ κατέλειπεν αὐτοὺς ἐστερημένους ἀρχιερατικῆς παρουσίας· αἰτία δὲ τούτου ἡ γνωστὴ κατάστασις τῆς ἐπαρχίας καὶ τὸ ὀλιγοπρόσοδον αὐτῆς, δι' ὅπερ καὶ ἠναγκάζετο νὰ ζητῇ ἀλλαχοῦ πόρον ζωῆς διὰ τῶν ἀρχιεροπραξιῶν. Ὅθεν καὶ ἡ ἐκκλησιαστικὴ πρόνοια, προθεμένη ἐκ τοῦ ἑνὸς μέρους νὰ παραμυθήσῃ τὰ πνευματικὰ αὐτὰ τέκνα της, μὲ τὴν ἀρχιερατικὴν ἐν αὐτοῖς ἀποκατάστασιν, στοχαζομένη δὲ ἐκ τοῦ ἄλλου καὶ τὴν κατάστασιν τῆς ἐπαρχίας, ὅτι οὐκ ἐξικανοῖ εἰς διατροφὴν ἰδίου ἀρχιερέως καὶ ἔπεται νὰ ἐπακολουθήσῃ πάλιν εἰς αὐτὴν ἡ προτέρα ἀποτυχία, διὰ τοῦτο, ἀμφοτέρων τὴν θεραπείαν καὶ διόρθωσιν κατορθοῦντες, ἔγνωμεν κοινῇ καὶ συνοδικῇ διαγνώσει ἑνῶσαι αὐτὴν μετὰ τῆς ἁγιωτάτης μητροπόλεώς σου, ἐπίσης καὶ αὐτῆς ἐνδεῶς ἐχούσης καὶ τοιαύτης οἱονεὶ ἐπικουρίας δεομένης, ὥστε εἶναι τοῦ λοιποῦ τὴν σὴν ἱερότητα καὶ λέγεσθαι ἱερώτατον μητροπολίτην Κορυτζᾶς καὶ Πωγωνιανῆς καὶ ὑπέρτιμον, δεσπόζοντα καὶ διοικοῦντα πνευματικῶς ὡς μίαν καὶ τὴν αὐτὴν ἐπαρχίαν, καὶ τὰ ἐξ αὐτῆς καρποῦσθαι εἰσοδήματα ἀνελλιπῶς. Ἐφ' ᾧ καὶ ἀπελύθη ἐπίτηδες ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, δηλωτικὸς καὶ ἐπικυρωτικὸς τῆς πράξεως ταύτης, ὅστις, καταστρωθεὶς καὶ ἐν τῷ τῶν ὑπομνημάτων ἐκκλησιαστικῷ κώδικι καὶ ὑπογραφεὶς συνοδικῶς, ἀποστέλλεται τῇ σῇ ἱερότητι πρὸς πληροφορίαν σου καὶ ἀσφάλειαν διηνεκῆ· καὶ γράμμα προσέτι ἐξεδόθη ἐκκλησιαστικὸν τῆς εἰδήσεως πρὸς τοὺς χριστιανοὺς τῆς ἐπαρχίας ταύτης Πωγωνιανῆς, ὅπως γνωρίζωσι τοῦ λοιποῦ γνήσιον καὶ κανονικὸν αὐτῶν κυριάρχην τὴν σὴν ἱερότητα, ἀποδίδοντες τὰ κανονικὰ ἀρχιερατικά σου εἰσοδήματα καὶ τὰ κατὰ τὸν πρῶτον χρόνον συνήθη, βοήθειαν δηλονότι καὶ ἁγιασμοὺς καὶ διὰ τὸ εἰθισμένον τεσσαρακονταλείτουργον, τὸ ὁποῖον κατὰ τὴν συνήθειαν ἔχεις νὰ ἐκτελέσῃς. Ταῦτα δηλοποιοῦντές σοι διὰ τῆς παρούσης ἐκκλησιαστικῆς ἡμῶν ἐπιστολῆς ἐντελλόμεθα καὶ παραγγέλλομεν τῇ ἱερότητί σου, ὅπως, εὐγνωμονῶν εἰς τὴν τοιαύτην περὶ τὰ κατὰ σὲ προμήθειαν τῆς κοινῆς μητρὸς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας καὶ τῇ συνοδικῇ αὐτῆς διαιτήσει καὶ ἀποφάσει ὑπείκων καὶ ὑποτασσόμενος, γνωρίζῃς ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ τὴν ἐπαρχίαν ταύτην

Πωγωνιανῆς συνηνωμένην μετὰ τῆς μητροπόλεώς σου Κορυτζᾶς, καὶ ἀναλάβῃς τὴν πνευματικὴν αὐτῆς ἐπίσκεψιν καὶ θεοφιλῆ διοίκησιν, καί, ἀπελθὼν ἤδη προσωπικῶς ἐκεῖσε, εὐλογήσῃς καὶ ἁγιάσῃς τοὺς ἐν αὐτῇ ἐπαρχιώτας σου εὐλογημένους χριστιανούς, καὶ παραμυθήσῃς αὐτούς, οἵτινες ἐπὶ τοσούτους χρόνους διετέλουν ἐστερημένοι ἀμέσου ἀρχιερατικῆς ἐπισκέψεως, καὶ διατάξῃς τὰ κατ' αὐτὴν θεαρέστως, ὡς γνήσιος κυριάρχης αὐτῆς, φιλοτιμούμενος νὰ ἀναδείξῃς τὴν ἐπαρχίαν ταύτην λαμπρὰν καὶ ἀρίζηλον διὰ τοῦ καλοῦ καὶ θεαρέστου τρόπου σου, καθὼς καὶ ἡ Ἐκκλησία ἐπὶ τοιαύταις χρηστα῀ς ἐλπίσι διετάξατο οὕτω τὰ περὶ τῆς ἑνώσεως αὐτῆς, ἀφορῶσα εἰς τὴν φρόνησίν σου καὶ ἀξιότητα καὶ τὰ λοιπὰ λόγου ἄξια ἀρχιεροπρεπῆ προτερήματα. Οὕτω τοίνυν γινώσκων, ἀγαπητὲ ἀδελφέ, ποίησον καθὼς σοι γράφοντες παρακελευόμεθα καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ τῆς ἱερότητός σου.

,αωκη', μαρτίου ι'.

Ὁ Κωνσταντινουπόλεως καὶ ἐν Χριστῷ ἀδελφός.

Ὁ Ἐφέσου Μακάριος καὶ ἐν Χριστῷ ἀδελφός — Ὁ Ἡρακλείας Ἰγνάτιος — Ὁ Κυζίκου Ματθαῖος — Ὁ Νικομηδείας Πανάρετος — Ὁ Δέρκων Νικηφόρος — Ὁ Νέων Πατρῶν Δοσίθεος — Ὁ Σωζουπόλεως Κωνστάντιος — Ὁ Δεβρῶν Γρηγόριος.

XXXII. 1828, мартъ, инд. I. Грамота патріарха Агаѳангела и священнаго синода клиру и народу Погоніанской архіепископіи по поводу соединенія ея съ Корицкою митрополіей

К. П. А., XVI, 121.

Ἀγαθάγγελος κτλ.

Ἴσον τοῦ γράμματος περὶ τῆς ἑνώσεως τῶν δύο ἐπαρχιῶν Κορυτζᾶς καὶ Πωγωνιανῆς.

Ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς, τιμιώτατοι προεστῶτες καὶ χρήσιμοι πρόκριτοι καὶ λοιποὶ ἁπαξάπαντες εὐλογημένοι χριστιανοὶ τῆς ἐπαρχίας Πωγωνιανῆς, τέκνα κτλ. Ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, οἵα φιλόστοργος μήτηρ τῶν ἁπανταχοῦ εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν καὶ γνησίων πνευματικῶν τέκνων της, οὐ διαλείπει ἀπὸ τοῦ νὰ διενεργῇ διηνεκῶς τὰ ὑπὲρ τῆς ψυχικῆς αὐτῶν σωτηρίας συμφέροντα, φροντίζουσα πρὸ πάντων ἵνα μὴ μένωσιν ἐστερημένα ἀρχιερατικῆς ἐπισκέψεως καὶ κυβερνήσεως, ἥτις συμβάλλεται εἰς τὸ χριστώνυμον πλήρωμα, καθὼς ἡ ψυχὴ καὶ κεφαλὴ εἰς τὸ σῶμα. Διὰ τοῦτο λοιπὸν καὶ ἤδη, τοῦ προχρηματίσαν-

τος ἀρχιερέως σας κὺρ Διονυσιου τὸ ζῆν ἐκμετρήσαντος καὶ εἰς τὰς οὐρανίους μονὰς μεταστάντος, συνεσκεψάμεθα μετὰ τῆς ἱερᾶς ἀδελφότητος καὶ ἁγίας συνόδου, ὅπως διατελῶσιν ἄριστα τὰ τῆς ἐπαρχίας αὐτῆς καὶ ἐπὶ ψυχικῇ σωτηρίᾳ ὑμῶν τῶν ἐν αὐτῇ εὐλογημένων χριστιανῶν· καθότι ὁ μακαρίτης ἐκεῖνος ἐπὶ τοσούτους χρόνους ἀρχιερατεύων αὐτῆς καὶ ἐμπεπιστευμένος τὴν ψυχικὴν σωτηρίαν σας, οὐδεμίαν περὶ τούτου ἐποιεῖτο φροντίδα, οὐδὲ παρεγένετο αὐτόθι προσωπικῶς εἰς ἐπίσκεψίν σας, ὡσὰν ὁποῦ, μὴ ἐξαρκούντων τῶν ἀπὸ τῆς ἐπαρχίας εἰσοδημάτων εἰς κυβέρνησιν αὐτοῦ καὶ περίθαλψιν, ἠναγκάζετο νὰ διατρίβῃ ἐν ξένῃ ἐπαρχίᾳ διὰ νὰ ἐξοικονομῇ τὰ πρὸς τὸ ζῆν καὶ τὰ αὐλικὰ χρέη τῆς ἐπαρχίας ἀπὸ ἀρχιεροπραξιῶν· ὑμεῖς δὲ ἐμένετε ἐστερημένοι τῆς ἀμέσου ἀρχιερατικῆς αὐτοῦ ἐπισκέψεως καὶ πνευματικῆς διοικήσεως, καθὼς πολλάκις ἐγένοντο προσκλαύσεις ἐκ μέρους ὑμῶν πρὸς τὴν Ἐκκλησίαν, ἐξαιτουμένων τὴν μητρικὴν αὐτῆς προστασίαν καὶ ἀντίληψιν. Ὅθεν, σκέψεως ἤδη γενομένης συνοδικῶς, ἵνα μὴ περιπέσητε αὖθις εἰς τὴν προτέραν ἀποτυχίαν, γνωστῆς οὔσης τῆς καταστάσεως τῆς ἐπαρχίας αὐτῆς, μὴ δυναμένης ἔχειν καὶ τρέφειν ἴδιον ἀρχιερέα, ἐνεκρίθη καὶ ἀπεφάνθη γνώμῃ κοινῇ καὶ συνοδικῇ τὸ νὰ ἑνωθῇ ἡ ἐπαρχία αὕτη Πωγωνιανῆς μετὰ τῆς γειτνιαζούσης αὐτῇ ἁγιωτάτης μητροπόλεως Κορυτζᾶς καὶ νὰ ἀποδειχθῶσι μία καὶ μόνη ἐπαρχία, ἰθυνομένη καὶ διεξαγομένη κανονικῶς παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Κορυτζᾶς καὶ τῶν κατὰ καιροὺς διαδεξομένων τὴν ἐπαρχίαν αὐτήν, ἐπιφημιζομένην τοῦ λοιποῦ ἁγιωτάτην μητρόπολιν Κορυτζᾶς καὶ Πωγωνιανῆς· καὶ τοῦτο ἐγένετο διὰ τὴν ἰδικήν σας ψυχικὴν ὠφέλειαν, ἵνα ἀπολαμβάνητε διηνεκῶς ἀρχιερατικὴν προστασίαν, περιθαλπόμενοι καὶ τῶν πνευματικῶν χαρισμάτων ἀξιούμενοι ὑπὸ τὴν ἄμεσον ποιμαντικὴν προστασίαν καὶ πνευματικὴν ἐπίσκεψιν, ὡς γνήσια τέκνα τῆς ἀνατολικῆς ἡμῶν Ἐκκλησίας. Καὶ δή, κατὰ τὴν ἱερὰν τῆς Ἐκκλησίας τάξιν καὶ κανονικὴν διατύπωσιν, ἐκδόντες ἡμέτερον πατριαρχικὸν τόμον, ἐπεκυρώσαμεν τὴν ἕνωσιν τῶν δύο τούτων ἐπαρχιῶν, ἀναδείξαντες γνήσιον καὶ κανονικὸν προστάτην καὶ ὑμῶν τὸν ἤδη ἱερώτατον μητροπολίτην Κορυτζᾶς καὶ Πωγωνιανῆς καὶ ὑπέρτιμον, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτουργὸν κὺρ Βησσαρίωνα, ἄνδρα κόσμιον τοῖς ἤθεσι καὶ θεοσεβῆ, ἀρχιεροπρεπῆ τε καὶ τὰ θεῖα καλῶς πεπαιδευμένον, ἐξ ἁπαλῶν ὀνύχων τὸ ἀγγελικὸν ἠμφιεσμένον σχῆμα, φρονήσει κεκοσμημένον καὶ συνετὸν καὶ πεῖραν ἔχοντα τῶν ἐκκλησιαστικῶν ὑποθέσεων καὶ πραγμάτων, καὶ γνωστὸν ὄντα καὶ δεδοκιμασμένον ἐκ τῶν πολυχρονίων αὐτοῦ πρὸς τὴν Ἐκκλησίαν ἐκδουλεύσεων, εὐαισθησίᾳ τε κατακαλλυνόμενον καὶ τοῦ ποιμνίου αὐτοῦ προκινδυνεύοντα, καὶ ἑνὶ λόγῳ ἁπάσαις κεκοσμημένον ταῖς ἀρεταῖς, ὅσαι τὸν ἄμεμπτον καὶ ἀρχιεροπρεπῆ χαρακτῆρι-

ζουσι βίον, μὲ τὰ ὁποῖα προτερήματα διὰ τῆς θείας χειραγωγίας καὶ ἀντιλήψεως θέλει ποιμάνει θεοφιλῶς καὶ θεαρέστως ὑμᾶς τε καὶ τοὺς λοιποὺς ἐπαρχιώτας αὐτοῦ, καὶ θέλει ὁδηγήσει τὸ λογικὸν ποίμνιον αὐτοῦ κανονικῶς εἰς τὰ σωτηριώδη ἔργα, ὁποῦ ὀρθοποιοῦσι τοὺς ὀρθοδόξους χριστιανοὺς εἰς τὰς οὐρανίους μονὰς καὶ εἰς τὴν ἀπόλαυσιν τῆς θείας μακαριότητος, ὄχι μόνον μὲ τὰς ἀπὸ γλώττης πατρικὰς συμβουλὰς καὶ διδασκαλίας του, ἀλλὰ καὶ μὲ τὸν τύπον καὶ τὸ παράδειγμα τῆς ἀμέμπτου διαγωγῆς αὐτοῦ καὶ πολιτείας. Τούτου χάριν καὶ γράφοντες συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς κτλ., παραινούμενοι ἵνα καὶ τὰ φιλότιμα τοῦ πρώτου χρόνου τῆς ἀρχιερατίας τοῦ ἀποδοθῶσι καὶ τὰ συνήθη ἐκκλησιαστικὰ δικαιώματα ἐπιχορηγηθῶσιν εὐγνωμόνως, οἷον πρόθεσις, τεσσαρακονταλείτουργον, παρρησία καὶ εἴ τι ἄλλο νόμιμον καὶ σύνηθες.

,αωκη', ἐν μηνὶ μαρτίῳ, ἰνδικτιῶνος α'.

Ὁ Ἐφέσου Μακάριος — Ὁ Ἡρακλείας Ἰγνάτιος — Ὁ Κυζίκου Ματθαῖος — Ὁ Νικομηδείας Πανάρετος — Ὁ Δέρκων Νικηφόρος — Ὁ Νέων Πατρῶν Δοσίθεος — Ὁ Σωζουπόλεως Κωνστάντιος — Ὁ Δεβρῶν Γρηγόριος.

XXXIII. 1828, мая 6. Письмо патріарха Агаѳангела клиру и народу епархіи Погоніаны по поводу ихъ противодѣйствія присоединенію этой епархіи къ Корицкой митрополіи.

К. П. А., XVI, 149.

Ἀγαθάγγελος κτλ.

Ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς καὶ λοιποὶ ἅπαξάπαντες εὐλογημένοι χριστιανοὶ τῆς ἐπαρχίας Πωγωνιανῆς, τῆς συνημμένης τῇ ἁγιωτάτῃ μητροπόλει Κορυτζᾶς, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ὑμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Ἐμάθομεν καὶ ἐβεβαιώθημεν ἐκκλησιαστικῶς, ὅτι μετὰ τὴν γενομένην, δι' ἐκκλησιαστικῆς καὶ συνοδικῆς ψήφου καὶ ἀποφάσεως καὶ ὑψηλῆς βασιλικῆς ἐπικυρώσεως, ἕνωσιν τῆς ἐπαρχίας αὐτῆς Πωγωνιανῆς μετὰ τῆς ἐπαρχίας Κορυτζᾶς, καὶ μετὰ τὴν ἀνάγνωσιν τῶν συνοδικῶν γραμμάτων, δηλωτικῶν καὶ εἰδοποιητικῶν τῆς ἱερᾶς αὐτῆς πράξεως, καὶ τῶν διὰ ταύτην ἀναγκαίων καὶ κανονικῶν λόγων, ὁ οἰκονόμος παπᾶ Νικόλαος, ὁ υἱὸς αὐτοῦ παπᾶ Ἀγγελῆς καὶ ὁ ἡγούμενος τῶν Ταξιαρχῶν Παΐσιος, φυσιωθέντες ἐτόλμησαν νὰ ἀντιτείνωσιν εἰς τὴν περὶ τῆς ἑνώσεως τῆς ἐπαρχίας διαίτησιν, καὶ κατεξανιστάντες προφανῶς ἐπεχείρησαν νὰ συγκροτήσωσι φατρίας, διὰ νὰ συνεπισύρωσιν εἰς τὴν ἰδίαν ματαιότητα καὶ πλάνην καὶ ἄλλους τῶν

χριστιανῶν. Ταῦτα πληροφορηθέντες ἠγανακτήσαμεν μεγάλως κατ' αὐτῶν, ἐπαπορήσαντες πῶς ἐτόλμησαν κακοβούλως νὰ φαντασθῶσι μίαν τοιαύτην ἀπείθειαν καὶ ἀνταρσίαν κατὰ τῆς ἀμεταθέτου ἐκκλησιαστικῆς καὶ πολιτικῆς ἀποφάσεως, χωρὶς νὰ ἐννοήσωσιν ὁποῖον κρημνὸν ἑτοιμάζουσιν ἑαυτοῖς διὰ τοῦ ἀπονενοημένου αὐτοῦ κινήματος· ἀγκαλὰ λοιπὸν καὶ ἔπρεπεν ἤδη ἀμέσως νὰ ἐπιφέρωμεν κατ' αὐτῶν τοὺς κεραυνοὺς τῆς ἐκκλησιαστικῆς ἀγανακτήσεως, καὶ νὰ τοὺς πληροφορήσωμεν πραγματικῶς πόσον εἶναι σκληρὸν τὸ πρὸς κέντρα λακτίζειν, μ' ὅλον τοῦτο μακροθυμήσαντες ἀνεβάλομεν πρὸς τὸ παρὸν τὸν καιρὸν τῆς ἀνηκούσης παιδείας, γράφοντες δὲ διὰ τῆς παρούσης ἐκκλησιαστικῆς ἡμῶν ἐπιστολῆς, προτρεπόμεθα πατρικῶς καὶ συμβουλεύομεν καὶ ἐντελλόμεθα καὶ παραγγέλλομεν πᾶσιν ὑμῖν τοῖς χριστιανοῖς τῆς ἐπαρχίας αὐτῆς, νὰ προσέξητε καλῶς μήποτε φανῆτε ὑμεῖς συναρπαζόμενοι ἀπὸ τοὺς ματαίους λόγους ἐκείνων τῶν ἀπονενοημένων τριῶν κακοβούλων, τῶν ὁποίων ὁ σκοπὸς εἶναι νὰ διαταράξωσι μὲ σκάνδαλα τὴν θεοφιλῆ εἰρήνην, τὴν ὁποίαν ἡ Ἐκκλησία προνοητικῶς καὶ ἐπ' ὠφελείᾳ ὑμῶν ψυχικῇ καὶ σωματικῇ ἠθέλησε νὰ εἰσάξῃ μὲ τὴν ἐφ' ὑμῖν ἀρχιερατικὴν ἐπίσκεψιν καὶ προστασίαν τοῦ ἱερωτάτου μητροπολίτου Κορυτζᾶς, ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ κὺρ Βυσσαρίωνος, καθὼς ἐκ τῶν προσταλέντων συνοδικῶν γραμμάτων τῆς εἰδήσεως ἐπληροφορήθητε καλῶς τὴν προνοητικὴν πρόθεσιν τῆς Ἐκκλησίας. Ὅθεν νὰ μὴν ἤθελε κατ' οὐδένα τρόπον συνδιατεθῆτε καὶ συμφρονήσητε ἢ συμφατριάσητε μετ' ἐκείνων, ἀλλ' ὡς γνήσια καὶ εὐπειθῆ τέκνα τῆς κοινῆς μητρὸς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας πειθόμενοι εἰς τὴν ἀπόφασιν τῆς ἐπωφελεστάτης αὐτῆς διαιτήσεως, νὰ γνωρίζητε γνήσιον καὶ κανονικὸν ἀρχιερέα σας τὸν διαληφθέντα ἅγιον Κορυτζᾶς, πειθόμενοι καὶ σεβόμενοι τὴν ἱερότητά του, καὶ τὰ εἰθισμένα ἀρχιερατικὰ αὐτοῦ εἰσοδήματα ἀποδίδοντες ἀνελλιπῶς, καθὼς διὰ τῶν προσταλέντων συνοδικῶν ἡμῶν γραμμάτων ἐδηλοποιήσαμεν εἰς ὅλους σας, γνωρίζοντες καλῶς, ὅτι ἡ περὶ τῆς ἑνώσεως τῆς ἐπαρχίας αὐτῆς μετὰ τῆς Κορυτζᾶς διαίτησις καὶ ἀπόφασις εἶναι ἀμετάθετος, ὡς ἐπικεκυρωμένη καὶ δι' ὑψηλοῦ βασιλικοῦ ὁρισμοῦ, καὶ ὅστις φαίνεται ἀντιπράττων καὶ ἐναντιοφρονῶν, ὄχι μόνον ἐφέλκεται κρῖμα κατὰ ψυχήν, ἀλλὰ καθίσταται ἔνοχος καὶ παιδείας πολιτικῆς αὐστηροτάτης, ὡς ἀντιτασσόμενος τῇ ὑψηλῇ βασιλικῇ προσκυνητῇ ἀποφάσει. Ταῦτα συμβουλεύομεν καὶ ἐπιτάττομεν ὑμῖν, τοὺς δὲ σκανδαλοποιοὺς καὶ ταραξίας ἐκείνους, τόν τε παπᾶ Νικόλαον οἰκονόμον, τὸν υἱόν του παπᾶ Ἀγγελῆν καὶ τὸν ἡγούμενον Παΐσιον, ἐὰν μή, παυσάμενοι τῶν κακοβούλων φρονημάτων καὶ κινημάτων, γνωρίσωσι γνήσιον καὶ νόμιμον ἀρχιερέα τῆς ἐπαρχίας αὐτῆς τὸν ῥηθέντα ἅγιον Κορυτζᾶς καὶ Πωγωνιανῆς κὺρ Βησσαρίωνα, πειθόμενοι τῇ ἐκκλησιαστικῇ καὶ

πολιτικῇ ἀμεταθέτῳ ἀποφάσει, αὐτοὺς μὲν ἔχομεν ἀργοὺς πάσης ἱεροπραξίας καὶ ἐστερημένους παντὸς ἐνοριακοῦ εἰσοδήματος, μηδενὸς τολμῶντος συμφορέσαι αὐτοῖς καὶ συλλειτουργῆσαι ἢ τὴν χεῖρα αὐτῶν ἀσπάσασθαι, ἔτι δὲ καὶ ὅσοι τῶν χριστιανῶν, συνδιατεθέντες ἐκείνοις καὶ συμφρονήσαντες, φανῶσιν ἐπίσης ἀπειθεῖς τῇ ἐκκλησιαστικῇ καὶ βασιλικῇ ἀποφάσει, ἔχομεν καὶ αὐτοὺς ἀφορισμένους παρὰ Πατρός, Υἱοῦ καὶ ἁγίου Πνεύματος, καὶ ἀσυγχωρήτους καὶ ἀλύτους μετὰ θάνατον, καὶ ἐὰν μὴ σωφρονισθῶσιν, αλλ' ἐπιμείνωσι καὶ τοῦ λοιποῦ τῇ κακοβουλίᾳ καὶ ἀνταρσίᾳ, γινωσκέτωσαν ὅτι θέλουν δοκιμάσει ἀκολούθως καὶ παιδείαν πολιτικήν, μετανοοῦντες ἀνωφελῶς διὰ βίου. Προσέχετε τοίνυν καλῶς καὶ ποιήσατε φρονίμως καὶ εὐπειθῶς, ὡς γνήσια καὶ εὐπειθῆ τέκνα τῆς Ἐκκλησίας, καθὼς ὑμῖν γράφοντες παρακελευόμεθα καὶ ἀποφαινόμεθα, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη πᾶσιν ὑμῖν.

,αωκη', μαίου ς'.

Ὁ Κωνσταντινουπόλεως καὶ ἐν Χριστῷ εὐχέτης.

XXXIV. 1829, мая 20. Письмо патріарха Агаѳангела христіанамъ епархіи Арты въ отвѣтъ на ихъ ходатайство о соединеніи этой епархіи съ митрополіей Янины.

К. П А., XVI, 218.

Ἀγαθάγγελος κτλ.

Τιμιώτατοι προεστῶτες καὶ χρήσιμοι πρόκριτοι, εὐλογημένοι χριστιανοὶ τῆς ἐπαρχίας Ἄρτης, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ἡμῖν καὶ εἰρήνη παρὰ Θεοῦ, παρ' ἡμῶν δὲ εὐχή, εὐλογία καὶ συγχώρησις. Τὴν σταλεῖσαν πρὸς ἡμᾶς ἐνυπόγραφον ἀναφορὰν σας ἐλάβομεν εὐμενῶς καὶ εἴδομεν τὴν ἀποβίωσιν τοῦ μακαρίτου ἀρχιερέως σας Νεοφύτου, ὃν Κύριος ἀναπαύσαι ἐν κόλποις Ἀβραάμ, χαριζόμενος ὑμῖν ζωὴν πολυχρόνιον. Εἴδομεν ἀκολούθως καὶ τὴν ἣν ποιεῖτε αἴτησιν πρὸς τὴν Ἐκκλησίαν, δεόμενοι ἵνα ἑνωθῇ ἡ ἐπαρχία αὕτη Ἄρτης μετὰ τῆς γειτνιαζούσης ἐπαρχίας Ἰωαννίνων, καὶ λόγους περὶ τούτου προβάλλετε τοὺς κινήσαντας ὑμᾶς εἰς τὸ νὰ ἐπινοήσητε τὴν ἕνωσιν ταύτην. Ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία, ὡς κοινὴ μήτηρ καὶ προστάτις ἁπάντων τῶν ἁπανταχοῦ εὐσεβῶν, ὅτι προνοεῖ καὶ κήδεται καθ' ὅλους τοὺς τρόπους, σκοπὸν ἔχουσα τὴν ψυχικὴν ὠφέλειαν τῶν ἐν αὐταῖς διατελούντων πνευματικῶν αὐτῆς τέκνων, δὲν εἶναι οὐδεμία ἀμφιβολία. Ὅθεν καὶ τὸ τῆς ἑνώσεως πρόβλημα ὑμῶν διαβασανίσασα πολυειδῶς μετὰ σκέψεως ἐνέκρινε πρῶτον ἀναγκαῖον τὸ νὰ λάβῃ τὰς προσηκούσας πληροφορίας καὶ νὰ παρατηρήσῃ τὴν διαφορὰν τῆς καταστάσεως τῆς

ἐπαρχίας αὐτῆς Ἄρτης, νὰ ἐπεξεργασθῇ τοὺς λογαριασμοὺς τῶν καταστίχων τοῦ μακαρίτου κὺρ Νεοφύτου, ἔτι δὲ καὶ τὴν καταλειφθεῖσαν περιουσίαν του, καθότι ὁ μακαρίτης ὀφείλει οὐκ ὀλίγα καὶ πρὸς τὸ Κοινὸν αὐτῆς τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, τὸ ὁποῖον περιστοιχεῖται ἀπὸ ἀνάγκας ἀνυποίστους, ὡς γνωστόν. Ἐφ' ᾧ καὶ διορισθέντες συνοδικῇ διαγνώσει ἀποστέλλονται ἔξαρχοι ἐπὶ τούτῳ οἱ τὴν παροῦσαν ἐκκλησιαστικὴν ἡμῶν ἐπιστολὴν ἐπιδιδόντες ὑμῖν, ὅ τε ἱερώτατος μητροπολίτης Γρεβενῶν καὶ ὑπέρτιμος κὺρ Ἄνθιμος καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Βελλᾶς κὺρ Ἰωακείμ, διὰ νὰ ἐπιστατήσωσι μετὰ φρονήσεως καὶ νὰ εἰδοποιήσωσι περὶ πάντων τῇ Ἐκκλησίᾳ. Γράφοντες τοίνυν καὶ πρὸς ὑμᾶς διὰ τῆς παρούσης συμβουλεύομεν πατρικῶς καὶ ἐντελλόμεθα καὶ παραγγέλλομεν, ὅπως, ἀφικομένους αὐτόθι τοὺς διαληφθέντας ἐκκλησιαστικοὺς ἐξάρχους, ὑποδεχθῆτε φιλοφρόνως, ὡς πρόσωπον τῆς Ἐκκλησίας ἀναφέροντας, καί, δόντες ἀκρόασιν εἰς ὅσα κοινῶς ἔχουσι νὰ προτείνωσι, νὰ συνεπιστατήσητε ἀκολούθως μετ' αὐτῶν εἰς τὸ νὰ καταγραφῶσι καθαρῶς καὶ λεπτομερῶς ὅλα τὰ κατάστιχα τῶν ἐπαρχιακῶν λογαριασμῶν τοῦ μακαρίτου κὺρ Νεοφύτου, καθὼς καὶ τὸ ἰδιαίτερον κατάστιχον τῆς περιουσίας αὐτοῦ οἱουδήποτε εἴδους, τὰ ὁποῖα καὶ θέλουσιν ἀποστείλει ἐνταῦθα πρὸς τὴν Ἐκκλησίαν ἐνσεσημασμένα ταῖς ἰδίαις αὐτῶν ὑπογραφαῖς, καθὼς αὐτοῖς γράφομεν, ὥστε ὅπου, γενομένης συνοδικῆς σκέψεως ἀκριβοῦς καὶ ἐπεξεργασίας ἐπὶ τῇ καταστάσει τῆς ἐπαρχίας αὐτῆς, νὰ ἐγκριθῇ τὸ πρακτέον κατὰ τὸν ἐπωφελέστερον καὶ ἁρμοδιώτερον τρόπον, συνῳδὰ τῇ ἀξιοχρέῳ ἐκκλησιαστικῇ κηδεμονίᾳ. Ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος σὺν τῇ παρ' ἡμῶν εὐχῇ καὶ εὐλογίᾳ εἴη μεθ' ὑμῶν.

,αωκθ', μαίου κ'.

Ὁ Κωνσταντινουπόλεως καὶ ἐν Χριστῷ εὐχέτης.

XXXV. 1831, мая 6. Письмо патріарха Константія I экономусвященнику Димитрію по поводу возведенія мѣстности Трикеръ въ достоинство патріаршей экзархіи.

К. П. А., XVII, 94.

Ἐντιμότατε οἰκονόμε τῆς χώρας Τρικέρων κὺρ παπᾶ Δημήτριε, τέκνον ἐν Κυρίῳ ἡμῶν ἀγαπητόν, χάρις εἴη σοι καὶ εἰρήνη παρὰ Θεοῦ, παρ' ἡμῶν δὲ εὐχή, εὐλογία καὶ συγχώρησις. Ἐξ ὧν γράφομεν κοινῶς τοῖς χριστιανοῖς κατοίκοις τῆς χώρας ταύτης πληροφορεῖσαι τὴν ἐνδεικνυμένην πρόνοιαν καὶ φιλοτιμίαν τῆς κοινῆς μητρὸς τῶν εὐσεβῶν ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, προαγαγούσης καὶ ἀποκαταστησάσης τὴν χώραν ταύτην τῶν Τρικέρων εἰς ἐξαρχίαν

πατριαρχικήν, ἀνωτέραν μὲν πάσης ἀρχιερατικῆς καὶ κυριαρχικῆς ἐξουσίας, ὑποκειμένην δὲ ἀμέσως εἰς τὸν καθ' ἡμᾶς ἁγιώτατον πατριαρχικὸν οἰκουμενικὸν θρόνον καὶ ὑπ' αὐτοῦ μόνου διοικουμένην καὶ διεξαγομένην, ἔχοντος τῆς σῆς ἐντιμότητος τὴν ἐπιτροπὴν τῆς πνευματικῆς ἐπιστασίας καὶ τὰς ἐμπιπτούσας ὑποθέσεις διοικοῦντος, μετὰ τῆς δεούσης προσοχῆς καὶ ἐπαγρυπνήσεως. Ἐπὶ τούτῳ, γράφοντες καὶ διὰ τῆς παρούσης πατριαρχικῆς ἡμῶν ἐπιστολῆς, ἐντελλόμεθα καὶ παρεγγέλλομέν σοι, ὅπως, ἔχων τοῦ λοιποῦ τὴν ἐπιτροπὴν τῆς πνευματικῆς ἐπισκέψεως τῶν ἐν τῇ χώρᾳ ταύτῃ χριστιανῶν, διοικῇς τὰς ἐμπιπτούσας πνευματικὰς ὑποθέσεις μετὰ πάσης ἀκριβεστάτης προσοχῆς, ὑποτιθέμενος αὐτοῖς τὴν πρὸς Θεὸν εὐαρέστησιν δι' ἔργων χριστιανικῶν καὶ ὑπαγορεύων ἀείποτε τὴν πρὸς τὸ βασίλειον κράτος εὐγνώμονα εὐπείθειαν καὶ εἰλικρινῆ ὑποταγὴν αὐτῶν, κατὰ τὸ ἀπαραίτητον χρέος των. Εἰς δὲ τὰ συμβαίνοντα συνοικέσια νὰ προσέχῃς ἀγρύπνοις ὄμμασι, καὶ ὅσα ἐξ αὐτῶν χρήζουσιν ἐκκλησιαστικῆς ὁδηγίας καὶ ἐπικρίσεως, πλησιάζοντα εἰς τὴν συγγενικὴν βαθμολογίαν, αὐτὰ δὲν ἔχεις οὐδεμίαν ἄδειαν νὰ τὰ ἐκτελῇς, χωρὶς πρῶτον νὰ ἐρωτᾷς τὴν ἐκκλησίαν καὶ νὰ λαμβάνῃς τὴν ἔγγραφον κανονικὴν αὐτῆς ἄδειαν. Ὅθεν, τόσον εἰς τὰς τοιαύτας ὑποθέσεις τῶν συνοικεσίων, ὅσον καὶ εἰς ἄλλας οὐσιώδεις ὑποθέσεις τῶν χριστιανῶν, κοινάς τε καὶ μερικάς, προσέχων καλῶς νὰ ἀναφέρῃσαι καὶ νὰ δηλοποιῇς πρὸς τὴν Ἐκκλησίαν καὶ παρ' αὐτῆς νὰ λαμβάνῃς τὰς ὁδηγίας. Πρὸς δὲ τούτοις νὰ ἐπιστατῇς μετ' εἰλικρινείας καὶ τιμιότητος εἰς τὸ νὰ λαμβάνωνται ἀνελλιπῶς τὰ εἰσοδήματα ἐκεῖνα ὁποῦ ὑπῆρχον πρότερον ἀρχιερατικὰ καὶ νὰ παραδίδωνται εἰς τοὺς προεστῶτας τῆς χώρας διὰ νὰ δαπανῶνται εἰς τὰς ἀνάγκας τῆς κοινῆς αὐτόθι σχολῆς, καθότι παρ' αὐτῶν τῶν εἰσοδημάτων μήτε ἡ ἐντιμότης σου, μήτε ἄλλος τις ἔχει μετοχήν τινα. Ὡσαύτως δὲ καὶ τὰ δύο αὐτόθι ἱερὰ μοναστήρια, δηλαδὴ τῶν ἁγίων Τεσσαράκοντα μαρτύρων καὶ τῆς Παναγίας Φανερωμένης, θέλουν δίδει κατ' ἔτος ἀνὰ διακόσια γρόσια τὸ καθ' ἓν πρὸς τὴν κοινὴν σχολήν, διὰ τῆς ἐπιστασίας σοῦ τε καὶ τῶν προεστώτων. Πρὸς δὲ τὸ Κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας ἡ ἐξαρχία αὕτη τῶν Τρικέρων θέλει δίδει κατ' ἔτος γρόσια ἑκατὸν λόγῳ ὑποταγῆς, κατὰ τὴν τάξιν τῶν ἐξαρχιῶν. Ὅθεν καὶ περὶ τούτων ἡ ἐντιμότης σου καθὼς καὶ οἱ τιμιώτατοι προεστῶτες θέλετε λαμβάνει ἐγκαίρως πρόνοιαν νὰ τὰ ἀποστέλλητε πρὸς τὸ Κοινὸν τῆς Ἐκκλησίας ἐνταῦθα. Οὕτω γινώσκων καὶ καλῶς προσέχων ποίησον καθὼς σοι γράφοντες ἐντελλόμεθα, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις εἴῃ μετὰ σοῦ.

,αωλα', μαίου ς'.

XXXVI. 1831, сентября 2. Посланіе патріарха Константія I и священнаго синода митрополиту Месимвріи и Варны Каллиннику по поводу соединенія этихъ двухъ епархій въ одну.

К. П. А., DCXLI, 40.

Ἰωρώτατε μητροπολῖτα Μεσημβρίας καὶ Βάρνης, ὑπέρτιμε καὶ ἔξαρχε Μαύρης Θαλάσσης, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἡμῶν ἀδελφὲ καὶ συλλειτουργὲ κὺρ Καλλίνικε, χάρις εἴη σου τῇ ἱερότητι καὶ εἰρήνη παρὰ Θεοῦ. Ἀπὸ τῶν γραμμάτων τῆς πρὸς ἡμᾶς τε καὶ πρὸς τοὺς σεβασμιωτάτους γέροντας καὶ ἐπιστάτας τῆς ἐφορικῆς κάσσης εἴδομεν ὅσα γράφει περὶ τῆς ἐρημώσεως τῶν δύο ἐπαρχιῶν Μεσημβρίας καὶ Βάρνης, καὶ περὶ τῆς ἐλεεινῆς καταστάσεως τῶν σωζομένων ἐν αὐταῖς ὀλίγων χριστιανῶν, πληροφορηθέντες αὐτὰ καὶ παρὰ τοῦ σεβασμίου γέροντος ἁγίου Κυζίκου, εἰδήμονος ὄντος τῶν αὐτόθι ἐπαρχιῶν, καὶ ἠλγήσαμεν ἐπὶ τῇ περιστατικῇ αὐτῶν καταστάσει· ἔγνωμεν δὲ καὶ τὰ τῆς αἰτήσεώς της, ὅτι, ἐπειδὴ αὐταὶ καθ' ἑαυτὰς οὐ δύνανται χωρὶς ἑκατέρα διοικηθῆναι πρὸς ἐξοικονόμησιν τῶν χρεῶν, πολλῶν ὄντων, εἶναι συμφέρον νὰ ἑνωθῶσιν αἱ δύο εἰς μίαν ἐπαρχίαν, καὶ οὕτως, ὡς ἀπὸ μιᾶς ποίμνης καὶ ἑνὸς ποιμένος, νὰ οἰκονομῶνται κατά τε τὰ χρέη αὐτῶν, διὰ τῆς συντόνου ἀρχιερατικῆς τῆς ἐπιστασίας, πρὸς ἀνάπαυσιν καὶ τῶν δανειστῶν. Περὶ τούτου, σκέψεως γενομένης συνοδικῆς, ἐπὶ παρουσίᾳ καὶ τῶν τιμιωτάτων τοῦ Κοινοῦ ἐπιτρόπων, ἐπενεύσαμεν πρὸς τὴν αἴτησίν της, εὔλογον οὖσαν καὶ πρὸς τὰ συμφέροντα τῆς ἐκκλησίας καὶ τῶν δανειστῶν ἀφορῶσαν, καὶ γνώμῃ κοινῇ καὶ συγκαταθέσει ἐκκλησιαστικῇ ἀπεφηνάμεθα τὴν ἕνωσιν τῶν δύο εἰρημένων ἐπαρχιῶν εἰς μίαν, καὶ δι' ἐκδόσεως ὑψηλοῦ προσκυνητοῦ μπερατίου ἐκυρώσαμεν, ὥστε τοῦ λοιποῦ τὴν ἐπαρχίαν Βάρνης μετὰ τῶν ὑποκειμένων αὐτῇ χωρῶν τε καὶ χωρίων εἶναι προσηλωμένην καὶ ἡνωμένην πρὸς τὴν ἐπαρχίαν Μεσημβρίας. καὶ λέγεσθαι τοὐντεῦθεν καὶ γράφεσθαι τὴν ἱερότητά της κανονικὸν μητροπολίτην Μεσημβρίας καὶ Βάρνης, ὑπέρτιμον καὶ ἔξαρχον Μαύρης Θαλάσσης, ἐπισκεπτόμενον ἀρχιερατικῶς τὸν ἐν αὐτῇ χριστεπώνυμον τοῦ Κυρίου λαόν· κατεσκευάσθη δὲ καὶ σφραγὶς ἐπαρχιακὴ ἐπὶ τῷ ὀνόματι Μεσημβρίας καὶ Βάρνης Καλλινίκου, ἥτις ὁμοῦ καὶ τὸ μπεράτιον, ἐγχειρισθέντα τῷ σεβασμιωτάτῳ γέροντι ἁγίῳ Νικομηδείας, τῇ ἀποστέλλονται διὰ τῆς σεβασμιότητός του. Διαβεβαιούμενοι οὖν τὴν ἕνωσιν ταύτην τῶν δύο τούτων ἐπαρχιῶν εἰς μίαν διὰ τῆς παρούσης ἡμετέρας πατριαρχικῆς καὶ συνοδικῆς ἐπιστολῆς, εἰδοποιοῦμεν τακτικῶς τὴν ἱερότητά της καὶ τῇ ἐπευχόμεθα ἀδελφικῶς, ὅπως ἡ ἕνωσις αὕτη εἴη ἐν ὥραις αἰσίαις καὶ παραίτιος ἀγαθῶν μετὰ πάσης τῆς πνευματικῆς καρπο-

φορίας, προσεπευχόμενοι νὰ φανῇ εὐγνώμων εἰς τὴν κοινὴν μητέρα ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν καὶ εὐάρεστος εἰς τοὺς δανειστάς της. Ἐπειδὴ δὲ ὀφείλονται τριῶν ἐτῶν διάφορα δεδουλευμένα τῶν δύο ἐπαρχιῶν, ἐξ ὧν τὰ τῶν δύο ἐτῶν παραλείπονται ἀπλήρωτα, τοῦ δὲ τρίτου ἔτους πληρωθήσονται ἤδη πρὸς τριάκοντα εἰς τὸ πουγγίον, καθ' ἣν εἰς τὴν Ἐκκλησίαν ποιεῖται ὑπόσχεσιν ἡ ἱερότης της, καὶ ἐκ τούτου ἀπηντήθησαν μὲν δυσαρέσκειαί τινες ἀπὸ μέρους τῶν ἐπιτρόπων τοῦ Κοινοῦ καὶ αὐλικῶν δανειστῶν, ἐλπίζομεν ὅμως μὲ τὴν ταχεῖαν ἀποστολὴν τῶν διαφόρων νὰ τὰς διαλύσωσιν οἱ σεβασμιώτατοι γέροντες καὶ ἐπιστάται τῆς ἐφορικῆς κάσσης, τούτου ἕνεκα παραγγέλλομεν αὐτῇ, ἅμα τῷ λαβεῖν τὴν παροῦσαν νὰ ἐμβάσῃ ἀμέσως πρὸς τὴν ἐφορικὴν κάσσαν τὰ ὑποσχεθέντα διάφορα τοῦ χρέους τῆς Μεσημβρίας καὶ Βάρνης, συναποστέλλων ὁμοῦ καὶ μπεγιάζια ἀρκετὰ ἐσφραγισμένα μὲ τὴν σταλεῖσαν νέαν σφραγίδα καὶ μὲ τὴν ὑπογραφὴν Μεσημβρίας καὶ Βάρνης, ὁποῦ, πληρουμένων τῶν διαφόρων, νὰ ἀλλάζωνται αἱ ὁμολογίαι εἰς αὐτά, καὶ οὕτω θέλει ἐξακολουθῇ πρὸς τὸ παρόν, ἕως ὅτου, θεία συνάρσει, συνελθόντων τῶν χριστιανῶν εἰς τοὺς οἰκείους τόπους, νὰ ἀναλάβωσι κατὰ τὸ μᾶλλον καὶ ἧττον τὰ μέρη τῶν ἑνωθεισῶν τούτων ἐπαρχιῶν τὴν προτέραν κατάστασιν καὶ ἀνόρθωσιν ἐπὶ τὸ κρεῖττον, καὶ τότε πάλιν κατὰ λόγον δικαίου νὰ γίνηται ἡ ἀπότισις τῶν διαφόρων, ἀναλόγως τῇ φαινομένῃ καὶ οὔσῃ τῶν τόπων καταστάσει καὶ ἀνορθώσει τῆς ἐπαρχίας· πρὸς ὃ καὶ δὲν ἀμφιβάλλομεν, ὅτι καὶ ἡ ἱερότης της συμφώνως θέλει προσενεχθῇ τοιούτῳ τρόπῳ, μὴ ἀνεχομένη τὸ ἄδικον, μήτε τὴν ζημίαν τῶν δανειστῶν, ὡς φιλότιμος καὶ φύλαξ ἀκριβὴς τοῦ δικαίου καὶ τῶν καθηκόντων. Εἶναι γνωστὸν τῇ ἱερότητί της ὅτι ὑπάρχει μία ὁμολογία Μεσημβρίας γροσίων 5000 ἐπ' ὀνόματι Ῥαπιὰ χανήμ, γυναικὸς τοῦ πρώην σίλου βὲ Καστα-μονή, ὑψηλοτάτου βεζύρου Σεὶτ Ἰσμαὴλ πασᾶ, αὐτῆς τὰ διάφορα ὄντα πρὸς 60 δὲν ἔπαυσαν μέχρι σήμερον ἀπὸ τοῦ νὰ ἀπαιτῶνται καὶ ἀμέσως καὶ ἐμμέσως διὰ τζοχανδάρηδων τῆς Ὑψηλῆς Πόρτας, καὶ τοὺς παραπέμπομεν πότε μὲ ὑποσχέσεις, πότε μὲ λόγους ἀφανισμοῦ τῆς ἐπαρχίας, αὐτοὶ δὲ ὅμως δὲν παύουσιν ἄλλως ἀπὸ τοῦ νὰ ἀπαιτῶσι στενῶς· διὸ τῇ εἰδοποιοῦμεν ὅτι αὐτὴ ἡ ὁμολογία πρέπει νὰ εἶναι ἐξαιρετέα ἀπὸ τὰς ἄλλας, διότι στοχαζόμεθα ὅτι αὐτοὶ δὲν θέλουν στέρξει εἰς τὴν γιγνομένην διαίτησιν τῶν διαφόρων, ἀλλὰ θέλουν ζητήσει νὰ πληρωθῶσι κατὰ τὴν ὁμολογίαν· μ' ὅλον τοῦτο οἱ σεβασμιώτατοι γέροντες θέλουν προσπαθήσει ὅσον τὸ δυνατὸν νὰ πληρώσωσιν ὀλιγώτερα, πρὸς τὴν ὠφελειάν της, καὶ θέλουν τῇ εἰδοποιήσει καὶ περὶ τούτου διὰ νὰ ἐξαποστείλῃ ὅσα πληρώσωσι περιπλέον διὰ τὴν ὁμολογίαν αὐτήν. Καὶ ταῦτα μὲν ἐπὶ

τοσοῦτον πρὸς πληροφορίαν της, ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μετ' αὐτῆς.

,αωλα', σεπτεμβρίου β'.

Ὁ Κων/πόλεως καὶ ἐν Χριστῷ ἀδελφός.

Ὁ Κυζίκου Ἄνθιμος καὶ ἐν Χριστῷ ἀδελφός —Ὁ Νικομηδείας Πανάρετος — Ὁ Δέρκων Νικηφόρος — Ὁ Ῥόδου Μεθόδιος Ὁ Ἀγχιάλου Σωφρόνιος — Ὁ Δυρραχίου Χρύσανθος καὶ ἐν Χριστῷ ἀδελφός.

XXXVII. 1832, іюля 3. Посланіе патріарха Константія I и священнаго синода Янинскому митрополиту Іоакиму по поводу соединенія епископіи Химарры и Дельвина съ епископіей Дріинополя.

Κ. Π. Α., XVII, 195.

Κωνστάντιος κτλ.

Ἱερώτατε μητροπολῖτα Ἰωαννίνων, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Κερκύρας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος κὺρ Ἰωακείμ, χάρις εἴη σου τῇ ἱερότητι καὶ εἰρήνη παρὰ Θεοῦ. Τὸ σταλὲν ἡμῖν ἀδελφικὸν γράμμα σου, σεσημειωμένον τῇ ς' τοῦ παριππεύσαντος ἰουνίου μηνός, εὐμενῶς ἐλάβομεν καί, ἀναγνωσθέντος ἐπ' ἀκροάσει ἡμῶν καὶ τῆς περὶ ἡμᾶς ἱερᾶς συνόδου, εἴδομεν τοὺς εὐλόγους καὶ ἀναγκαίους λόγους, καθ' οὓς προήχθης εἰς τὴν ἕνωσιν τῆς ἐπισκοπῆς τῆς Χειμάρρας μετὰ τῆς Δρυϊνουπόλεως, καὶ ἀκολούθως τὴν αἴτησίν σου εἰς τὸ νὰ κατοχυρωθῇ καὶ δι' ἐκδόσεως ἐκκλησιαστικοῦ γράμματος ἡ πρᾶξις αὕτη, ἐπικυρουμένη καὶ δι' ὑψηλοῦ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ. Ὅθεν, σκεψάμενοι συνοδικῶς καὶ παρατηρήσαντες τὸ πρόβλημα σύμφωνον ὑπάρχον τῇ ἐκκλησιαστικῇ ἀξιοχρέῳ προνοίᾳ ὑπὲρ τῆς θεοφιλοῦς διεξαγωγῆς καὶ πνευματικῆς ἐπισκέψεως τῶν χριστιανῶν τῆς ῥηθείσης ἐπισκοπῆς Χειμάρρας καὶ Δελβίνου, διεφθαρμένης οὔσης καὶ ἤθει καὶ πράγματι καὶ ἀδυνάτου ἴδιον ἀρχιερέα βαστάσαι, καὶ τὴν κοινὴν ζήτησιν τῶν ἐπαρχιωτῶν κατιδόντες, ἐπενεύσαμεν ἐκκλησιαστικῶς, καὶ ἰδοὺ ἐξεδώκαμεν πατριαρχικὸν ἡμῶν καὶ συνοδικὸν τόμον, ἀποφαινόμενον τὴν ἕνωσιν τῆς ῥηθείσης ἐπισκοπῆς Χειμάρρας καὶ Δελβίνου μετὰ τῆς Δρυϊνουπόλεως, καὶ ὑφ' ἕνα καὶ τὸν αὐτὸν ποιμένα καὶ πνευματικὸν προστάτην ὑποταγὴν αὐτῆς, φαμὲν δὴ τὸν θεοφιλέστατον ἐπίσκοπον Δρυϊνουπόλεως ἀγαπητὸν ἡμῶν ἐν Χριστῷ ἀδελφὸν κὺρ Ἰωακείμ, ἐκδοθέντος καὶ τοῦ ὑψηλοῦ ὁρισμοῦ ζάπτι ἐμρίου ἐπ' ὀνόματι τῆς αὐτοῦ θεοφιλίας. Ταῦτα δηλοποιοῦμεν τῇ ἱερότητί σου διὰ τῆς παρούσης πατριαρχικῆς ἡμῶν καὶ συνοδικῆς

ἐπιστολῆς, μεθ' ἧς ἀποστέλλομεν καὶ τὸν ἐκκλησιαστικὸν τόμον καὶ συνοδικὴν ἡμῶν ἐπιστολὴν πρὸς τὴν ἐκείνου θεοφιλίαν, πρὸς ὃν θέλεις διευθύνει αὐτὰ ἐν τάχει, διὰ νὰ ἀναλάβῃ τὴν πνευματικὴν ἐπίσκεψιν καὶ τῆς ἐπισκοπῆς ταύτης. Ἐπειδὴ δὲ ἔθος ἐκκλησιαστικόν, κεκυρωμένον διὰ συνοδικοῦ τόμου προεκδοθέντος, ὑπαγορεύει, ὥστε τὸ ἐν ταῖς χηρείαις καὶ ἑτέρου ἀρχιερατικοῦ προσώπου ἀντικαταστάσεσι τῶν ἐπισκοπῶν διδόμενον τῷ κυριάρχῃ φιλότιμον νὰ διανέμηται εἰς τρία, καὶ τὸ μὲν ἓν μέρος νὰ δίδεται εἰς τὸ Κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, τὸ δὲ εἰς τὸν κυριάρχην καὶ τὸ τρίτον νὰ χρησιμεύῃ εἰς ἔκπτωσιν ἰσοπόσου αὐλικοῦ χρέους τῆς μητροπόλεως, καὶ ἡ τάξις αὕτη ἐνεργεῖται ἀπαραβάτως μέχρι τοῦ νῦν, διὰ τοῦτο ἐπάναγκες νὰ ἐξακολουθήσῃς ἀπαραλλάκτως καὶ ἡ ἱερότης του, καὶ ὅσον φιλότιμον ἤθελες λάβει παρὰ τῆς ἐκείνου θεοφιλίας, νὰ τὸ φανερώσῃς πρὸς τὴν Ἐκκλησίαν ἐν ἀληθείᾳ καὶ ἐν φόβῳ Θεοῦ, καὶ ἐξ αὐτοῦ νὰ ἀποστείλῃς συγχρόνως τὸ ἕν τρίτον, ὡς δίκαιον ἱερὸν τοῦ Κοινοῦ τῆς Ἐκκλησίας, καὶ μὲ τὸ ἄλλο τρίτον νὰ ἐξαργυρώσῃς αὐλικὰς ὁμολογίας τῆς ἐπαρχίας σου καὶ νὰ τὰς ἀποστείλῃς ἐσχισμένας, διὰ νὰ ὀβελισθῶσι καὶ ἐκ τοῦ κώδικος τοῦ ἐκκλησιαστικοῦ, κρατῶν καὶ τὸ ἄλλο τρίτον ἡ ἱερότης σου ὡς δικαίωμά σου κυριαρχικόν. Ἐπὶ τούτοις ἐντελλόμεθά σοι, ἵνα λάβῃς πρόνοιαν περὶ τοῦ πρώην Χειμάρρας, καὶ ὄχι μόνον νὰ τὸν ἀπαλλάξῃς τῆς ὑπερορίας, ἀλλὰ καὶ νὰ φροντίσῃς τὰ περὶ τῆς θάλψεώς του, καθότι δὲν ἀνέχεται ἡ Ἐκκλησία τὴν τοσαύτην περιφρόνησιν κατὰ τοῦ ἀρχιερατικοῦ χαρακτῆρος καὶ τὴν ἐπίτασιν τῆς παιδείας καὶ θλίψεώς του. Ἡ θεοφιλία του ἔγραψεν εἰς πλάτος τῇ Ἐκκλησίᾳ καὶ ἐξηγήσατο τὰς ἀπολογίας του, καθ' ἃς ἡ τοσαύτη καταφορὰ τῆς ἱερότητός σου θεωρεῖται ἐπιλήψιμος καὶ ἀνοίκειος, καὶ διὰ τοῦτο ἐπιμελήθητι νὰ τὸν ἀναπαύσῃς, ἵνα μὴ αἱ προσκλαύσεις του ἐπιφέρωσιν ἐπὶ τέλους ἐνοχλήσεις καὶ πειρασμοὺς ἐναντίον σου. Καὶ ταῦτα μὲν περὶ τούτων· σοὶ ἀποστέλλομεν δὲ ἤδη καὶ τὸν ὑψηλὸν ὁρισμὸν περὶ τῶν ἐν τῇ ἐπαρχίᾳ σου μοναστηρίων, τῶν ἐνοριακῶν, ὅπως φροντίσῃς κυριαρχικῶς εἰς τὴν διευθέτησιν αὐτῶν κατὰ τὴν ἐκείνου ἔννοιαν, ἀπεχόμενος μέντοι τῶν πατριαρχικῶν καὶ σταυροπηγιακῶν μοναστηρίων τοῦ οἰκουμενικοῦ θρόνου. Ἡ δὲ τοῦ Θεοῦ κτλ.

,αωλβ', Ἰουλίου γ'.

Ὁ Κωνσταντινουπόλεως καὶ ἐν Χριστῷ ἀδελφός.

Ὁ Καισαρείας Παΐσιος —Ὁ Χαλκηδόνος Ζαχαρίας — Ὁ Δέρκων Νικηφόρος — Ὁ Δυραχίου Χρύσανθος.

XXXVIII. 1832, іюль. Томъ патріарха Константія I и священнаго синода о соединеніи въ одну епархію епископій Химарры и Дельвина и Дріинополя.

К. П. А., XVII, 196.

Κωνστάντιος κτλ.

Ἡ μὲν θεραπευτικὴ μέθοδος διὰ τῆς συνθέσεως τῶν ἁπλῶν πολλάκις τοῖς ἀσθενέσι παρέχεται ἴασιν καὶ εἰς τόνον ἀποτελεῖ τῶν πρώην ἐκλελυμένων σωμάτων τὴν κίνησιν· ἡ δὲ κατὰ πνευματικὴν ἐπιστήμην ἐκκλησιαστικὴ διοίκησις, διὰ τῆς ἑνώσεως πολλάκις δύο διῃρημένων παροικιῶν καὶ ὑφ' ἕνα καὶ τὸν αὐτὸν προστάτην κανονικῆς ἐπισκέψεως, τὴν σωτηριώδη κατάστασιν τῶν ὀρθοδόξων μελῶν τῆς Ἐκκλησίας ποιεῖται, εὔρυθμόν τε καὶ κατὰ λόγον τὴν διεξαγωγὴν τῶν ἐπαρχιακῶν ἀναδείκνυσι, κατάλληλον ἐπάγουσα τὴν θεραπείαν. Τοιαύτῃ τινὶ οἰκονομίᾳ ἔγνωμεν καὶ ἡμεῖς ἐν δέοντι χρήσασθαι περὶ τῆς ἁγιωτάτης ἐπισκοπῆς Χειμάρρας καὶ Δελβίνου, τῆς ὑποκειμένης τῇ ἁγιωτάτῃ μητροπόλει Ἰωαννίνων. Καὶ γὰρ ἐδηλώθη τῇ ἡμῶν μετριότητι, προκαθημένῃ συνοδικῶς, ἀπὸ γράμματος τοῦ ἱερωτάτου μητροπολίτου Ἰωαννίνων κὺρ Ἰωακείμ, ὅτι ἡ ἐπισκοπὴ αὕτη, μεμακρυσμένη οὖσα τῆς μητροπόλεως αὐτοῦ καὶ καθ' ὑπερβολὴν διεφθαρμένη καὶ ἤθει καὶ πράγματι, ἐσχάτως δὲ ἀνωμαλίαις καὶ περιστάσεσι καιρικαῖς περιπεσοῦσα, ἀδύνατος τοῖς ὅλοις κατέστη εἰς διατροφὴν καὶ περίθαλψιν ἰδίου ἀρχιερέως, πρὸς δὲ ταύταις καὶ ἄλλην ὑπέστη τὴν ἀτυχίαν, ἐπὶ ψυχικῷ κινδύνῳ καὶ τῶν ἐπαρχιωτῶν χριστιανῶν. Καὶ γὰρ τοῦ ἐν αὐτῇ χρηματίσαντος ἀρχιερέως Παϊσίου δραπετεύσαντος καὶ φυγῇ χρησαμένου πρὸ καιροῦ, καὶ διὰ τοῦτο τῇ δικαίᾳ πολιτικῇ ἀγανακτήσει ὑποπεσόντος, ἀπροστάτευτος ἐναπελείφθη καὶ χηρεύουσα, ἐφ' ᾧ καὶ προνοῶν ἡ ἐκείνου ἱερότης κυριαρχικῶς ἐνέκρινεν ἀναγκαίαν τὴν ἕνωσιν αὐτῆς μετὰ τῆς ἐπισκοπῆς Δρυϊνουπόλεως καὶ Ἀργυροκάστρου, εὑρὼν σύμφωνον καὶ τὴν κοινὴν αἴτησιν τῶν κατοίκων χριστιανῶν. Ταῦτα γοῦν ἀναγγείλας ὁ εἰρημένος ἱερώτατος μητροπολίτης Ἰωαννίνων κὺρ Ἰωακείμ, ἐπειδὴ ἐξῃτήσατο τὴν ἐκκλησιαστικὴν συγκατάθεσίν τε καὶ ἐπικύρωσιν περὶ τῆς ἑνώσεως τῆς διαληφθείσης ἐπισκοπῆς Χειμάρρας καὶ Δελβίνου μετὰ τῆς Δρυϊνουπόλεως, ὡς ἀναγκαίας τε καὶ εὐλόγου, δι' οὓς εἴρηται λόγους καὶ τὴν θεοφιλῆ διοίκησιν καὶ ἐπίσκεψιν τῶν ἐν αὐτῇ χριστιανῶν πραγματευομένης, τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαληφθεῖσα ἁγιωτάτη ἐπισκοπὴ Χειμάρρας καὶ Δελβίνου ὑπάρχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ἡνωμένη μετὰ τῆς ἐπισκοπῆς Δρυϊνουπόλεως καὶ συνηρμοσμένη μετὰ πάντων τῶν κτη-

μάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτῆς, κινητῶν τε καὶ ἀκινήτων, καὶ παρὰ πάντων γινώσκηται μία καὶ μόνη ἐπαρχία, δεσποζομένη ὑπὸ τοῦ νῦν κυριάρχου αὐτῆς θεοφιλεστάτου ἐπισκόπου Δρυϊνουπόλεως καὶ Χειμάρρας, ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Ἰωακεὶμ καὶ τῶν μετὰ ταῦτα κανονικῶς διαδεξομένων αὐτήν, ἰθυνομένη τε καὶ διεξαγομένη ὑπὸ τῆς αὐτοῦ θεοφιλίας, ὅστις ἔχει ἐπ' ἀδείας ποιμαίνειν τὸ ἐν σὐτῇ λογικὸν τοῦ Χριστοῦ ποίμνιον καὶ ποδηγετεῖν σωτηριωδῶς εἰς τὰς ὁδοὺς τῆς εὐαγγελικῆς χάριτος, εὐλογεῖν τε καὶ ἁγιάζειν αὐτοὺς καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν μετὰ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καρπούμενος καὶ λαμβάνων ἀπαραμειώτως καὶ ἀνελλιπῶς καὶ πάντα τὰ ἀνήκοντα αὐτῷ εἰσοδήματα καὶ δικαιώματα, κύριά τε καὶ τυχηρά· ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν αὐτῇ τῇ ἐπαρχίᾳ Χειμάρρας καὶ Δελβίνου χριστιανοί, ἱερωμένοι καὶ λαικοί, πειθαρχεῖν καὶ ὑποτάσσεσθαι αὐτῷ ὡς γνησίῳ καὶ κανονικῷ αὐτῶν κυριάρχῃ καὶ παρέχειν εὐπειθῶς καὶ προθύμως τὰ ἀνήκοντα δικαιώματα, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος τὸ παράπαν, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀλύτου ἀφορισμοῦ τοῦ ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς· ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπολυθεὶς καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, καταστρωθεὶς κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐπεδόθη τῷ διαληφθέντι θεοφιλεστάτῳ ἐπισκόπῳ Δρυϊνουπόλεως καὶ Χειμάρρας ἀγαπητῷ ἡμῶν ἐν Χριστῷ ἀδελφῷ κὺρ Ἰωακείμ.

ͅαωλβ', ἐν μηνὶ ἰουλίῳ.

Ὁ Καισαρείας Παΐσιος — Ὁ Χαλκηδόνος Ζαχαρίας — Ὁ Δέρκων Νικηφόρος — Ὁ Δυρραχίου Χρύσανθος.

XXXIX. 1834. май, инд. VII. Томъ патріарха Константія I и священнаго синода о соединеніи епархіи Погоніаны съ епископіей Веллы и о возведеніи этой новой епархіи въ достоинство митрополіи.

К. П. А., XVII, 262—263.

Τόμος περὶ τῆς ἑνώσεως τῆς Πωγωνιανῆς μετὰ τῆς ἐπισκοπῆς Βελλᾶς, ἥτις προήχθη συγχρόνως εἰς βαθμὸν μητροπόλεως καὶ ὑπερτιμίας.

Ἐν πολλοῖς μὲν καὶ ἄλλοις ἔστιν ἰδεῖν τῆς ἐκκλησιαστικῆς προνοίας τὸ ἀδιάλειπτόν τε καὶ ἄγρυπνον, καὶ οἷαν ἐν τοῖς ἐμπίπτουσι προβάλλεται τὴν οἰκονομίαν, πολλῷ δὲ μᾶλλον ἐν ταῖς ὑποκειμέναις αὐτῇ ἁγιωτάταις ἐπαρχίαις. Ταύτας καὶ γὰρ πρὸς τὸ εὔθετον ἀεί-

ποτε ρυθμίζειν εἴωθε, συντάττουσα διὰ τῶν ὑπεροχικῶν αὐτῆς προνομίων καὶ τῆς ὑπερτελεστάτης δυνάμεως, σκοπὸν ἔχουσα τὸ ἄνετον τῶν ἐν αὐταῖς εὐσεβῶν καὶ τὴν θεοφιλῆ πνευματικὴν αὐτῶν ἐπίσκεψιν καὶ ψυχικὴν σωτηρίαν. Τοῦτο δὲ καὶ ὁ ἀποστολικὸς ὑποτίθεται λόγος, πάντα πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν ὀφείλειν γίνεσθαι ἀποφαινόμενος. Ἐπειδὴ τοιγαροῦν καὶ ἡ ἐπαρχία Πωγωνιανῆς, ἡ ὑπὸ τάξιν ἀρχιεπισκοπῆς ὑποκειμένη ἀνέκαθεν τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ οἰκουμενικῷ θρόνῳ, τέως μὲν διετέλει ὑπὸ τὴν προστασίαν ἰδίων αὐτῆς ἀρχιερέων, ἀποκαθισταμένων κανονικῶς, διὰ δὲ τὸ ὀλιγοπρόσοδον αὐτῆς καὶ πρὸς διατροφὴν ἰδίου ἀρχιερέως ἀνίκανον, ὑστερεῖτο ἀείποτε αὐτοπροσώπου ἀρχιερατικῆς ἐπισκέψεως, τῶν ἐν αὐτῇ κατὰ καιροὺς ἀρχιερατευόντων ἐν ἀλλοδαπῇ τὰ πρὸς τὸ ζῆν διωκόντων ἀπὸ ἀρχιεροπραξιῶν, καὶ ἀποδημίαις μακραῖς ἀνεπίσκεπτον αὐτὴν μονονοὺ καταλειπόντων, ἡ Ἐκκλησία πρὸ ἓξ ἤδη χρόνων, μετὰ θάνατον τοῦ Πωγωνιανῆς κὺρ Διονυσίου, πρόνοιαν ἀξιόχρεων ποιουμένη, ἐνεπιστεύσατο τὴν ἐπαρχίαν ταύτην τῷ ἱερωτάτῳ μητροπολίτῃ Κορυτζᾶς κὺρ Βησσαρίωνι καὶ ἥνωσεν αὐτὴν τῇ ἁγιωτάτῃ αὐτοῦ μητροπόλει Κορυτζᾶς, ἐλπίσασα διὰ τῆς ἑνώσεως ταύτης παραμυθήσασθαι τοὺς ἐν ἐκείνῃ χριστιανούς, ἐν στερήσει μακρᾷ ἀρχιερατικῆς παρουσίας καὶ εὐλογίας διατελοῦντας, καὶ συνεχῶς διὰ τοῦτο προσκλαιομένους. Ἀλλ' ἡ αὐτοῦ ἱερότης, οὐκ οἴδαμεν ὅπως, μετὰ τὴν τῆς Πωγωνιανῆς ἕνωσιν, ἀπροσφόρως πολιτευσάμενος πρὸς τοὺς ἐν αὐτῇ χριστιανούς, τρόπον τε τραχὺν καὶ ἀπάδοντα ἐνδειξάμενος καὶ καταχρήσεσι καὶ ἰδιορρυθμίαις παρεκτραπείς, τὴν κοινὴν αὐτῶν ἐκίνησε δυσαρέσκειαν· διὸ καὶ ἔκτοτε οὐκ ἐπαύσαντο δι' ἀλλεπαλλήλων ἀναφορῶν ἀγωγὰς κινοῦντες κατ' αὐτοῦ καὶ προσκλαύσεις δεινοπαθεῖς, ἃς ἡ Ἐκκλησία πολυειδῶς καταπαῦσαι προθυμηθεῖσα, οὐδὲν ἤνυσεν, ἀλλὰ καὶ ἐσχάτως τινὲς τῶν ἐκεῖ προκρίτων χριστιανῶν παραγενόμενοι ἐνταῦθα ἐπίτηδες καὶ κοινὰς ἀναφορὰς τῶν ἐπαρχιωτῶν χριστιανῶν συνεπιφερόμενοι, παρέστησαν ἀδύνατον τοῦ λοιποῦ τὴν ὑπὸ τῇ ἐκείνου ἱερότητι ὑποταγὴν αὐτῶν, ὡς πολλῶν σκανδάλων αὐτοῖς παραίτιον, καὶ ἐπιμόνως ἐξῃτοῦντο τὴν ἀπὸ τῆς Κορυτζᾶς ἀφαίρεσιν τῆς Πωγωνιανῆς καὶ τῆς ἑνώσεως ἀκύρωσιν, ἀνατιθέμενοι τὴν διαίτησιν καὶ οἰκονομίαν τῆς πνευματικῆς αὐτῶν διοικήσεως, ὅπως ἂν συμφερώτερον περὶ αὐτῶν τῇ Ἐκκλησίᾳ κριθείη, καὶ πρὸς κοινὴν αὐτῶν ἡσυχίαν καὶ ψυχικὴν ὠφέλειαν συμβαλλόμενον. Ταύτης τοίνυν τῆς αἰτήσεως συνοδικῶς ἐπεξεργασθείσης καί, διὰ τοὺς λόγους τῆς τῶν σκανδάλων καταπαύσεως καὶ τῆς ἡσυχίας τῶν εἰρημένων χριστιανῶν, ἀποδεκτῆς φανείσης, ἔγνωμεν διαλῦσαι τὴν ὁπώσποτε ἕνωσιν, ἀτελεσφόρητον αὐτὴν τοῦ λοιποῦ κατιδόντες, προσηλῶσαι δὲ τὴν ἐπαρχίαν ταύτην Πωγωνιανῆς, ἅτε δὴ ἀδυνάτως ἔχουσαν, ὡς διείληπται, καί, διὰ τὸ γλίσχρον καὶ ὀλιγοπρόσοδον, μὴ δυναμένην

ἴδιον ἔχειν ἀρχιερέα, καὶ ἑνῶσαι τῇ γειτνιαζούσῃ καὶ ἀμέσως αὐτῇ συνημμένῃ ἐπαρχίᾳ Βελλᾶς, ὑποκειμένῃ τέως τῇ ἀγιωτάτῃ μητροπόλει Ἰωαννίνων, τά τε ἄλλα καὶ διὰ τὴν ἐπὶ τούτῳ εὐχάριστον συγκατάθεσιν τῶν εἰρημένων ἐπαρχιωτῶν χριστιανῶν, εἰδότων ἐκ τοῦ σύνεγγυς τὴν θεάρεστον εἰρηνικὴν ποιμαντορίαν καὶ θεοφιλῆ πνευματικὴν διοίκησιν τοῦ ἐν αὐτῇ ἀρχιερατικῶς προισταμένου θεοφιλεστάτου ἐπισκόπου Βελλᾶς κὺρ Ἰωσήφ, ἀνδρὸς κοσμίου καὶ ἀρχιεροπρεποῦς, παιδείᾳ τε κεκοσμημένου, ἐθάδος τῶν ἐκεῖσε ἠθῶν καὶ ἐθῶν, ζηλωτοῦ τῶν καλῶν, ὡς διὰ μακροῦ ἤδη πεῖραν ἐντελῆ τῆς εὐαρέστου αὐτοῦ ἀρχιερατείας παρασχόντος. Ἔνθεν τοι, κοινῇ συνοδικῇ διαγνώσει ἀποφανθέντος εἰς μίαν αὐτὰς ἑνωθῆναι ἀμφοτέρας καὶ ὑπὸ τὴν αὐτὴν ταχθῆναι προστασίαν τοῦ διαληφθέντος ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ κὺρ Ἰωσήφ, ἔγνωμεν συγχρόνως τιμῆσαι καὶ προβιβᾶσαι εἰς μητρόπολιν τὴν ἐπαρχίαν ταύτην Βελλᾶς καὶ Πωγωνιανῆς, κατὰ φιλοτιμίαν ἐκκλησιαστικήν, ἀναγκαίαν καὶ συμφέρουσαν τῇ πνευματικῇ αὐτῆς διοικήσει, οὐ καινοτομοῦντες, ἀλλὰ καὶ πολλοῖς τοῖς παραδείγμασιν ἑπόμενοι, ὅσα εὕροι τις ἂν ἐν ταῖς ἀρχαίαις καὶ ἐν ταῖς τῶν καθ' ἡμᾶς χρόνων διατυπώσεσι περὶ τῶν προβιβασθεισῶν ἢ ὑποβιβασθεισῶν μητροπόλεων, ἀρχιεπισκοπῶν τε καὶ ἐπισκοπῶν. Αὐτίκα οὖν τὰ Ἰωάννινα αὐτά, ἐπισκοπὴ τῆς Ναυπάκτου ὄντα τὸ πάλαι, εἰς μητρόπολιν προεβιβάσθη, καὶ ἄλλαι οὐκ εὐάριθμοι τῶν ἐπαρχιῶν κατὰ καιροὺς εἰς τὸ μεῖζον ἢ ἔλαττον τοῖς ὁρίοις καὶ τοῖς βαθμοῖς μετεβλήθησαν. Τὸ μὲν γὰρ τῆς ὑπερφυοῦς δυνάμεως θεῖον καὶ ἀεὶ ὡσαύτως ἔχον πρόσεστι τοῖς ἀρχιερεῦσι, τὰ δὲ ὅρια καὶ αἱ τάξεις, οἷα δὴ ἀνθρώπινα, ἄλλοτε ἄλλως μεταβαλλόμενα καθορᾶται, διὰ τοὺς ἐνοικοῦντας χριστιανοὺς ἢ τοὺς προισταμένους ἀρχιερεῖς. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα, τῶν εἰς χεῖρας τοῦ διαλφθέντος ἱερωτάτου μητροπολίτου Κορυτζᾶς κὺρ Βησσαρίωνος, περὶ τῆς ἑνώσεως τῆς Πωγωνιανῆς μετὰ τῆς ἐπαρχίας αὐτοῦ Κορυτζᾶς, ἐκκλησιαστικῶν γραμμάτων ἀκύρων μενόντων καὶ ἀνισχύρων, διὰ τοὺς ἐκτεθέντας λόγους, καὶ ὡς χάρτης ἄγραφος λογιζομένων, ἡ ῥηθεῖσα ἐπαρχία Πωγωνιανῆς μένῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ἡνωμένη ἀδιαλύτως μετὰ τῆς ἐπαρχίας Βελλᾶς, καὶ συνηρμοσμένη μετὰ πάντων τῶν προνομίων αὐτῆς καὶ τῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων καὶ παρὰ πάντων γινώσκωνται αὗται μία καὶ μόνη ἐπαρχία καὶ μητρόπολις, ὑποτασσομένη ἀμέσως πρὸς τὸν καθ' ἡμᾶς ἁγιώτατον πατριαρχικὸν καὶ οἰκουμενικὸν θρόνον, ὥσπερ καὶ αἱ λοιπαὶ μητροπόλεις, δεσποζομένη, ἰθυνομένη τε καὶ διεξαγομένη κανονικῶς ὑπὸ τοῦ ἤδη ἐν αὐτῇ ἀρχιερατεύοντος ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ κὺρ Ἰωσήφ, ὅστις ἔχει τὸ

προνόμιον τοῦ λέγεσθαι καὶ γράφεσθαι ἱερώτατος μητροπολίτης Βελλᾶς καὶ Πωγωνιανῆς καὶ ὑπέρτιμος, ὥσπερ δὴ καὶ οἱ μετ' αὐτὸν διάδοχοι τῆς μητροπόλεως ταύτης, ἔχων τὴν τάξιν αὐτοῦ καὶ ἕδραν ἐν ταῖς ἐκκλησιαστικαῖς συνελεύσεσιν, εἰ οὕτω τύχοι, ἀμέσως μετὰ τοὺς ἄλλους μητροπολίτας, τοὺς ἔκπαλαι ὑποκειμένους τῷ οἰκουμενικῷ θρόνῳ· ἔχῃ δὲ ἐπ' ἀδείας ἡ αὐτοῦ ἱερότης ποιμαίνειν τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον καὶ ποδηγετεῖν σωτηριωδῶς εἰς τὰς ὁδοὺς τῆς εὐαγγελικῆς χάριτος, εὐλογεῖν τε καὶ ἁγιάζειν τοὺς ἐν αὐτῇ εὐλογημένους χριστιανούς, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καρπούμενος καὶ λαμβάνων ἀπαραμειώτως καὶ ἀνελλιπῶς πάντα τὰ ἀνήκοντα αὐτῷ εἰσοδήματα καὶ δικαιώματα, κύρια καὶ τυχηρά· ὀφείλωσι δὲ καὶ πάντες οἱ ἐν τῇ ἐπαρχίᾳ Πωγωνιανῆς ἱερωμένοι καὶ λαικοὶ πειθαρχεῖν καὶ ὑποτάσσεσθαι αὐτῷ, ὡς γνησίῳ καὶ κανονικῷ αὐτῶν κυριάρχῃ καὶ παρέχειν εὐπειθῶς καὶ προθύμως πάντα τὰ ἀνήκοντα τῇ αὐτοῦ ἱερότητι εἰσοδήματα καὶ δικαιώματα, κύρια καὶ τυχηρά, μηδενὸς ἐναντιουμένου τὸ παράπαν, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀλύτου ἀφορισμοῦ τοῦ ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, καταστρωθεὶς κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Βελλᾶς καὶ Πωγωνιανῆς καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Ἰωσήφ.

Ἐν ἔτει ,αωλδ', κατὰ μῆνα μάιον, ἐπινεμήσεως ζ'.

XL. 1830, декабря 1. Питакій патріарха Константія I о пожалованіи Софійскому митрополиту Паисію титула „пречестнаго и экзарха Болгаріи".

К. П. А., XVII, 54.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ εὐεργετηρίου γράμματος γίνεται δῆλον, ὅτι τὴν ἁγιωτάτην μητρόπολιν Σοφίας, τετιμημένην ἀνέκαθεν εἰς βαθμὸν ὑπερτιμίας, ἤδη ἐπιβραβεύομεν αὐτῇ κατὰ πατριαρχικὴν ἡμετέραν φιλοτιμίαν, ὅπως ὁ ἐν αὐτῇ κανονικῶς προκεχειρισμένος διὰ κοινῆς ἐκλογῆς ἱερώτατος μητροπολίτης Σοφίας, ἐν ἁγίῳ Πνευματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Παΐσιος, λέγηται ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑπέρτιμος καὶ ἔξαρχος Βουλγαρίας. Ἐφ' ᾧ καὶ γράφομεν διὰ τοῦ παρόντος ἡμῶν ἐκκλησιαστικοῦ πιττακίου, ὅπως ὁ διαληφθεὶς οὗτος ἱερώτατος μητροπολίτης Σοφίας, ὑπέρτιμος καὶ ἔξαρχος Βουλγαρίας, ἐν ἁγίῳ Πνεύ-

ματι ἀγαπητὸς ἀδελφὸς ἡμῶν καὶ συλλειτουργὸς κὺρ Παίσιος, ἔχῃ τοὐντεῦθεν τὴν ἐξαρχίαν ταύτην καὶ ἀπ' αὐτοῦ ἤδη ἄρχωνται καὶ οἱ διάδοχοι τῆς ἱερότητός του ἐπαπολαύειν τῆς τιμῆς ταύτης. Τοῦτο δέ, καταγραφὲν καὶ ἐν τῷ ἐκκλησιαστικῷ συνταγματίῳ, ἔχει μένειν διατηρούμενον ἐν πᾶσι τοῖς τὸ ὄνομα τῆς αὐτοῦ ἱερότητος διαλαμβάνουσιν ἐκκλησιαστικοῖς γράμμασιν. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν εὐεργετήριον γράμμα καὶ ἐδόθη τῇ αὐταῦ ἱερότητι.

,αωλ'. δεκεμβρίου α'.

Ὁ Κωνσταντινουπόλεως Κωνστάντιος ἀποφαίνεται.

XLI. 1830, декабря 10. Грамота патріарха Константія I христіанамъ Софійской епархіи по поводу прибытія новаго митрополита Паисія.

К. П. А., XVII, 55.

Κωνστάντιος κτλ.

Πρὸς τὴν ἐπαρχίαν Σοφίας.

Ὁ νέος ἡμῶν ἀρχιερεὺς καὶ γνήσιος κυριάρχης ἱερώτατος μητροπολίτης Σοφίας, ἀγαπητὸς ἡμῶν ἐν Χριστῷ ἀδελφὸς κὺρ Παΐσιος, δοὺς πέρας εἰς τὰς ὑποθέσεις τῆς νέας ἀρχιερατείας του, ἰδοὺ ἔρχεται διὰ νὰ σᾶς ἀπολαύσῃ κατὰ τὸν ἐγκάρδιον πόθον του καὶ νὰ σᾶς περιθάλψῃ πνευματικῶς, καθ' ἣν ἔχει θεοσέβειαν, φρόνησιν καὶ ζῆλον ἔνθερμον ὑπὲρ τοῦ λογικοῦ του ποιμνίου, τὸν ὁποῖον δὲν ἀμφιβάλλομεν ὅτι θέλετε ὑποδεχθῇ μετὰ πάσης πνευματικῆς χαρᾶς καὶ ἀγαλλιάσεως καὶ μὲ ὅλας τὰς ἐνδείξεις τῆς υἱικῆς ἀγάπης σας πρὸς τὴν ἱερότητα του, καὶ τῆς πραγματικῆς συνδρομῆς καὶ βοηθείας εἰς τὰς ἀνάγκας καὶ τὰ ἐπικείμενα βάρη του. Εἰς τὴν ἱερότητά του ἐνεχειρίσαμεν καὶ τὸ ἱερὸν Χάττι χουμαγιούν, ὅπερ εἴχετε προαποστείλει πρὸς ἀνανέωσιν. Τοῦτο ἡμεῖς κατὰ τὰς παρακλήσεις σας ἐνεφανίσαμεν ἔνθα ἔδει καὶ κατὰ τὴν τάξιν περιῆλθεν ὅλα τὰ καλέμια καὶ ἀνεμποδίστως ἐμπουγιουρδίσθη· μόνον δὲ παρὰ τοῦ ὑψηλοτάτου Καιμακὰμ πασᾶ ἐφένδη μας δὲν ἐμπουγιουρδίσθη, εἰπόντος ὅτι δὲν εἶναι ἀνάγκη νὰ ἀνανεωθῇ, καθότι καὶ αὐτὸ τὸ ἴδιον τὴν αὐτὴν ἰσχὺν ἔχει· καὶ μὲ ὅλον ὁποῦ ἡμεῖς ἐμεσιτεύσαμεν πρὸς τὴν ὑψηλότητά του, ὅμως μὲ λύπην μας εἴδομεν ὅτι δὲν ἐμπουγιουρδίσθη μὲ ὅλους τοὺς τρόπους τῆς ἐπιμελείας μας, καὶ διὰ τοῦτο σᾶς ἀποστέλλεται τὸ ἴδιον μπουγιουρδισμένον ἀπὸ τὰ καλέμια, ὅπου καὶ ἐξωδεύθησαν γρόσια ἑξήκοντα πέντε, πληρωθέντα παρὰ τοῦ ἀρχιερέως σας ἁγίου Σοφίας κὺρ

Παισίου, εἰς τὸν ὁποῖον θέλετε τὰ ἀποκριθῆ· ἐλπίζομεν, κατὰ τὴν εὐμενῆ δηλοποίησιν τοῦ Καιμακὰμ πασᾶ ἐφένδη μας, νὰ μὴ γίνηται τόλμη παρά τινος εἰς ἀνατροπὴν τῶν ἐν αὐτῷ βασιλικῶς ἀποφαινομένων· ἐὰν ὅμως ἤθελε καταντήσει εἰς τὸ ἑξῆς, ὥστε νὰ μὴ φυλάττωνται τὰ ὁριζόμενα, δηλαδὴ ἐὰν δὲν ἔχῃ τὴν πρέπουσαν ἰσχὺν διὰ τὴν παλαιότητά του, τότε δύνασθε νὰ γράψητε κοινὴν ἀναφοράν σας ἐνυπόγραφον καὶ νὰ τὴν ἀποστείλητε πρὸς ἡμᾶς καὶ ἐλπίζομεν τοιουτοτρόπως νὰ γένῃ ἡ ἀνανέωσις. Ταῦτα πρὸς εἰδοποίησίν σας, ἡ δὲ τοῦ Θεοῦ χάρις κτλ.

,αωλ', δεκεμβρίῳ ι'.

† Ὁ Κωνσταντινουπόλεως καὶ ἐν Χριστῷ εὐχέτης.

XLII. 1827, сентября 22 Посланіе патріарха Агаѳангела и священнаго синода новому митрополиту Аѳинъ и Левадіи киръ Григорію.

Κ. Π. Α., XVI, 90

Ἀγαθάγγελος κτλ.

Ἱερώτατε μητροπολῖτα Ἀθηνῶν καὶ Λεβαδείας, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Ἑλλάδος, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ κὺρ Γρηγόριε, χάρις εἴη τῇ φίλῃ ἡμῖν ἱερότητί σου καὶ εἰρήνη παρὰ Θεοῦ. Λαβόντες εὐμενῶς τὰ ἀρτίως σταλέντα πρὸς τὴν Ἐκκλησίαν ἀδελφικά της, ἐγχειρισθέντα ἡμῖν διὰ τῆς Ὑψηλῆς Πόρτας, εἴδομεν τὴν ἐπαγρύπνησιν καὶ ἐπιμελείαν της, ἣν ἐπεδείξατο ἀρχιεροπρεπῶς ὑπὲρ τοῦ λογικοῦ ποιμνίου της, καὶ ἐχάρημεν, ὡς εἰκός. καὶ ἐπηνέσαμεν αὐτὴν διὰ τὴν ἀξιόχρεων εἰλικρίνειάν της πρὸς τὴν κραταιὰν καὶ ἀήττητον βασιλείαν, καὶ κατεστέψαμεν αὐτὴν ταῖς συνοδικαῖς εὐφημίαις καὶ εὐχαῖς, καταγράψαντες συμφώνως καὶ συνυπογράψαντες συνοδικῶς ἐν τῷ τῶν ὑπομνημάτων ἱερῷ κώδικι καὶ γράμμα ἀθωώσεως ἀπὸ τῆς ὁπώσποτε ἐπενεχθείσης αὐτῇ ἐν τῇ ἀρχῇ τῶν περιστάσεων ἐκκλησιαστικῆς ποινῆς. Καὶ μένει λοιπὸν ἀνωτέρα ἡ φίλη ἡμῖν ἱερότης της πάσης πνευματικῆς ἐνοχῆς, συντεταγμένη τῷ ἀρχιερατικῷ ἱερῷ συλλόγῳ καὶ γνήσιον μέλος γνωριζομένη τῆς ἐκκλησιαστικῆς ὁλομελείας· οὐ μὴν δὲ ἀλλὰ πρὸς ἀμοιβὴν τῶν πιστῶν της ἐκδουλεύσεων πρός τε τὸ βασίλειον κράτος καὶ πρὸς τὴν Ἐκκλησίαν αὐτὴν καὶ ἐπ' ἐλπίδι μείζονος λογικοῦ ποιμνίου ὠφελείας, τὴν ὁποίαν θέλει κατορθώσει ἡ δεδοκιμασμένη πίστις καὶ εἰλικρίνειά της, προεβιβάσαμεν αὐτὴν ἤδη διὰ κανονικῶν ψήφων καὶ συνοδικῆς ἐκλογῆς εἰς τὸν χηρεύοντα θρόνον τῆς ἁγιωτάτης αὐτῆς μητροπόλεως Ἀθηνῶν, καὶ δι' ἱεροῦ ὑπομνήματος, ὑπογραφέντος συνοδικῶς, ἔτι δὲ καὶ δι' ὑψηλοῦ βασιλικοῦ προσκυνητοῦ μπερατίου, ἐκκλη-

σιαστικῶς δηλ. καὶ πολιτικῶς ἀνεδείξαμεν αὐτὴν γνήσιον καὶ κανονικὸν κυριάρχην τῆς ἁγιωτάτης αὐτῆς μητροπόλεως Ἀθηνῶν, ἀναδεχθέντος κανονικῶς τὴν ἐπαρχίαν Εὐρίπου τοῦ ἤδη γνησίου αὐτῆς ἀρχιερέως ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ κὺρ Ἰακώβου. Ταῦτα δηλοποιοῦντες καὶ συγχαίροντες τῇ φίλῃ ἡμῖν αὐτῆς ἱερότητι διὰ τῆς παρούσης ἡμῶν ἐκκλησιαστικῆς ἐπιστολῆς, προτρεπόμεθα ἐφεξῆς καὶ ἐντελλόμεθα αὐτῇ, ὅπως, ἀποδεχομένη εὐχαρίστως τὰ κοινῶς καὶ συνοδικῶς δεδογμένα, καὶ πειθομένη εἰς τὴν τῆς Ἐκκλησίας φωνήν, ὡς φωνὴν ἀληθῶς Κυρίου, ἀπέλθῃ πρὸς τὴν θεόθεν αὐτῇ λαχοῦσαν ταύτην ἐπαρχίαν Ἀθηνῶν καὶ ἐπιλάβηται τῆς πνευματικῆς αὐτῆς διοικήσεως καὶ ἀρχιερατικῆς ἐπισκέψεως τῶν ἐν αὐτῇ εὐλογημένων χριστιανῶν, πνευματικῶν τέκνων της, πρὸς τοὺς ὁποίους θέλει ἐπεξηγήσει κατὰ πρῶτον τὴν ἄκραν εὐσπλαγχνίαν καὶ εὐμένειαν τοῦ εὐσπλαγχνικωτάτου καὶ γαληνοτάτου ἡμῶν ἄνακτος, ὅστις ἐξευμενιζόμενος βασιλικῶς, ἐπιδαψιλεύει τὴν ἀμνηστείαν εἰς ὅλους ἐκείνους, οἵτινες ἀποπτύσαντες τὸ σατανικὸν τῆς θεοστυγοῦς ἀνταρσίας καὶ ἀποστασίας φρόνημα, ἐνηγκαλίσθησαν τὸν ἀρχαῖον ῥαγιαδικὸν χαρακτῆρα, καὶ παραστήσει τοὺς μεγαλοπρεπεῖς μουσαδέδες καὶ τὴν πρόνοιαν, ὁποῦ δείκνυσι καθ' ἑκάστην πρὸς ὅλους τοὺς πιστοὺς ῥαγιάδες του, εἰς τὸ νὰ ζῶσιν ἐν ἀνέσει καὶ ἡσυχίᾳ. Καὶ ἐπειδὴ ἀποστέλλομεν καὶ ἡμεῖς πατριαρχικὰ καὶ συνοδικὰ ἡμῶν γράμματα πρὸς τοὺς ἐκ τῶν αὐτόθι μερῶν καὶ ἐκ τῆς ἐπαρχίας της μεταμεληθέντας καὶ ἐπιστραφέντας εἰς τὴν εἰλικρινῆ ὑποταγὴν πρὸς τὸ βασίλειον κράτος τιμιωτάτους καπιτανίους καὶ λοιποὺς, συμβουλεύοντες αὐτοῖς τὰ δέοντα, ἡ ἱερότης της θέλει ἐνώσει καὶ τὰς ἐκ μέρους της κυριαρχικὰς καὶ ἀρχιερατικὰς ἀπὸ ζώσης φωνῆς παραινέσεις, ἵνα ἔτι μᾶλλον ἀποτελεσθῇ ἡ θεάρεστος καρποφορία, καὶ βαδίζωσι τοῦ λοιποῦ διὰ παντὸς τὴν εὐθεῖαν ὁδὸν τῆς πρὸς τὸ βασίλειον κράτος εἰλικρινοῦς ὑποταγῆς, ἵνα, καθὼς καὶ ἤδη, οὕτω καὶ διηνεκῶς ἀξιῶνται τῶν ἐκκλησιαστικῶν εὐχῶν καὶ εὐλογιῶν. Ἀγκαλὰ δέ, ἀγαπητὲ ἀδελφέ, ἡ τῶν προλαβουσῶν ἀπευκταίων ἐκείνων ἀνωμαλιῶν τραχύτης ἐπέφερεν οὐκ ὀλίγας κακουχίας πρὸς τὴν φίλην ἡμῖν ἱερότητά της μ' ὅλον τοῦτο ἂς δώσῃ δόξαν τῷ Θεῷ, ὁποῦ διὰ τῆς ἀνακτορικῆς προνοίας κατήντησεν αὖθις εἰς τὸν εὔδιον καὶ γαλήνιον λιμένα, κατὰ τὴν ἔφεσιν τῆς εἰλικρινοῦς ψυχῆς της· μὴ διαλείπῃ δὲ γράφουσα τοῦ λοιποῦ καὶ πρὸς τὴν κοινὴν μητέρα ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν περὶ πάσης καὶ παντοίας αὐτῆς ὑποθέσεως, ἵνα λαμβάνῃ τὸ προσῆκον πέρας κατὰ τὸ εὐλογοφανές, πρὸ πάντων δὲ χαροποιοῦσα ἡμᾶς τῇ δηλώσει τῆς ἀγαθῆς της ὑγείας, ἣν καὶ δώῃ αὐτῇ ἀμετάπτωτον διὰ βίου ὁ Κύριος μετὰ τῶν σωτηριωδῶν αἰτημάτων, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετ' αὐτῆς.

,αωκζ', σεπτεμβρίου κβ'.

† Ὁ Κωνσταντινουπόλεως καὶ ἐν Χριστῷ ἀδελφός.

Ὁ Ἡρακλείας Ἰγνάτιος καὶ ἐν Χριστῷ ἀδελφός — Ὁ Κυζίκου Ματθαῖος — Ὁ Νικομηδείας Πανάρετος — Ὁ Χαλκηδόνος Ζαχαρίας — Ὁ Τορνόβου Κωνστάντιος — Ὁ Ἀμασείας Νεόφυτος.

Ἀδελφὲ ἐν Χριστῷ ἡμῖν περισπούδαστε, ἀνδρίζου τῇ θείᾳ συνάρσει καὶ κατευοδοῦ πρὸς πιστὴν δούλευσιν τῆς παρὰ τοῦ Ὑψίστου διορισθείσης ἐφ' ἡμῖν κραταιᾶς βασιλείας. Τὸν ἀδελφὸν ἅγιον Εὐρίπου, ὡσαύτως καὶ τὸν μετ' ὀλίγον ἐλευσόμενον Θηβῶν, θέλεις ὁδηγήσει καθ' ὅλα τὰ ἐπωφελῆ καὶ συντείνοντα· μὴ λείπῃς δὲ πρὸ πάντων νὰ γράφῃς συνεχῶς πρὸς ἡμᾶς περὶ πάντων τῶν αὐτόθι. Τῇ στέλλονται καὶ 86 γράμματα συμβουλευτικὰ τύπῳ ἐκδεδομένα διὰ νὰ τὰ διαπορθμεύσῃς, οἷς ἂν δυνηθῇς τρόποις, ὅπου δεῖ.

XLIII. 1834, мая 1. Документъ о дворцовыхъ долгахъ Греческихъ епархій.

К П. А., DCXLI, 61.

Τὸ δοθὲν ἔγγραφον περὶ τῶν αὐλικῶν χρεῶν τῶν ἑλληνικῶν ἐπαρχιῶν. 1834, μαΐου 1.

Μία κάσσα ἁπασῶν τῶν ὑπὸ τὸν οἰκουμενικὸν θρόνον μητροπόλεων εὑρέθη συστημένη ἐν Κωνσταντινουπόλει, ὑπὸ τὴν διοίκησιν τοῦ κατὰ καιροὺς πατριάρχου, ἡ ὁποία ἐξηκολούθει ἀνέκαθεν νὰ πληρώνῃ ἐτησίως τὰ τεταγμένα δοσίματα τῶν ἀρχιερέων εἰς τὸ βασιλικὸν μιρί, καθὼς καὶ νὰ ἀναδέχηται προχείρως καὶ νὰ ἐξοικονομῇ ἐν διαφόροις περιστάσεσιν ἐκτάκτους τινὰς δόσεις, ἐπὶ συντηρήσει τῶν προνομίων τοῦ κλήρου καὶ ἐπὶ ἀνέσει πολλάκις τῶν ἐν ταῖς ἐπαρχίαις ὀρθοδόξων ὁμογενῶν. Ἡ κάσσα αὕτη μὴ ἔχουσα ἀναλόγους προσόδους, ἠναγκάζετο ἀπὸ καιροῦ εἰς καιρὸν νὰ καταφεύγῃ εἰς δάνεια, τὰ ὁποῖα ἐλαμβάνοντο ἀείποτε εἰς βάρος τῶν μητροπόλεων, καὶ ἕκαστος τῶν ἀρχιερέων, ἀναδεχόμενος μέρος ἀνάλογον, ὑπεχρεοῦτο νὰ ἐκδίδῃ ὁμολογίας διὰ χρείαν τῆς ἐπαρχίας του, ἐπὶ συμφωνίᾳ νὰ πληρώνῃ αὐτὸς ἐκ τῶν εἰσοδημάτων του τοὺς ἐτησίους τόκους· τὸ δὲ κεφάλαιον τοῦ τοιούτου χρέους διαδέχετο ἀλληλοδιαδόχως ὁ ἀρχιερεὺς ἑκάστης ἐπαρχίας, ὥστε κατὰ τὸ 1821 ἔτος, ὅτε ἐγένετο ἡ ἑλληνικὴ ῥῆξις, τὰ χρέη ταῦτα ἁπασῶν τῶν ἐπαρχιῶν εἶχον συμποσωθῇ ὁμοῦ εἰς γρόσια ἓξ μιλλιούνια περίπου, ἐξ ὧν τὰ γρόσια 1120724 εὑρέθησαν τότε εἰς βαρος τῶν μητροπόλεων καὶ ἐπισκοπῶν Ἑλλάδος, καθὼς φαίνεται εἰς τὴν ἐπισυναπτομένην ἐνταῦθα σημείωσιν. Καὶ ἐπειδὴ αἱ διαληφθεῖσαι μητρο-

πόλεις τῆς Ἑλλάδος ἔπαυσαν διὰ μιᾶς τότε ἀπὸ τοῦ νὰ πέμπωσιν εἰς Κων/πολιν, ὅπου περιεφέροντο αἱ χρεωστικαὶ ὁμολογίαι, τὰ χρονικὰ διάφορα, διὰ τοῦτο, ἐκ τῶν ἐχόντων τὰς ὁμολογίας, ὅσοι ἐδυνήθησαν, ἐπιτεθέντες εἰς τὴν Ἐκκλησίαν, ἔλαβον ἐν τῇ ἀνωμαλίᾳ ἐκείνῃ τὰ κεφάλαια παρὰ τῆς κάσσης τοῦ κοινοῦ, οἱ δὲ λοιποί, εἰς χεῖρας τῶν ὁποίων σώζονται τοιαῦται ὁμολογίαι, διευθυνόμενοι πρὸς τὴν Ἐκκλησίαν, ἐξαιτοῦνται προστασίαν εἰς τὸ νὰ λάβωσι τὰ δίκαιά των ὁμοῦ μὲ δεκατετραετῆ τόκον. Ἡ Ἐκκλησία ἐκτὸς τούτων, παριστῶσα, ὅτι ἐν τῇ ἐποχῇ ἐκείνῃ, καθ' ἣν αἱ ἑλληνικαὶ μητροπόλεις ἔπαυσαν ἀπὸ τοῦ νὰ θεωρῶνται κατὰ τὸ χρηματικὸν ὡς μέλη τῆς ῥηθείσης κοινῆς κάσσης τῶν ἀρχιερέων, ἡ κάσσα αὕτη εὑρέθη ἔχουσα χρέος μὲ τὴν κοινὴν σφραγῖδα γρόσια 1237605, ἔχει δικαίωμα νὰ ζητήσῃ παρὰ τοῦ ἑλληνικοῦ κράτους ἀποζημίωσιν ἐκ τοῦ χρέους τούτου, ὅσον ὀηλονότι ἐδύνατο νὰ ἀναλογισθῇ εἰς τὰς ἀποσπασθείσας ἐκ τῆς κοινότητος αὐτῆς μητροπόλεις καὶ ἐπισκοπάς.

XLIV'. 1834. Списокъ дворцовыхъ долговъ каждой митрополіи и епископіи Греческаго королевства.

Κ. Π. Α., DCXLI, 62.

Σημείωσις τῶν αὐλικῶν χρεῶν ἑκάστης μητροπόλεως καὶ ἐπισκοπῆς τοῦ Ἑλληνικοῦ Κράτους.

Τῆς Πελοποννήσου

Γρόσια	80000		Κορίνθου.
»	6000		Δαμαλῶν.
»	36600		Μονεμβασίας.
»	9000		Κερνίκης
»	6100		Κορώνης.
»	16000		Μεθώνης.
»		153700	
»	38250		Λακεδαιμονίας.
»	5000		Καρυουπόλεως.
»	12000		Βρεσθένης
»	60000		Τριπολιτζᾶς.
»	35700		Χριστιανουπόλεως.
»	40000		Ναυπλίου.
»		190950	
»	29894		Ὠλένης.
»	22500		Ῥέοντος.

Γρόσια	3500		Ζαρνάτας καὶ Ἀκώβων.
»	5000		Μαίνης.
»	18250		Δημητζάνης.
»	54500		Παλαιῶν Πατρῶν.
»	4000		Ἀνδρούσης.
»	9350		Ἔλους.
»		146994	
	67500		Ἀθηνῶν.
	6000		Ταλαντίου.
	1300		Σκύρου.
	36000		Σόλωνος.
	24851		Λητζᾶς καὶ Ἀγράφων.
	12898		Σκιάθου καὶ Σκοπέλου.
	6988		Ῥαδοβιζδίου.
»		155537	
»	39543		Λοιδωρικίου.
	26500		Θαυμακοῦ.
»	48200		Ζητουνίου.
»	25000		Νέων Πατρῶν.
»	45000		Θηβῶν.
»	31950		Εὐρίπου.
»		216193	
»		70000	μέρος χρέους τῆς ἐπαρχίας Ἄρτης.
		933374	

Τοῦ Αἰγαίου Πελάγους.

Γρόσια	34000		Παροναξίας.
»	34950		Σίφνου.
»	32600		Ἄνδρου.
»	7800		Τζιᾶς.
»	28000		Σαντορίνης.
»	20000		Τήνου.
»	30000		Αἰγίνης.
		187350	
		1120724	ἓν μιλλιούνιον καὶ ἑκατὸν εἴκοσι χιλιάδες καὶ ἑπτακόσια εἴκοσι τέσσαρα.

Σύνοψις τῶν ζητουμένων.

Γρόσια	1120724	τὰ κεφάλαια

Γρόσια	1569008	τόκοι 14 χρόνων.
»	240000	ἀνάλογον ἐκ τοῦ χρέους τοῦ Κοινοῦ
»	336000	τόκοι αὐτῶν 14 ἐτῶν
	3265732	

1835, ἰουνίου 12 ἐδόθη ἀντίγραφον τῇ παναγιότητί του.

XLV. 1835, май. Грамота патріарха Константія II о возвышеніи митрополіи Преспъ и Лихнидъ въ Синтагматіонѣ епархіи Константинопольской церкви.

К. П. А., XVIII, 54.

Γράμμα προβιβασμοῦ τῆς μητροπόλεως Πρεσπῶν καὶ Λυχνιδῶν ἐν τῷ Συνταγματίῳ.

Ἀλλήλοις μὲν ἴσους πρὸς τὴν τοῦ μυστηρίου ὑπερφυᾶ δύναμιν πάντας τοὺς ἀρχιερεῖς ἡ ἁγία ἡμῶν Ἐκκλησία παραδίδωσι, καὶ τῷ μὲν πλεῖον, τῷ δ' ἔλαττον μετεῖναι τῆς ἁγίας ταύτης δυνάμεως, οὐκ ἄν τις εὐσεβῶς οὔτε εἴποι, οὔτε φρονήσειεν. Οἱ μέντοι θεῖοι καὶ ἱεροὶ πατέρες τῶν σφῶν ἐπιμελούμενοι διαδόχων, ὅπως μηδ' ὁτιοῦν αὐτοὺς ἀπεχθανομένους ἀλλήλοις παρέξωνται, ὅριά τε διηγόρευσαν καὶ βαθμοὺς καὶ τάξεις ἔθηκαν, καθ' ἃς πρὸς ἀλλήλους προσενεχθήσονται. Ἀλλὰ τὸ μὲν τῆς ὑπερφυοῦς δυνάμεως θεῖον, ἀεὶ ὡσαύτως ἔχον πρόσεστι τοῖς ἀρχιερεῦσιν, αἱ δὲ τάξεις καὶ οἱ βαθμοὶ ἀνθρώπινα, καὶ ἄλλοτε ἄλλως μεταβαλλόμενα καθορᾶται τοῖς πάλαι τε καὶ τοῖς ἔπειτα χρόνοις διὰ τοὺς ἐνοικοῦντας χριστιανοὺς ἢ τοὺς προϊσταμένους ἀρχιερεῖς, καὶ πολλὰ περὶ τούτου πρόκειται τὰ παραδείγματα εἴ τις τὰς ἀρχαίας τε καὶ τὰς καθ' ἡμᾶς ἐπέλθοι διατυπώσεις. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ ἤδη γνήσιος καὶ κανονικὸς ἀρχιερεὺς καὶ κυριάρχης τῆς μητροπόλεως Πρεσπῶν, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Καλλίνικος, ἀνὴρ θεοσεβὴς καὶ προτερήμασιν ἀρχιεροπρεπέσι κομῶν, ἐπὶ ἔτη οὐκ ὀλίγα προϊστάμενος αὐτῆς πνευματικῶς, εὐάρεστος ἀνεφάνη πρός τε τὴν Ἐκκλησίαν διὰ τῆς ἀπαρεγκλίτου ὑποταγῆς αὐτοῦ καὶ θερμῆς καὶ εἰλικρινοῦς ἐκδουλεύσεως, καὶ τῆς διατηρήσεως ἁπάντων τῶν εἰς αὐτὴν καθηκόντων, καὶ πρὸς τὸ ὑπὸ τὴν πνευματικὴν αὐτοῦ προστασίαν διατελοῦν λογικὸν ποίμνιον, ὠφελήσας αὐτὸ πολυειδῶς καὶ ζήλῳ ἀρχιεροπρεπεῖ ὑπερασπισάμενος καὶ τὴν ψυχὴν αὐτοῦ θεὶς ὡς εὐαγγελικὸς ποιμήν, διὰ ταῦτα ἔγνωμεν τὴν ἐπαρχίαν αὐτοῦ καὶ μητρόπολιν ταύτην προτάξαι ἄλλων τινῶν, ἅτε, πρὸς τοῖς λοιποῖς, εὐσεβεῖ λαῷ κομῶσαν, τιμῆσαί τε τὴν αὐτοῦ ἱερότητα κατὰ φιλοτιμίαν ἐκκλησιαστικήν, ὥστε ἔχειν τοῦ λοιποῦ τὴν τάξιν ἀμέσως μετὰ τὸν Μελενίκου, οὐ καινοτομοῦντες, ἀλλ' ἀρχαῖον ἔθος ἐκκλησιαστικὸν

φυλάττοντες. Τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ὁ εἰρημένος ἱερώτατος μητροπολίτης Πρεσπῶν καὶ Λυχνιδῶν, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Καλλίνικος, ἔχῃ τοῦ λοιποῦ τὴν στάσιν καὶ ἕδραν ἀμέσως μετὰ τὸν Μελενίκου, καὶ προκαθέζηται τῶν ἄλλων μετὰ τὸν βαθμὸν τοῦτον μητροπολιτῶν ἐν ταῖς ἐκκλησιαστικαῖς συνελεύσεσι καὶ χοροστασίαις, ὁπόταν ἐνδημῶν τύχῃ εἰς βασιλεύουσαν. Τοῦτο δὲ καὶ τοῖς διαδόχοις αὐτοῦ διατηρηθήσεται, ἀρχομένοις ἀπὸ τῆς αὐτοῦ ἱερότητος ἐπαπολαύειν τῆς τιμῆς ταύτης. Ὅθεν ἀπελύθη καὶ τὸ παρὸν τῆς ἐκκλησιαστικῆς φιλοτιμίας παραστατικὸν καὶ ἀποφαντικὸν γράμμα εἰς διηνεκῆ ἔνδειξιν καὶ παράστασιν.

,αωλε', κατὰ μῆνα μάιον.

Ὁ πατριάρχης Κωνστάντιος ἀποφαίνεται.

XLVI. 1835, май. Грамота патріарха Константія II о возвышеніи митрополіи Босніи и Сараева въ Синтагматіонѣ.

К. П. А., XVIII, 58.

Γράμμα προβιβασμοῦ τῆς μητροπόλεως Πόσνας καὶ Σαραγίου ἐν τῷ Συνταγματίῳ.

Ἀλλήλοις μὲν ἴσους πρὸς τὴν τοῦ μυστηρίου ὑπερφυᾶ δύναμιν πάντας τοὺς ἀρχιερεῖς ἡ ἁγία ἡμῶν Ἐκκλησία παραδίδωσι, καὶ τῷ μὲν πλεῖον, τῷ δ' ἔλαττον μετεῖναι τῆς θείας ταύτης δυνάμεως, οὐκ ἄν τις εὐσεβῶς οὔτε εἴποι, οὔτε φρονήσειεν· οἱ μέντοι θεῖοι καὶ ἱεροὶ πατέρες τῶν σφῶν ἐπιμελούμενοι διαδόχων, ὅπως μηδ' ὁτιοῦν αὐτοὺς ἀπεχθανομένους ἀλλήλοις παρέξωνται, ὁριά τε διηγόρευσαν καὶ τάξεις ἔθηκαν καὶ βαθμούς· ἀλλὰ τὸ μὲν τῆς ὑπερφυοῦς δυνάμεως θεῖον, ἀεὶ ὡσαύτως ἔχον, πρόσεστι τοῖς ἀρχιερεῦσι, τὰ δὲ ὅρια καὶ αἱ τάξεις ἀνθρώπινα, ἄλλοτε ἄλλως μεταβαλλόμενα καθορᾶται τοῖς πάλαι τε καὶ τοῖς καθ' ἡμᾶς χρόνοις διὰ τοὺς ἐνοικοῦντας χριστιανοὺς ἢ τοὺς προϊσταμένους ἀρχιερεῖς, καθάπερ ἔστιν ἰδεῖν πλεῖσθ' ὅσα τὰ παραδείγματα ἔκ τε τῶν ἀρχαίων ἐκκλησιαστικῶν διατυπώσεων καὶ τοῦ ἀνὰ χεῖρας φερομένου συνταγματίου. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ τῆς ἁγιωτάτης μητροπόλεως Πόσνας καὶ Σαραγίου ἀρχιετατικῶς προιστάμενος, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς καὶ περιπόθητος ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Βενιαμίν, ἀνὴρ τά τε ἄλλα θεοσεβὴς καὶ ἀρχιεροπρεπέσι προτερήμασι κεκοσμημένος καὶ δὴ καὶ τὴν ἐπαρχίαν ταύτην ἐπὶ ἔτη οὐκ ὀλίγα ἐπισκεπτόμενος πνευματικῶς, εὐάρεστος ἀνεφάνη πρός τε τὴν ἁγίαν τοῦ Χρι-

στοῦ Ἐκκλησίαν διὰ τῆς ἀπαρεγκλίτου αὐτοῦ ὑποταγῆς καὶ τῆς διατηρήσεως ἁπάντων τῶν εἰς αὐτὴν καθηκόντων, καὶ πρὸς τὸ ὑπὸ τὴν πνευματικὴν αὐτοῦ προστασίαν διατελοῦν λογικὸν ποίμνιον, ὠφελήσας αὐτὸ πολυειδῶς καὶ ὑπερασπισάμενος καὶ τὴν ψυχὴν αὐτοῦ θεὶς ὡς εὐαγγελικὸς ποιμήν· οὐ μὴν δὲ ἀλλὰ καὶ ἤδη ἐνδημῶν ἐνταῦθα εἰς βασιλεύουσαν, οὐ διαλείπει συντρέχων καὶ ἀγωνιζόμενος μετὰ ζήλου ἐν ταῖς ἐμπιπτούσαις ἐκκλησιαστικαῖς ὑποθέσεσι· διὰ ταῦτα ἔγνωμεν τὴν ἐπαρχίαν αὐτοῦ καὶ μητρόπολιν ταύτην προτάξαι ἄλλων τινῶν, ἅτε, πρὸς τοῖς λοιποῖς, εὐσεβεῖ κομῶσαν λαῷ, τιμῆσαί τε τὴν αὐτοῦ ἱερότητα κατὰ φιλοτιμίαν ἐκκλησιαστικήν, ὥστε ἔχειν τοῦ λοιποῦ τὴν τάξιν μετὰ τὸν Πισιδίας, οὐ καινοτομοῦντες, ἀλλ' ἔθος ἀρχαῖον ἐκκλησιαστικὸν φυλάττοντες, ὡς ἀποδέδεικται. Τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ὁ εἰρημένος ἱερώτατος μητροπολίτης Πόσνας καὶ Σεραγίου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Δαλματίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Βενιαμίν, ἔχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς τὴν ἕδραν καὶ στάσιν ἀμέσως μετὰ τὸν Πισιδίας, καὶ προκαθέζηται τῶν ἄλλων μετὰ τὸν βαθμὸν τοῦτον μητροπολιτῶν ἐν ταῖς ἐκκλησιαστικαῖς συνελεύσεσι καὶ χοροστασίαις, ὁπόταν ἐνδημῶν τύχῃ εἰς βασιλεύουσαν· τοῦτο δὲ καὶ τοῖς διαδόχοις αὐτοῦ διατηρηθήσεται, ἀρχομένοις ἀπὸ τῆς αὐτοῦ ἱερότητος ἀπολαύειν τῆς τιμῆς ταύτης τοῦ προβιβασμοῦ. Ὅθεν εἰς ἔνδειξιν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον ἐκκλησιαστικὸν καὶ ἀποφαντικὸν γράμμα.

,αωλε', κατὰ μῆνα μάιον.

Ὁ πατριάρχης Κωνσταντινουπόλεως ἀποφαίνεται.

XLVII. 1835, ноябрь. Извѣстительная грамота патріарха Григорія VI и священнаго синода о пожалованіи митрополиту Кассандріи Іакову титула „пречестнаго и экзарха Залива Термаикскаго".

К. П. А., XVIII, 83.

Γρηγόριος κτλ.

Ἀλλήλοις μὲν ἴσους πρὸς τὴν τοῦ μυστηρίου ὑπερφυᾶ δύναμιν πάντας τοὺς ἀρχιερεῖς ἡ ἁγία Ἐκκλησία παραδίδωσι καὶ τῷ μὲν πλεῖον, τῷ δ' ἔλαττον μετεῖναι τῆς θείας ταύτης δυνάμεως, οὐκ ἄν τις εὐσεβῶς οὔτε εἴποι, οὔτε φρονήσειεν· αἱ δὲ τάξεις τῶν θέσεων καὶ αἱ τῶν ὑπερτιμιῶν προσηγορίαι, ὅσαι φιλοτιμίᾳ ἐκκλησιαστικῇ φαίνονται κατὰ καιροὺς δωρούμεναι τοῖς ἀρχιερεῦσιν, οἷα ἀνθρώπινα,

*

ἄλλοτε ἄλλως διατιθέμενα καθορᾶται διὰ τοὺς ἐνοικοῦντας χριστιανοὺς ἢ τοὺς προισταμένους ἀρχιερεῖς τῶν κατὰ μέρος ἐπαρχιῶν, καὶ πολλὰ περὶ τούτων πρόκειται τὰ παραδείγματα ἐν τοῖς πάλαι τε καὶ τοῖς καθ' ἡμᾶς χρόνοις. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ τῆς ἁγιωτάτης μητροπόλεως Κασσανδρείας ἀρχιερατικῶς προϊστάμενος, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Ἰάκωβος, ἀνὴρ τά τε ἄλλα θεοσεβὴς καὶ ἀξιεπαίνοις πλεονεκτήμασι κομῶν, καὶ δὴ καὶ τὴν ἐπαρχίαν ταύτην ἐφ' ἱκανὰ ἤδη ἔτη διιθύνων καὶ ἐπισκεπτόμενος πνευματικῶς, εὐάρεστος ἀνεφάνη πρός τε τὴν Ἐκκλησίαν διὰ τῆς ἀπαρατρέπτου αὐτοῦ ὑποταγῆς καὶ τῆς διατηρήσεως ἁπάντων τῶν πρὸς αὐτὴν καθηκόντων, καὶ πρὸς τὸ λογικὸν αὐτοῦ ποίμνιον διετέλεσεν ἐπωφελής, πολυειδῶς αὐτὸ ὑπερασπισάμενος ὡς εὐαγγελικὸς ποιμήν, διὰ ταῦτα ἔγνωμεν τιμῆσαι τὴν αὐτοῦ ἱερότητα, κατὰ φιλοτιμίαν ἐκκλησιαστικήν, ἐπὶ τῷ εἶναι καὶ λέγεσθαι ὑπέρτιμον καὶ ἔξαρχον Κόλπου Θερμαικοῦ, μεταβαινούσης τῆς προσηγορίας καὶ πρὸς τοὺς διαδόχους αὐτοῦ, ἀρχομένους ἀπὸ τῆς αὐτοῦ ἱερότητος ἀπολαύειν τῆς τιμῆς ταύτης. Ἐφ' ᾧ καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτης Κασσανδρείας, ἀγαπητὸς ἡμῶν ἐν Χριστῷ ἀδελφὸς κὺρ Ἰάκωβος, καὶ οἱ μετὰ ταῦτα τὴν ἐπαρχίαν αὐτὴν διαδεξόμενοι, ἔχωσι τὸ προνόμιον τοῦ εἶναι καὶ λέγεσθαι καὶ φημίζεσθαι ὑπέρτιμοι καὶ ἔξαρχοι Κόλπου Θερμαικοῦ, παρακολουθούσης διὰ παντὸς τῆς προσηγορίας ταύτης κἂν τοῖς ἐκκλησιαστικοῖς γράμμασι, καὶ ἀδιασπάστως διαμενούσης τῆς κατὰ φιλοτιμίαν, ὡς εἴρηται, ἐκκλησιαστικὴν προστεθειμένης κλήσεως. Ὅθεν εἰς ἔνδειξιν ἐπεδόθη τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Κασσανδρείας, ὑπερτίμῳ καὶ ἐξάρχῳ Κόλπου Θερμαικοῦ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἀποφαντικὸν γράμμα.

,αωλε', κατὰ μῆνα νοέμβριον.

Ὁ πατριάρχης Κων/πόλως Γρηγόριος ἀποφαίνεται.

Ὁ Ἡρακλείας Διονύσιος — Ὁ Νικομηδείας Πανάρετος — Ὁ Χαλκηδόνος Ἱερόθεος — Ὁ Δέρκων Γερμανός — Ὁ Θεσσαλονίκης Μελέτιος — Ὁ Ἀμασείας Καλλίνικος — Ὁ Δράμας Νεόφυτος — Ὁ Διδυμοτείχου Ἀβέρκιος — Ὁ Σοφίας Παΐσιος — Ὁ Ἐρσεκίου Ἰωσήφ — Ὁ Πόσνας Ἀμβρόσιος.

XLVIII. 1836, августъ, инд. IX. Грамота патріарха Григорія VI и священнаго синода о возвышеніи митрополіи Пелагоніи въ Синтагматіонѣ.

К. П. А., XVIII, 159—160.

Γρηγόριος κτλ.

Ἀλλήλοις μὲν ἴσους πρὸς τὴν τοῦ μυστηρίου ὑπερφυᾶ δύναμιν πάντας τοὺς ἀρχιερεῖς ἡ ἁγία ἡμῶν Ἐκκλησία παραδίδωσι καὶ τῷ μὲν πλεῖον, τῷ δὲ ἔλαττον μετεῖναι τῆς θείας ταύτης δυνάμεως, οὐκ ἄν τις εὐσεβῶς οὔτε εἴποι, οὔτε φρονήσειε· τὰς μέντοι τῶν ἀρχιερατικῶν θρόνων τάξεις καὶ τοὺς βαθμοὺς τῶν κατὰ μέρος ἐπαρχιῶν, τῶν εἰς μητροπόλεις, ἀρχιεπισκοπάς τε καὶ ἐπισκοπὰς τεταγμένων, οἷα δὴ πρὸς εὐκοσμίαν καὶ εὐταξίαν ἁπλῆν συμβαλλομένας, ἄλλοτε ἄλλως μεθαρμόζειν καὶ μεταβιβάζειν εἰθισμένον τῇ ἐκκλησίᾳ καθορᾶται κατὰ τοὺς πάλαι τε καὶ τοὺς καθ' ἡμᾶς χρόνους, λόγοις δικαίοις τε καὶ εὐλόγοις· εἰ γάρ τις τὰς ἀρχαίας καὶ τὰς ὕστερον ἐπέλθοι διατυπώσεις, ἄντικρυς εἴσεται τῶν ἐπαρχιῶν, τὰς μὲν παντάπασιν ἐκλελοιπυίας, τὰς δὲ εἰς τὸ μεῖζον ἢ ἔλαττον τοῖς ὁρίοις μεταβεβλημένας, ἢ τοὐναντίον ἀπ' ἐκείνου εἰς ταῦτα μεταπεσούσας, τινὰς δὲ καὶ πολλῷ πλέον ἢ πρόσθεν τῇ λαμπρότητι προαχθείσας, πολιτικῶς τε τιμηθείσας, καὶ πληθύι κατοίκων καὶ ἀρχιερέων προϊσταμένων λόγῳ καὶ παιδείᾳ καὶ ἀρετῇ πολλῶν ἄλλων ἐπαρχιῶν ὑπερτέρας γενομένας. Οἵα τις ὑπάρχει τανῦν διατελοῦσα καὶ εἰς ἀκμὴν λαμπρότητος φθάσασα καὶ ἡ ἁγιωτάτη μητρόπολις Πελαγωνείας· πρὸς γὰρ τῷ πληθυσμῷ τῶν ἐγκατοίκων ὀρθοδόξων χριστιανῶν, ἐξ ὧν καθορῶνται πανταχοῦ λόγου ἄξιοι φιλογενεῖς καὶ φιλόμουσοι ἄνδρες, ἡ μητρόπολις αὕτη, καθέδρα οὖσα ὑπερτάτης ἡγεμονίας καὶ κέντρον τῆς πολιτικῆς κυβερνήσεως τῆς Ῥούμελης, πολλῶν ἄλλων ἀναμφιλέκτως ὑπερέχει καὶ ὑπερανίσταται τῇ εὐκλείᾳ καὶ τῇ λαμπρότητι· οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ ταύτης ἀρχιερατικῶς ἤδη προιστάμενος ἱερώτατος μητροπολίτης Πελαγωνείας, περιπόθητος ἡμῶν ἐν Χριστῷ ἀδελφὸς κὺρ Γεράσιμος, ἀνὴρ τά τε ἄλλα βαθύφρων καὶ παιδείᾳ καὶ ἀξιότητι συγκεχροτημένος, καὶ δὴ καὶ ζήλου ἀρχιερατικοῦ πρεποῦς ἔμπλεως, οὐ διέλιπεν ἐν τῷ μικρῷ διαστήματι τῆς ἐν αὐτῇ ἀρχιερατικῆς αὐτοῦ προστασίας τοῖς μὲν ἐπαρχιώταις αὐτοῦ ἐπωφελὴς τὰ μάλιστα καθιστάμενος, κοινῇ τε καὶ ἰδίᾳ συντελεστικὸς καὶ προστάτης, τῇ δὲ Ἐκκλησίᾳ εὐάρεστος καὶ ποθητὸς δι' ἐνδείξεων εἰλικρινοῦς ἀφοσιώσεως αὐτοῦ, καὶ τῇ ὑψηλῇ ἐξουσίᾳ πιστῶς καὶ προθύμως ἐκδουλεύων, καὶ κόπους ἀτρύτους καὶ πραγμάτων τύρβας ἀνεχόμενος διὰ τὴν ἄμεσον παρὰ τῇ ἡγεμονίᾳ παρουσίαν αὐτοῦ, ἔτι δὲ καὶ πολλοῖς τῶν ἐκασταχόθεν τῆς Ῥούμελης συναδέλφων ἀρχιερέων καὶ ἄλλων χριστιανῶν χρήσιμον ἑαυτὸν παρεχόμενος τῇ ἥπερ ηὐ-

μοίρησε πλουτῶν διὰ τῆς φρονήσεως καὶ εἰλικρινείας αὐτοῦ πολιτικῆ εὐνοία. Διὰ ταῦτα γοῦν ἔγνωμεν κατ' ἐκκλησιαστικὴν φιλοτιμίαν καὶ δικαιοδοσίαν ἀνάλογον τιμῆσαι τὴν μητρόπολιν ταύτην καὶ προβιβάσαι τὸν βαθμὸν αὐτῆς, ὥστε εἶναι τοῦ λοιποῦ καὶ τάττεσθαι ἀμέσως μετὰ τὴν μητρόπολιν Προύσης, καὶ ἔχειν διὰ παντὸς ἀμεταποίητον τὴν τοιαύτην τάξιν καὶ προεδρείαν. Ἐφ' ᾧ καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς κτλ., ἵνα ἡ ῥηθεῖσα ἁγιωτάτη μητρόπολις Πελαγωνείας, διὰ τοὺς ἐκτεθέντας εὐλόγους καὶ ἀναγκαίους λόγους, ὑπάρχῃ τὸ ἀπὸ τοῦδε καὶ γινώσκηται τεταγμένη ἀμέσως μετὰ τὴν ἁγιωτάτην μητρόπολιν Προύσης, καὶ ὁ ἤδη γνήσιος αὐτῆς κυριάρχης ἱερώτατος μητροπολίτης Πελαγωνείας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Γεράσιμος καὶ οἱ μετ' αὐτὸν διάδοχοι αὐτοῦ ἔχωσι τοῦ λοιποῦ τὴν στάσιν καὶ ἕδραν ἀμέσως μετὰ τὸν Προύσης, καὶ προκαθέζωνται τῶν ἄλλων μετὰ τὸν βαθμὸν τοῦτον μητροπολιτῶν ἐν ταῖς ἐκκλησιαστικαῖς συνελεύσεσι καὶ χοροστασίαις, ὁπόταν ἐνδημοῦντες τύχωσιν εἰς βασιλεύουσαν. Ὅθεν εἰς ἔνδειξιν ἀπελύθη καὶ τὸ παρὸν τῆς ἐκκλησιαστικῆς φιλοτιμίας παραστατικὸν καὶ ἀποφαντικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη τοῖς κατὰ καιρὸν μητροπολίταις τῆς ἁγιωτάτης μητροπόλεως Πελαγωνείας.

ϡωλς'.

Ἐν μηνὶ αὐγούστῳ, ἰνδικτιῶνος θ'.

Ὁ Ἡρακλείας Διονύσιος — Ὁ Κυζίκου Ἄνθιμος — Ὁ Νικομηδείας Πανάρετος — Ὁ Χαλκηδόνος Ἱερόθεος — Ὁ Προύσης Ἄνθιμος — Ὁ Ἄρτης Ἰγνάτιος — Ὁ Φιλαδελφείας Πανάρετος — Ὁ Μαρωνείας Δανιήλ — Ὁ Λήμνου Ἱερώνυμος.

XLIX. 1838, апрѣля 11. Грамота патріарха Григорія VI и священнаго синода о возведеніи архіепископіи Коса въ митрополію и о пожалованіи митрополиту Кириллу титула „пречестнаго и экзарха Кикладскихъ острововъ".

К. П. А., XVIII, 349.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ εὐεργετηρίου γράμματος γίνεται δῆλον ὅτι τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Κώου, εἰς ἣν ἀποκατέστη κανονικῶς πρὸ ὀλίγου γνήσιος καὶ νόμιμος κυριάρχης καὶ πνευματικὸς προστάτης ὁ ἤδη ἀρχιερατεύων αὐτῆς ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Κύριλλος, προηγάγομεν ἤδη κατὰ φιλοτιμίαν ἐκκλησιαστικὴν εἰς βαθμὸν μητροπόλεως καὶ ἐπεβραβεύσαμεν αὐτῇ καὶ τὸν τίτλον τῆς ὑπερτιμίας καὶ

ἐξαρχίας Κυκλάδων νήσων, ἀπιδόντες εἰς τὴν θεοσέβειαν καὶ φρόνησιν καὶ τὰ ἄλλα ἀρχιεροπρεπῆ προτερήματα τοῦ διαληφθέντος νέου ἀρχιερέως αὐτῆς, ἀφ' ὧν ἐλπίζεται σὺν Θεῷ ἡ ἀρίστη διοίκησις καὶ θεοφιλὴς ἐπίσκεψις τοῦ ἐν αὐτῇ λογικοῦ τοῦ Χριστοῦ ποιμνίου. Ἐφ' ᾧ καὶ γράφοντες ἀποφαινόμεθα ἐκκλησιαστικῶς, ἵνα ἡ ῥηθεῖσα ἐπαρχία Κώου ὑπάρχῃ τὸ ἀπὸ τοῦδε καὶ λέγηται μητρόπολις, ὥσπερ καὶ αἱ λοιπαί, αἱ τῷ ἁγιωτάτῳ πατριαρχικῷ οἰκουμενικῷ θρόνῳ ὑποκείμεναι, καὶ ὁ διαληφθεὶς γνήσιος καὶ κανονικὸς ἀρχιερεὺς αὐτῆς ἀγαπητὸς ἡμῶν ἐν Χριστῷ ἀδελφὸς κὺρ Κύριλλος, λέγηται καὶ φημίζηται ἱερώτατος μητροπολίτης Κώου, ὑπέρτιμος καὶ ἔξαρχος Κυκλάδων νήσων, καὶ ἀπ' αὐτοῦ ἄρχωνται καὶ οἱ διάδοχοι τῆς αὐτοῦ ἱερότητος ἀπολαύειν τῆς τιμῆς ταύτης. Τοῦτο δέ, καταγραφὲν ἔν τε τῷ ἐκκλησιαστικῷ κώδικι καὶ ἐν τοῖς ἀνὰ χεῖρας συνταγματίοις, ἔχει μένειν διατηρούμενον ἐν πᾶσι τοῖς τὸ ὄνομα τῆς αὐτοῦ ἱερότητος διαλαμβάνουσιν ἐκκλησιαστικοῖς γράμμασιν. Ὅθεν εἰς διηνεκῆ ἔνδειξιν ἐπεδόθη καὶ τὸ παρὸν ἐκκλησιαστικὸν εὐεργετήριον γράμμα τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Κώου, ὑπερτίμῳ καὶ ἐξάρχῳ Κυκλάδων νήσων, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Κυρίλλῳ.

,αωλη', ἀπριλίου ια'.

Ὁ Ἡρακλείας Διονύσιος — Ὁ Χαλκηδόνος Ἱερόθεος — Ὁ Δέρκων Γερμανός — Ὁ Τορνόβου Πανάρετος — Ὁ Μαρωνείας Ἰωάννης — Ὁ Κεστεντηλίου Ἀρτέμιος — Ὁ Ὀλήμνου Ἱερώνυμος — Ὁ Ῥασκοπρεσρένης Γερμανός.

L. 1838, апрѣль, инд. XI. Томъ патріарха Григорія VI и священнаго синода о присоединеніи острова Астипалеи къ епископіи Лерны.

Κ. Π. Α., XIV, 316.

Γρηγόριος κτλ.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ τῆς τομογραφίας γράμματος γίνεται δῆλον ὅτι τὴν νῆσον Ἀστυπαλιάν, ἥτις πρότερον μὲν διετέλει ὑπὸ τὴν πνευματικὴν ἐπίσκεψιν τοῦ κατὰ καιροὺς ἀρχιερέως Σίφνου, μετὰ δὲ τὴν ἀποκατάστασιν τῆς ἑλληνικῆς ἐπικρατείας, εἰς ἣν περιῆλθεν ἡ Σίφνος, διαμείνασα μόνη ἡ Ἀστυπαλιὰ εἰς τὴν βασιλικὴν ὀθωμανικὴν ἀρχήν, ἐναπελείφθη ἀμοιροῦσα καὶ ἐστερημένη ἐπισκέψεως καὶ προστασίας ἀρχιερατικῆς, ταύτην ἤδη κοινῇ καὶ συνοδικῇ προνοητικῇ διαιτήσει καὶ ἀποφάσει ἡνώσαμεν καὶ προσηλώσαμεν μετὰ τῆς γειτνιαζούσης ἁγιωτάτης ἐπισκο-

πῆς Λέρνης, ἐμπιστευσάμενοι τὴν θεοφιλῆ αὐτῆς διοίκησιν πρός τε τὸν ἤδη θεοφιλέστατον ἐπίσκοπον Λέρνης ἀγαπητὸν ἡμῶν ἐν Χριστῷ ἀδελφὸν κὺρ Ἱερεμίαν καὶ πρὸς τοὺς μετὰ ταῦτα τὴν ἐπισκοπὴν ταύτην διαδεξομένους. Ἐφ' ᾧ καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἁγιωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ ῥηθεῖσα νῆσος Ἀστυπαλιὰ ὑπάρχῃ τὸ ἀπὸ τοῦδε καὶ γνωρίζηται παρὰ πάντων ἡνωμένη τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Λέρνης καὶ διοικῆται καὶ διεξάγηται διὰ παντὸς ὑπό τε τοῦ ἤδη ἁγίου Λέρνης κὺρ Ἱερεμίου καὶ τῶν μετὰ ταῦτα τὴν ἐπισκοπὴν ταύτην διαδεξομένων, οἵτινες ἔχουσιν ἐπισκέπτεσθαι θεοφιλῶς τοὺς ἐν αὐτῇ τῇ νήσῳ εὐλογημένους χριστιανοὺς καὶ ἐκτελεῖν ἐν αὐτοῖς πάντα τὰ ἀρχιερατικὰ ὑπουργήματα, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις μέρεσι τῆς ἐπαρχίας, καρπούμενοι καὶ τὰ τεταγμένα ἀρχερατικὰ εἰσοδήματα παρὰ τῶν ἐν αὐτῇ εὐλογημένων χριστιανῶν, ἱερωμένων καὶ λαϊκῶν, γνωριζόντων αὐτοὺς διὰ παντὸς γνησίους κυριάρχας αὐτῶν καὶ τὴν ὀφειλομένην ἀπονεμόντων τιμήν, ὑποταγὴν καὶ εὐπείθειαν. Ὅθεν εἰς ἔνδειξιν διηνεκῆ ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, καταστρωθεὶς κἂν τῷ ἐκκλησιαστικῷ κώδικι, καὶ ἐδόθη τοῖς κατὰ καιροὺς ἐπισκόποις Λέρνης.

,αωλη', ἐν μηνὶ ἀπριλίῳ, ἰνδικτιῶνος ια'.

Ὁ Ἡρακλείας Διονύσιος — Ὁ Χαλκηδόνος Ἱερόθεος — Ὁ Δέρκων Γερμανός — Ὁ Τορνόβου Πανάρετος — Ὁ Μαρωνείας Ἰωαννίκιος — Ὁ Κεστεντηλίου Ἀρτέμιος — Ὁ Δήμνου Ἱερώνυμος — Ὁ Σκοπίων Γαβριήλ — Ὁ Ῥασκοπρεσρένης Γερμανός.

LI. 1837, марта 3. Посланіе патріарха Григорія VI и священнаго синода Янинскому митрополиту Іоакиму по поводу его протеста противъ возведенія Дріинопольской епископіи въ митрополію.

К. П. А., XVIII, 211.

Ἱερώτατε μητροπολῖτα Ἰωαννίνων κὺρ Ἰωακείμ κτλ.

Ἐξ ὅτου παρ' ἐλπίδα σου ἠξιώθης γενέσθαι ἐγκρατὴς τῆς ἐπαρχίας αὐτῆς, καὶ εἶδες σεαυτὸν ὑψωθέντα εἰς τὸν λαμπρὸν αὐτὸν θρόνον κατὰ ἀσύγκριτον ἐπιείκειαν καὶ εὐεργασίαν τῆς Ἐκκλησίας, ἥτις, καὶ ἐπὶ τῶν ἡμερῶν μας ἐπινεύσασα εὐμενῶς, ἔδειξε πρὸς σὲ φιλαδελφίας τρόπους δαψιλεῖς, μηδὲν προσεξετάξασα ὅπως ποτὲ καὶ ἂν ἐπροχώρησαν τὰ τῆς ἀποκαταστάσεώς σου, μ' ὅλον ὅτι ὤφειλες, συνειδὼς ταῦτα πάντα, νὰ παραστήσῃς καὶ ἡ ἱερότης σου ἄπειρον μὲν τὴν πρὸς αὐτὴν εὐγνωμοσύνην σου, ἄκραν δὲ τὴν προσοχὴν εἰς

τὰ ἀρχιερατικὰ χρέη τῆς ἀφοσιώσεώς σου καὶ εὐπειθείας, καὶ μὲ τρόπους εἰλικρινεῖς καὶ ἀνυποκρίτους, μὲ φρόνημα ἀρχιεροπρεπὲς καὶ ἀνάλογον εἰς τὸν χαρακτῆρα τοῦ θρόνου, ὃν ἐνεπιστεύθης, καὶ μὲ ἔνθερμον ζῆλον εἰς τὰ τῇ κοινῇ ταύτῃ μητρὶ συντείνοντα νὰ δείξῃς σεαυτὸν ἄξιον τῆς μητρικῆς αὐτῆς εὐνοίας καὶ τῶν ὧν ἀπήλαυσες χαρίτων καὶ συγκαταβάσεων, μ' ὅλα ταῦτα συνέλαβες ἐκ πρώτης ἀφετηρίας τὸν οὐτιδανὸν σκοπὸν τῆς πρὸς αὐτὴν τὴν εὐεργέτιδά σου ἰουδαϊκῆς ἀγνωμοσύνης καὶ ἀνταρσίας, πτέρναν κινήσας καὶ ἀντιστρατευσάμενος ἐναντίον τῆς εὐκλείας αὐτῆς, καὶ κατεξαναστὰς ἐναντίον τῆς συνοδικῆς αὐτῆς διαιτήσεως καὶ ἀποφάσεως διὰ τὴν εἰς μητρόπολιν τῆς Δρυϊνουπόλεως ἀποκατάστασιν, ἥτις ἀπὸ τοῦ καιροῦ ἔτι τῆς ἐν αὐτῇ ἀρχιερατείας σου καὶ παρὰ σοῦ τοῦ ἰδίου προτεθεῖσα, ὡς δὲν δύνασαι νὰ ἀρνηθῇς, ἔλαβε τὴν πραγματικὴν ἐκτέλεσιν ἐπὶ τοῦ προκατόχου μας, ἐν τῇ ἀποκαταστάσει τοῦ μακαρίτου Δρυϊνουπόλεως Νεοφύτου, καὶ μετὰ ταῦτα ἀναγνωρισθεῖσα ἐπεκυρώθη καὶ παρ' ἡμῶν ἐπὶ τῆς ἀρχιερατείας τοῦ ἤδη ἁγίου Δρυϊνουπόλεως, καὶ ἔλαβε πέρας καθ' ὅλην τὴν τάξιν τῆς Ἐκκλησίας. Δὲν ἔπαυσες λοιπὸν ἔκτοτε νὰ καταφέρῃσαι, πάντα λίθον κινῶν εἰς ἀνατροπὴν τῆς συνοδικῆς ταύτης πράξεως, καὶ διαταράττων τὴν Ἐκκλησίαν καὶ τὸν εἰρημένον ἀδελφόν, καὶ μὲ πεισμονὴν ἀπαραδειγμάτιστον τεκταινόμενος καὶ ῥᾳδιουργῶν τὴν ἀνυποληψίαν αὐτῆς τῆς εὐεργέτιδός σου καὶ τὴν ζημίαν καὶ βλάβην τῆς ἐκείνου ἱερότητος· καὶ μ' ὅλον ὅτι εἰς ὅλον αὐτὸ τὸ διάστημα ἡ Ἐκκλησία, ἀνοχῇ χρωμένη, προσεπάθησε παντοιοτρόπως νά σε ἀποτρέψῃ τῶν ἀνταρτικῶν κινημάτων, πρῶτον μὲν ἐλέγξασα μητρικῶς καὶ νουθετήσασα συνοδικῶς, ἐνταῦθα ἔτι ὄντα σε, ἀκολούθως δὲ γράψασά σοι ἅπαξ καὶ μετὰ ταῦτα διὰ τοῦ ἁγίου Ἄρτης καὶ διαμηνύσασα τὰ πρὸς διόρθωσίν σου, ἀλλ' ἡ ἱερότης σου οὐχι μόνον οὐδεμίαν ἔδειξας μεταμέλειαν διὰ τὰ πρῶτά σου ὕπουλα καὶ ὑποκεκρυμμένα ἐπιχειρήματα, οὔτε ἐφρόντισας νὰ ἐξιλεώσῃς τὴν δικαίαν ἀγανάκτησιν τῆς Ἐκκλησίας διὰ τὰς ἐν ἀγνοίᾳ εἴτε καὶ ἐν γνώσει συναρπαγάς σου, ἀλλὰ καί, διὰ τῶν ὑστέρων ἐπιβεβαιῶν καὶ τὰ πρότερα, ἀντιπαρετάχθης ἐκ τοῦ ἐμφανοῦς καὶ κατατοξεύεις κατὰ τῆς Ἐκκλησίας ἀνακεκαλυμμένῃ τῇ κεφαλῇ, καθὼς παρὰ πολλῶν αὐτόθεν ἀξιοπίστων ὑποκειμένων ἐβεβαιώθημεν τὰ ἐσχάτως τολμήματά σου, τὰς κρυφίας καὶ φανερὰς ὑποκινήσεις καὶ τὰς ἀνοήτους ἀγωγὰς καὶ παραλόγους προσκλαύσεις, τὰς ὁποίας ἀμέσως τε καὶ ἐμμέσως ἐνεφάνισας πρὸς τὸν ὑψηλότατον αὐτόθι πασᾶ ἐφένδην μας. Τούτων τοίνυν γνωσθέντων ἤδη συνοδικῶς μὲ οὐκ ὀλίγην αὖθις ταραχὴν ἡμῶν τε καὶ τῶν περὶ ἡμᾶς σεβασμίων γερόντων ἐνεκρίθη κοινῶς πρέπον καὶ δίκαιον καὶ ἀναγκαῖον νὰ περισταλῇ τὸ φρύαγμα τῆς ἀνηκούστου ταύτης κατὰ τῆς Ἐκκλησίας ἐπιδρομῆς σου μὲ πραγματικὰς ἐκδικήσεις, νὰ τιμωρηθῇ ἡ ἀπείθεια καὶ ἀγνωμοσύνη σου καὶ

τὸ ἀδιόρθωτον τοῦ τρόπου καὶ ἀψηφησία πρὸς τὰς ἐκκλησιαστικὰς συμβουλὰς καὶ ἐπιταγάς, καὶ ὡς μέλος σεσηπὸς καὶ κακοποιὸν νὰ ἀποκοπῇς ἀπὸ τὴν ὁλομέλειαν τῆς Ἐκκλησίας, καὶ ὡς πολέμιος τῆς ὑπολήψεως καὶ εὐκλείας καὶ ἡσυχίας της νὰ λάβῃς ταπίχειρα τῆς τοιαύτης ἀνταρσίας. Ἀλλὰ πρὸ τούτων, καθ' ὑπερβολὴν ἐπιεικείας καὶ φιλανθρωπίας, ἐνεκρίθη νὰ λάβῃς καὶ τὴν τελευταίαν ταύτην νουθεσίαν καὶ ἐπιταγήν, μεθ' ἣν ἀπροκριματίστως νὰ ἐπενεχθῇ ἡ ἀφεύκτως περιμένουσά σε ἀπότομος παιδεία. Ἐπὶ τούτῳ διευθύνομεν διὰ τοῦ συναδέλφου ἁγίου Ἄρτης καὶ τὴν παροῦσαν πατριαρχικὴν καὶ συνοδικὴν ἡμῶν ἐπιστολὴν καὶ συμβουλεύομεν καὶ ἐπιτάττομέν σε σφοδρῶς νὰ παύσῃς τοῦ νὰ ταράττῃς τὴν Ἐκκλησίαν, ἀντιτασσόμενος κατὰ τῆς ἀποφάσεως αὐτῆς ἐπὶ τῇ ἀποκαταστάσει τῆς Δρυϊνουπόλεως εἰς μητρόπολιν, ἥτις εἶναι τῶν ἀδυνάτων νὰ ἀνατραπῇ, καὶ μήτε νὰ φαντασθῇς πλέον τὴν εἰσαῦθις ὑποταγήν της, συμφρονῶν τῇ ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ κατὰ τὸ ἀπαραίτητον χρέος σου· καθότι ἐὰν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς φωραθῇ παραμικρὸν κίνημα σκευωρίας καὶ ὑπενεργείας, ἀμέσως ἢ ἐμμέσως φερόμενον πρὸς ἀνατροπὴν τῆς ἀμεταποιήτου συνοδικῆς ἐκείνης ἀποφάσεως, γίνωσκε βεβαιωτάτην καὶ τὴν παντελῆ καθαίρεσιν τῆς ἀρχιερωσύνης σου καὶ τὴν ἔξωσίν σου ἀπὸ τῆς ἐπαρχίας αὐτῆς μὲ ὑπερορίαν πικροτάτην, ὡς ἄφευκτα ἐπακόλουθα τῆς ἀπειθείας σου, μετὰ τὴν ἀπροκριματίστως παρεχομένην σοι τελευταίαν ταύτην ἐκκλησιαστικὴν ἐντολήν. Ἡ δὲ τοῦ Θεοῦ κτλ.

,αωλζ', μαρτίου γ'.

Ὁ Κωνσταντινουπόλεως ἐν Χριστῷ ἀδελφός.

Ὁ Ἐφέσου Γεράσιμος — Ὁ Ἡρακλείας Διονύσιος — Ὁ Κυζίκου Ἄνθιμος — Ὁ Νικομηδείας Πανάρετος — Ὁ Δέρκων Γερμανός — Ὁ Φιλαδελφείας Πανάρετος — Ὁ Βιζύης Κοσμᾶς.

LII. 1841, мая 22. Грамота патріарха Анѳима V и священнаго синода о личномъ возвышеніи по Синтагматіону митрополита Димитріады и Загоры киръ Мелетія.

Κ. Π. Α., XX, 242.

Ἡ μὲν τοῦ παναγίου Πνεύματος ὑπερφυὴς δύναμις τοῖς ἀρχιερεῦσιν ἐπίσης ἅπασι πρόσεστι, καὶ μήτε πλεῖον, μήτ' ἔλαττον μετεῖναί τινι τῆς θείας ταύτης δυνάμεως εὐσεβοφρόνως ἀνωμολόγηται· οἱ δὲ βαθμοὶ καὶ αἱ τάξεις, ἅτε ἀνθρώπινα, ἄλλοτε ἄλλως μεταβαλλόμενα καθορᾶται τοῖς πάλαι τε καὶ τοῖς ἔπειτα χρόνοις, καὶ πολλὰ περὶ τούτου ἐμφαίνεται παραδείγματα ἐν ταῖς ἀρχαίαις τε καὶ ταῖς νεωτέραις διατυπώσεσιν. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ ἀπὸ Γάνου καὶ

Χώρας, ἤδη ἱερώτατος μητροπολίτης Δημητριάδος, ὑπέρτιμος καὶ ἔξαρχος Πελασγῶν κὺρ Μελέτιος, ἀνὴρ θεοσεβὴς ὢν καὶ ἄξιος καὶ φρόνησιν κεκτημένος, ἄλλοις τε κεκοσμημένος ἀρχιερατικοῖς προτερήμασιν, ὅσα τὸν ἄμεμπτον ἀρχιεροπρεπῆ βίον χαρακτηρίζουσι, καὶ δὴ καὶ τῆς προτέρας αὐτοῦ ἐπαρχίας Γάνου καὶ Χώρας ἐφ' ἱκανὰ ἔτη πνευματικῶς προιστάμενος κατὰ πάντα εὐάρεστος καὶ εὐδόκιμος ἀνεφάνη πρός τε τὴν Ἐκκλησίαν διὰ τῆς ἀπαρεγκλίτου ὑποταγῆς αὐτοῦ, ὁλοψύχου τε ἀφοσιώσεως καὶ διατηρήσεως ἁπάντων τῶν πρὸς αὐτὴν καθηκόντων, καὶ πρὸς τὸ ὑπὸ τὴν πνευματικὴν αὐτοῦ προστασίαν διατελέσαν λογικὸν ποίμνιον, ὅπερ ζήλῳ ἀρχιεροπρεπεῖ ὑπερασπισάμενος καὶ εὐαγγελικῶς ποδηγετήσας, οὐκ ὀλίγον ὠφέλησε, διὰ ταῦτα, φαμέν, πάντα τὰ ἀτομικὰ ἀρχιεροπρεπῆ αὐτοῦ προτερήματα, ἔγνωμεν, κατὰ φιλοτιμίαν ἐκκλησιαστικήν, τιμῆσαι ἀτομικῶς τὴν αὐτοῦ ἱερότητα μόνον, οὐχὶ δέ καὶ τὸν θρόνον τῆς Δημητριάδος, καὶ προτάξαι ἄλλων τινῶν μητροπολιτῶν, ὥστε ἀπὸ τοῦ νῦν καὶ ἐφ' ὅσον ἂν ἡ θεία πρόνοια εὐδοκήσῃ ἀρχιερατεύειν τὴν αὐτοῦ ἱερότητα ἐν τῇ ἐπαρχίᾳ ταύτῃ Δημητριάδος, ἔχειν τὴν τάξιν, στάσιν τε καὶ ἕδραν ἀμέσως μετὰ τὸν Πελαγωνείας, οὐ καινοτομοῦντες, ἀλλ' ἔθει ἀρχαίῳ ἐκκλησιαστικῷ ἑπόμενοι, καθὰ εἴρηται. Ἐφ' ᾧ καὶ γράφοντες συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων κτλ. ἀποφαινόμεθα, ἵνα ὁ εἰρημένος ἱερώτατος μητροπολίτης Δημητριάδος κτλ. ἀπὸ τοῦ νῦν καὶ ἐφ' ὅσον ἂν ἀρχιερατεύσῃ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ Δημητριάδος, ἔχῃ τὴν στάσιν καὶ ἕδραν ἀμέσως μετὰ τὸν Πελαγωνείας, καὶ προκαθέζηται τῶν ἄλλων μετὰ τὸν βαθμὸν τοῦτον μητροπολιτῶν ἐν ταῖς ἐκκλησιαστικαῖς συνελεύσεσι καὶ χοροστασίαις, ὁπόταν ἐνδημῶν τύχῃ ἐν τῇ Βασιλευούσῃ· μετὰ δὲ τὴν ἀπὸ τῆς ἐπαρχίας ταύτης μετάθεσιν τῆς αὐτοῦ ἱερότητος, ἡ τοιαύτη προτίμησις οὐ διατηρηθήσεται, ἀλλ' ἔχει βαθμολογεῖσθαι ὁ θρόνος οὗτος τῆς Δημητριάδος κατὰ τὴν ἐν ταῖς ἤδη διατυπώσεσι τῶν ἐπαρχιῶν τάξιν. Ὅθεν εἰς ἔνδειξιν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον ἐκκλησιαστικὸν καὶ ἀποφαντικὸν γράμμα, καὶ ἐδόθη τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Δημητριάδος καὶ Ζαγορᾶς κὺρ Μελετίῳ.

,αωμα', μαίου κβ'.

Ὁ πατριάρχης Κων/πόλεως Ἄνθιμος ἀποφαίνεται.

Ὁ Ἐφέσου Ἄνθιμος — Ὁ Ἡρακλείας Διονύσιος — Ὁ Νικομηδείας Διονύσιος — Ὁ Χαλκηδόνος Ἱερόθεος — Ὁ Δέρκων Γερμανός — Ὁ Θεσσαλονίκης Μελέτιος.

LIII. 1841, іюня 1. Грамота патріарха Анѳима V и священнаго синода о возвышеніи архіепископіи Самоса и Икаріи на степень митрополіи и о пожалованіи митрополиту Парѳенію титула „пречестнаго и экзарха Кикладскихъ острововъ“.

К. II. A. XX, 245.

LXXXII. 1863, май, инд. VI. Протоколъ патріарха Іоакима II и священнаго синода о возстановленіи епископіи Лампы на островѣ Критѣ.

К. П. А., XXIX, 149—150.

Ἰωακεὶμ κτλ.

Ἐπειδὴ ἡ ἀνέκαθεν ἐπισκοπῆς τάξιν λαχοῦσα καὶ ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν Κρήτης ὑποτελοῦσα ἐπαρχία Λάμπης, καίτοι διὰ λόγους καιρικῶν περιστάσεων συνηνώθη πρὸ δέκα ὀκτὼ χρόνων τῇ μητροπόλει ταύτῃ δι' ἐκκλησιαστικῆς ἀποφάσεως, καὶ διεκυβερνᾶτο ἐν τῷ μεταξὺ χρόνῳ ὑπὸ τῶν χρηματισάντων μητροπολιτῶν Κρήτης, πρό τινος μέντοι καιροῦ γενομένης προτάσεως πρὸς τὸν ἤδη κανονικὸν ἀρχιερέα καὶ κυριάρχην τῆς μητροπόλεως ταύτης ἱερώτατον μητροπολίτην Κρήτης, ὑπέρτιμον καὶ ἔξαρχον Εὐρώπης, ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτουργὸν κὺρ Διονύσιον, παρὰ τῶν χριστιανῶν κατοίκων τῶν συγκροτούντων τὴν πάλαι ἐπισκοπὴν ταύτην μερῶν, ἤτοι τοῦ Ἀμαρίου λεγομένου καὶ τοῦ ἁγίου Βασιλείου, παραστησάντων ἰσχυροὺς καὶ εὐλόγους λόγους βελτιώσεως καὶ διορθώσεως τῶν ἕνεκα ἐλλείψεως ἰδίου αὐτῶν ἀρχιερέως παραλυθέντων πνευματικῶν καὶ ἠθικῶν αὐτῶν συμφερόντων, καὶ ἐξαιτησαμένων τὴν ἐπανάκλησιν καὶ ἀποκατάστασιν τῆς ἐπισκοπῆς καὶ τὸν διορισμὸν ἰδίου ἐν αὐτῇ ἀρχιερέως, ἡ αὐτοῦ ἱερότης διεβίβασε τῇ ἐκκλησίᾳ τὴν ἐπίμονον αἴτησιν καὶ ἔφεσιν τῶν ῥηθέντων χριστιανῶν, συστηθεῖσαν συγχρόνως καὶ μετὰ παρακλήσεων τῶν τιμιωτάτων δημογερόντων τῆς πόλεως Ἡρακλείου, ὡς τὰ μάλιστα ἀναγκαιοτάτην ἐν τῇ ἀληθῶς ἀθλίᾳ καταστάσει τῶν εἰρημένων μερῶν. Ἐπειδὴ δὲ σκέψεως γενομένης συνοδικῶς καὶ μετὰ τοῦ διαρκοῦς ἐθνικοῦ μικτοῦ συμβουλίου ἐπὶ τῆς προτάσεως τῶν εἰρημένων χριστιανῶν, ἐλήφθησαν ὑπ' ὄψιν, ὡς εἰκός, αἱ ἐκ τῆς ἀποσπάσεως τῶν μερῶν τούτων ἀναφυησόμεναι δυσχέρειαι περὶ τὸ οἰκονομικὸν μέρος, ἅτε δὴ ὁρισθέντος τέως τοῦ ποσοῦ τῆς ἀρχιερατικῆς ἐπιχορηγήσεως τῷ κατὰ καιροὺς μητροπολίτῃ Κρήτης ἐπὶ τῶν ὑπαρχουσῶν οἰκογενειῶν, κέκριται καὶ ἀπεφάνθη γενέσθαι μὲν δεκτὴν τὴν αἴτησιν πρὸς ἀποκατάστασιν τῆς ἐπισκοπῆς Λάμπης, ὑπὸ τῷ ὅρῳ μέντοι ὅπως οἱ μὲν τῶν ἐπαρχιῶν αὐτῆς κάτοικοι παραδεχθῶσι τὴν ἀπότισιν ἐτησίου ἀρχιερατικῆς ἐπιχορηγήσεως, ὅση ἂν ὁρισθείη εὐλόγως, οἱ δὲ τῆς μητροπόλεως Κρήτης γριστιανοὶ ἀναλάβωσι τὸ ὡρισμένον ἤδη ἐν τῷ Κανονισμῷ ποσὸν τῆς ἀρχιερατικῆς ἐπιχορηγήσεως, μηδεμιᾶς ἐλαττώσεως αὐτῷ προξενουμένης ὡς ἐκ τῆς ἀποσπάσεως τῶν μερῶν ἐκείνων, διὰ τὸ μὴ δύνᾶσθαι ἄλλως ἐπαρκεῖν τὸν κατὰ καιρὸν μητροπολίτην Κρήτης· ταύτην δὲ τὴν ἐκκλησιαστικὴν καὶ τοῦ ἐθνικοῦ

συμβουλίου ἔγκρισιν καὶ ἀπόφασιν, ἐγκαίρως διαβιβασθεῖσαν δι' ἐκκλησιαστικῶν γραμμάτων πρὸς τοὺς διαληφθέντας χριστιανούς, ἑκάτεροι ἀπεδέξαντο μετὰ προθυμίας καὶ ἑτοιμότητος, καὶ ὑποσχετικὰ γράμματα ἐπιτοπίως ἐγένοντο ἐπὶ κοινῆς συνελεύσεως τῶν ἐν Ἡρακλείῳ συνελθόντων ἐνώπιον τῆς αὐτοῦ ἱερότητος πληρεξουσίων ἀντιπροσώπων τῶν τε ὑπὸ τὴν δικαιοδοσίαν τῆς μητροπόλεως ὑπαγομένων μερῶν, ἤτοι τῆς πόλεως Ἡρακλείου καὶ τῶν τεσσάρων ἐπαρχιῶν, ἤτοι τοῦ Τεμένους, τοῦ Μαλεβυζίου, τοῦ Μονοφατζίου, τοῦ Καινουρίου καὶ τοῦ Πυριστίτζη, ἀναλαβόντων καὶ ὑποσχεθέντων τὴν ἀπότισιν τῆς τε ἀρχιερατικῆς ἐπιχορηγήσεως γροσίων ἑβδομήκοντα χιλιάδων, καὶ τῆς πατριαρχικῆς ἐκ γροσίων δύο χιλιάδων καὶ πεντακοσίων, καὶ τῶν τῇ ἐπισκοπῇ Λάμπης ὑπαγομένων, ἤτοι τῶν ἐπαρχιῶν τοῦ Ἀμαρίου καὶ τοῦ ἁγίου Βασιλείου, ἐπίσης παραδεξαμένων παρέχειν ἐτησίως τὴν ἐγκριθησομένην ἀρχιερατικὴν καὶ πατριαρχικὴν ἐπιχορήγησιν ἐν κοινῇ δικαίᾳ ἀναλογίᾳ ὁμοῦ μετὰ τῶν προστεθέντων ἤδη, αἰτήσει τῶν κατοίκων χριστιανῶν καὶ συγκαταθέσει τῆς αὐτοῦ ἱερότητος γειτνιαζόντων χωρίων τῆς ἐπαρχίας Σφακιῶν, ἅτινα κατωτέρω ὀνομαστὶ ἀναφέρονται. Τούτων τοίνυν οὕτως εὐμαρῶς διαιτηθέντων, καθὰ ἔγνωμεν συνοδικῶς ἀπό τε γράμματος τοῦ εἰρημένου συναδέλφου ἱερωτάτου μητροπολίτου Κρήτης κὺρ Διονυσίου, ἀποστείλαντος τῇ Ἐκκλησίᾳ καὶ ἀντίγραφα τῶν ὑποσχετικῶν γραμμάτων, καὶ ἀπὸ τῶν ἤδη συνοδικῶς ἐμφανισθέντων δύο ἀπεσταλμένων ἐκεῖθεν ἀντιπροσώπων, καὶ μηδεμιᾶς δυσχερείας ἐπιπροσθούσης τὴν διάπραξιν τῆς κοινῆς τῶν εἰρημένων χριστιανῶν αἰτήσεως, ἔτι δὲ κοινῇ γνώμῃ καὶ ἐγκρίσει τῆς τε περὶ ἡμᾶς ἱερᾶς συνόδου καὶ τοῦ διαρκοῦς ἐθνικοῦ μικτοῦ συμβουλίου προσδιορισθέντος τοῦ ποσοῦ τῆς ἐτησίου ἀρχιερατικῆς ἐπιχορηγήσεως τῷ κατὰ καιροὺς ἐπισκόπῳ Λάμπης εἰς γρόσια τριάκοντα χιλιάδας, ἀρ. 30000, καὶ τῆς πατριαρχικῆς εἰς γρόσια χίλια, ἀρ. 1000, ἔγνωμεν συνοδικῇ διαγνώσει ἀναδεῖξαι αὖθις καὶ ἐπανακαλέσαι τὴν ῥηθεῖσαν ἐπαρχίαν Λάμπης εἰς τὴν ἀρχαίαν αὐτῆς ἐπισκοπικὴν τάξιν, ὑπὸ τὴν πνευματικὴν διοίκησιν ἰδίου ἐν αὐτῇ ἀρχιερέως καὶ ἐπισκόπου κατὰ τὰ ἔκπαλαι· ἐφ' ᾧ καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα, τῆς ὁπώσποτε προγεγονυίας ἑνώσεως τῆς ῥηθείσης ἐπισκοπῆς Λάμπης μετὰ τῆς μητροπόλεως Κρήτης ἀκύρου μενούσης καὶ καταργουμένης τὸ σύνολον, ἡ ῥηθεῖσα ἐπαρχία Λάμπης ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται, ὡς ἄνωθεν καὶ ἐξ ἀρχῆς ἔλαχε διατυπωθεῖσα ἐν τῇ τῶν ἐπαρχιῶν τάξει, ἤτοι ἐπισκοπὴ ἴδιον ἔχουσα ἀρχιερέα καὶ πνευματικὸν προστάτην, ὑποκειμένη τε καὶ διατελοῦσα εἰς αἰῶνα τὸν ἅπαντα ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν Κρήτης, συγκεκροτημέ-

νη δὲ μεθ' ὧν τε ἀπ' ἀρχῆς κέκτηται ἐπαρχιῶν Ἀμαρίου καὶ ἁγίου Βασιλείου, αἷς ὑπάγονται καὶ τὰ ἐφεξῆς χωρία, ἤτοι τοῦ μὲν Ἀμαρίου, Ἄνω μέρος, Δρυαίς, Γουργούτους, Καλογέρου, Ἀποστόλους, Θρόνος, Μέρονας, Ἐλέναις, Μεσονήσια, Γερανάρι, Βρύσαις, Ἀμάρι, Ὀψαίς, Μοναστηράκι, Λαμπιώταις, Ἀποσέτι, Βυζάρι, Φουρφουρᾶς, Πλατάνια, Πισταγή, Ἡνιθαῦρι, ἅγιος Ἰωάννης, ἁγία Παρασκευή, Ἀποδούλου, Λοχριά, Κλῆμα, τοῦ δὲ ἁγίου Βασιλείου, Καψωδάσος, Σκαλωτή, Ἀργολιαίς, Ῥοδάκια, Φοινικιά, Σελιά, Μύρθια, Μαρίου, Ἀσώματος, Λευκόγια, Γιαννιού, Δρύμισκο, Κεραμές, Ἀγαλιανοῦ. Σακτούρια, Μέλαμπες, Κρια Βρύσις, Κούμια, Βρύσαις, Πλατωνιαίς, Δουμαριά, Κισσός, Ἄρδακτος, Βάτος, Ἀκούτα, Μουρνές, Σπῆλι, Δαριβιανά, Λαμπινή, Μυξόρρουμα, ἁγία Πελαγία, Κοξαρές, ἅγιος Βασίλειος, Παλαιόλουτρα, Κουσελιανά, ἅγιος Ἰωάννης, Καλὴ Σκιά, καὶ μετὰ τῶν ἤδη προσαρτηθέντων καὶ προσηλωθέντων αὐτῇ χωρίων τῆς ἐπαρχίας Σφακιῶν, ἤτοι Καλλικράτι, Ἀσκύφου, Μουρί, Ἀνώπολις Ἀράδενα, ἅγιος Ἰωάννης, ἁγία Ῥούμελη καὶ Σαμαρία, Λιβανιανά, Σφακιά, Κομητάδες, καὶ οἱ κατὰ καιροὺς ἀρχιερεῖς αὐτῆς καλῶνται καὶ ψηφίζωνται καὶ ὑπογράφωνται ἐπίσκοποι Λάμπης, ὡς τὸ πρότερον, διατηρουμένων ὑπ' αὐτῶν τῶν κανονικῶν καθηκόντων πρὸς τοὺς κατὰ καιρὸν μητροπολίτας Κρήτης, ὡς γνησίους αὐτῶν κυριάρχας, κατὰ τὰς ἐπὶ πάντων τῶν ἐπισκοπικῶν θρόνων κειμένας καὶ ἐνεργουμένας ἐκκλησιαστικὰς τάξεις, ἔχωσι δὲ ἀπολαμβάνειν ἐκτὸς τῶν κατὰ τὸν Κανονισμὸν ὡρισμένων κυρίων καὶ τυχηρῶν δικαιωμάτων, καὶ τὴν ἐγκριθεῖσαν ἤδη καὶ ἐν δικαίᾳ ἀναλογίᾳ προσδιορισθεῖσαν τοῖς ἐπαρχιώταις αὐτοῦ εὐλογημένοις χριστιανοῖς ἐτησίαν ἀρχιερατικὴν ἐπιχορήγησιν. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ὑπόμνημα καὶ κατέστρωται ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς διηνεκῆ ἔνδειξιν καὶ μόνιμον παράστασιν.

Ἐν ἔτει σωτηρίῳ ,αωξ', κατὰ μῆνα μάιον, ἐπινεμήσεως ς'.

Ὁ πατριάρχης Κων/πόλεως ἀποφαίνεται.

Ὁ Ἐφέσου Παΐσιος — Ὁ Ἡρακλείας Πανάρετος — Ὁ πρόεδρος Καρπάθου Μελέτιος — Ὁ Ἄρτης Σωφρόνιος — Ὁ Ῥασκοπρεσρένης Μελέτιος — Ὁ Γρεβενῶν Ἀγάπιος — Ὁ Σισανίου Μελέτιος — Ὁ Βελιγράδων Ἄνθιμος.

LXXXIII. 1863, май, инд. VI. Томъ патріарха Іоакима II и священнаго синода объ учрежденіи Родопольской архіепископіи.

К. П. А., XXIX, 151—153.

Ἰωακείμ κτλ.

Ὥσπερ ποίμνη ποιμένος στερουμένη τὴν ὑπὸ θηρίων βορὰν διαφυγεῖν ἀμήχανον, καὶ ναῦς δὲ κυβερνήτου χωρὶς οὐκ ἀκίνδυνος, οὕτω καὶ χριστώνυμος λαὸς ἀρχιερατικῆς προστασίας ἄμοιρος, οὔτε τῶν ἀοράτων θηρῶν, οὔτε τοῦ πνευματικοῦ κλύδωνος ἀσινής, διασωθῆναι δυνήσεται· δι' ὃ καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία ταῖς θείαις ἐντολαῖς καὶ ταῖς ἀποστολικαῖς ἑπομένη παραδόσεσιν, ἐξαίρετον ἀεὶ προνοίας δεῖγμα προτίθησιν ἀρχιερεῖς ἐγκαθιστᾶν καὶ ποιμένας πνευματικοὺς ὅπου περ ἂν γῆς ἡ νόμιμος αὐτῆς ἐνοικίασις ἐγχωρείη διικνουμένη, ὡς μηδεμίαν τῶν παροικιῶν ἀπροστάτευτον διαμένειν, κατὰ τὴν τῶν ἱερῶν κανόνων διακέλευσιν· εἰ δὲ τὸ θεῖον τῆς ἀρχιερωσύνης χρῆμα τοσοῦτον εἰς πνευματικὴν οἰκοδομὴν καὶ σωτηρίαν τῶν πιστῶν συμβάλλεται, ὥστε ἔθος ἐπικρατῆσαι τῇ Ἐκκλησίᾳ καὶ διὰ τίτλου μόνου τῶν πάλαι ἐπαρχιῶν χειροτονεῖσθαι ἀρχιερεῖς, ἀνάγκης γενομένης εἰς καταρτισμὸν τῶν χριστιανῶν, πῶς οὐκ ἀθέμιτον μὴ καθίστασθαι πνευματικοὺς ποιμένας ὅπου συστήματα καὶ χῶραι ὅλου λαοῦ χριστιανῶν ἀρχιερατικῆς ἐπισκέψεως στερίσκονται, ποικίλοις νοητοῖς καὶ αἰσθητοῖς κινδύνοις ἐκκείμενα; Ἐπειδὴ τοιγαροῦν καὶ κατὰ τὰ μέρη τῆς Λαζικῆς καλουμένης χώρας, μεταξὺ δηλονότι τῶν ἐπαρχιῶν Τραπεζοῦντος καὶ Χαλδείας, ἱκανὰ χωρία ὑπὸ χριστιανῶν ὀρθοδόξων κατοικούμενα τῆς τοιαύτης ἔλαχον πνευματικῆς στερήσεως καὶ ἀτυχίας, ὡς εἰπεῖν, μὴ ἀξιωθέντα ἀρχιερατικῆς προστασίας· καὶ γὰρ ὑπὸ τὸ ὄνομα ἐξαρχικὰ ἐξήρτηται ἀνέκαθεν ἀπὸ τῶν γειτνιαζόντων αὐτοῖς ἱερῶν ἡμετέρων πατριαρχικῶν καὶ σταυροπηγιακῶν μοναστηρίων, τὰ μὲν ἀπὸ τοῦ ἱεροῦ μοναστηρίου Σουμελᾶ, τὰ δὲ ἀπὸ τοῦ τιμίου Προδρόμου Βαζελῶν, τὰ δὲ ἀπὸ τοῦ ἁγίου Γεωργίου Περιστερεῶτα, πατέρες δὲ μοναστηριακοὶ ἐκ τῶν ἐν ταῖς μοναῖς ταύταις ἀσκουμένων ἀποστελλόμενοι εἰς τὰ ἑκάστη αὐτῶν ὑποτελοῦντα χωρία, διῴκουν διιθύνοντες πάσας τὰς ἐκκλησιαστικὰς καὶ πνευματικὰς ὑποθέσεις καὶ ἀνάγκας τῶν ἐγχωρίων χριστιανῶν· ὅτι δὲ ἡ τοιαύτη πνευματικὴ κατάστασις, φαμὲν δή, ἡ δι' ἐξάρχων διοίκησις τῶν εἰρημένων καὶ ἄλλων ἐνιαχοῦ κειμένων χωρῶν, ἐνεργουμένη ὑπὸ ἱερέων ἁπλῶς, καὶ ἀρχὴν μὲν λαβοῦσα ἐκ φιλοτιμίας τῶν κατὰ καιροὺς πατριαρχῶν καὶ ἐκ προκυψασῶν περιστάσεων, τῇ δὲ μακρᾷ συνηθείᾳ ἐπικρατήσασα, λέληθεν ἐκτρεπομένη τῶν γενικῶν θεσμῶν, οὓς οἱ ἱεροὶ κανόνες διατυποῦσιν ὑπὲρ τῆς νὐσταθείας τῶν τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς καθόλου ψυχικῆς οἰκο-

νομίας καὶ σωτηρίας τοῦ ὀρθοδόξου πληρώματος, εὔδηλον ἐκ πλείστων ὅσων ἱερῶν κανόνων, ἀποστολικῶν τε καὶ συνοδικῶν, μηδὲν μηδενὶ τῶν ἱερωμένων ἐπιτρεπόντων ἄνευ ἐπισκόπου ποιεῖν· τοῖς δέ γε μοναστηριακοῖς οὐδὲ παραχωρούντων ὅλως ἱερατικὰ ἀναλαμβάνειν ἐν τῷ κόσμῳ ὑπουργήματα, ἐν μόναις αὐτῶν καὶ μοναῖς τα τῆς ἱερωσύνης ἐκτελεῖν περιοριζομένοις· ἔν τε γὰρ τῷ ἱερῷ δ' κανόνι τῆς ἁγίας δ' οἰκουμενικῆς συνόδου ῥητῶς διαγορεύεται· τοὺς δὲ καθ' ἑκάστην πόλιν καὶ χώραν μονάζοντας ὑποτετάχθαι τῷ ἐπισκόπῳ καὶ τὴν ἡσυχίαν ἀσπάζεσθαι, καὶ προσέχειν μόνῃ τῇ νηστείᾳ καὶ τῇ προσευχῇ, ἐν οἷς τόποις ἀπετάξαντο προσκαρτεροῦντες, μήτε δὲ ἐκκλησιαστικοῖς, μήτε βιωτικοῖς παρενοχλεῖν πράγμασιν ἢ ἐπικοινωνεῖν καταλιμπάνοντες τὰ ἴδια μοναστήρια, εἰ μήποτε ἄρα ἐπιτραπεῖεν διὰ γρείαν ἀναγκαίαν ὑπὸ τοῦ τῆς πόλεως ἐπισκόπου·, καὶ ἄλλοι πλεῖστοι τῶν ἱερῶν κανόνων τὰ αὐτὰ ἀποφαίνονται περὶ τῶν ἐν μοναστηρίοις τὸν ἀπερίσπαστον καὶ μονήρη βίον προελομένων, μηδαμῶς ἐπικοινωνεῖν αὐτοὺς τοῖς ἐν τῷ κόσμῳ πράγμασιν ἐπιτρέποντες, εἰ μὴ δι' ἀνάγκην, καὶ τοῦτο τῇ τοῦ ἐπισκόπου ἀδείᾳ· ἀλλ' ἐν τῇ πνευματικῇ διοικήσει τῶν ἐξαρχικῶν εἰρημένων χωρίων πᾶν τοὐναντίον συνέβαινε προφανῶς, ὅ ἐστι στερεῖσθαι μὲν παντάπασι τοὺς χριστιανοὺς ἀρχιερατικῆς ἐπισκέψεως, εὐλογίας τε καὶ παροχῆς τῶν ἀπὸ τοῦ θείου τούτου ἀξιώματος προχεομένων πνευματικῶν δωρεῶν, ἐμπιστεύεσθαι δὲ τὰ τῆς πνευματικῆς καὶ ἠθικῆς αὐτῶν καταστάσεως πατράσιν ἁπλοϊκοῖς καὶ ἀπείροις καὶ ἀπὸ μοναζόντων καὶ τῇ ἀσκήσει προσκειμένων εἰς διοίκησιν ἐκκλησιαστικῶν πραγμάτων καθισταμένοις καὶ οἰκονομίαν ψυχῶν καὶ ἱερῶν κανόνων διατήρησιν καὶ λοιπὴν ἐν τῷ κόσμῳ δυσχέρειαν ἀναλαμβάνουσιν· ἔμελλε δ' ἄρα καὶ τοῦτο τῆς ἐγκαίρου τυχεῖν θεραπείας ἐν εὐθέτῳ ἤδη καιρῷ, ὅτε, καθὰ καὶ ἄλλων τινῶν περὶ τὰ ἐκκλησιαστικὰ πράγματα, οὕτω καὶ ταύτης τῆς καταχρηστικῆς καὶ μονονοὺ ἀντικανονικῆς συνηθείας ἡ παρείσφρυσις ἐκ πάσης ἀνάγκης καταργητέα κατεφάνη· ἐν γὰρ τῷ πρὸ τεσσάρων χρόνων καθ' ὑψηλὴν διακέλευσιν συγκροτηθέντι ἐθνικῷ προσωρινῷ συμβουλίῳ, μέλεσιν ἀρχιερατικοῖς καὶ λαϊκοῖς τῶν τὰ πρῶτα ἐν ζήλῳ θεοφιλεῖ καὶ φιλογονείᾳ καὶ πείρᾳ πραγμάτων φερόντων, σκέψις ἐγένετο καὶ περὶ τῶν κατὰ μέρος ἐξαρχιῶν, τῶν ἐκ φιλοτιμίας πατριαρχικῆς ἢ ἄλλης τινος οἰκονομίας κατὰ καιροὺς δεδωρημένων εἴτε προσώποις ἐκκλησιαστικοῖς, εἴτε εἰς ἱερὰ μοναστήρια, καὶ κοινῇ γνώμῃ καὶ πράξει ἐπισήμῳ, ὡς ἐν τοῖς Κανονισμοῖς αὐτοῦ φαίνεται, κατήργηνται αἱ τοιαῦται ἐξαρχίαι, καθορισθέντος συγχωνευθῆναι τῇ πνευματικῇ προστασίᾳ προσώπων ἀρχιερατικῶν τὰς τέως συγκροτούσας αὐτὰς χώρας. Ἔνθεν τοι ἤδη τῇ ἡμῶν μετριότητι, συνοδικῶς προκαθημένῃ καὶ συνδιασκεπτομένῃ ὅπως τὰ ὑπὸ τοῦ προσωρινοῦ ἐθνικοῦ ἐκείνου συμβουλίου λίαν

καλῶς καὶ εὐστόχως καὶ σύμφωνα τοῖς ἱεροῖς κανόσιν ἀποφανθέντα πράγματι καὶ ἀληθείᾳ εἰς ἔργον ἀχθῇ, νυξεώς τε ἅμα πολλάκις ἐν τῷ μεταξὺ γενομένης πρὸς τὴν Ἐκκλησίαν διὰ κοινῶν ἀναφορῶν καὶ θερμῶν παρακλήσεων τῶν χριστιανῶν κατοίκων τῶν εἰρημένων ἐξαρχικῶν χωρίων, εὐχαρίστως λίαν διατεθέντων ἐπὶ τῇ τοιαύτῃ βελτιώσει τῆς πνευματικῆς αὐτῶν καταστάσεως, καὶ ἴδιον ἀπολαῦσαι ἀρχιερέα ἐξαιτουμένων, οὐ μὴν δὲ ἀλλὰ καὶ δι' ἀκριβοῦς ἐξετάσεως τῆς ἐκκλησίας γνωσθέντος ὅτι τὰ περὶ ὧν ὁ λόγος χωρία οὐκ εὐάριθμα ὄντα, ὡς ἀνωτέρω ὀνομαστὶ σημειοῦνται, πληθύι τε κατοίκων εὐμοιροῦντα, ἱκανῶς ἔχουσιν εἰς διατροφὴν ἀρχιερέως καὶ ἀπόδοσιν τῆς ὁρισθησομένης αὐτοῖς ἀρχιερατικῆς ἐπιχορηγήσεως κατὰ τὸ περὶ πάντων τῶν ἁγίων ἀρχιερέων ληφθὲν μέτρον, κέκριται καὶ ἀπεφάνθη κοινῇ συνοδικῇ διαγνώσει καὶ συμφώνῳ ἐγκρίσει καὶ τοῦ διαρκοῦς ἐθνικοῦ μικτοῦ συμβουλίου ἀναδειχθῆναι πάντα τὰ χωρία ταῦτα εἰς ἐπαρχίαν ἰδίαν, ἐν τάξει ἀρχιεπισκοπῆς, ὑπὸ τὸ ὄνομα Ῥοδοπόλεως, διατελούσης ἀεὶ ὑπὸ τὸν καθ' ἡμᾶς ἁγιώτατον οἰκουμενικὸν θρόνον, ὥσπερ καὶ αἱ λοιπαὶ ἀνέκαθεν ὑποκείμεναι αὐτῷ ἐπαρχίαι, ἐκλεγῆναι δὲ ἤδη τε κανονικῶς τὸν διὰ συνοδικῆς ψηφοφορίας ἀναδειχθησόμενον συνῳδὰ τῷ Κανονισμῷ, καὶ χειροτονηθῆναι εἰς ἀρχιερέα καὶ ἀρχιεπίσκοπον τῆς ἐπαρχίας ταύτης, καὶ τοῦ λοιποῦ διενεργεῖσθαι ἐν πάσῃ χηρείᾳ αὐτῆς τὴν τοιαύτην ἀρχιερατικὴν ἀποκατάστασιν πρὸς διηνεκῆ προστασίαν καὶ ψυχικὴν ὠφέλειαν τῶν ἐπαρχιωτῶν χριστιανῶν, προσδιορισθέντος συγχρόνως ἐκκλησιαστικῇ καὶ συνοδικῇ καὶ τοῦ διαρκοῦς ἐθνικοῦ μικτοῦ συμβουλίου ἐγκρίσει καὶ γνώμῃ ποσοῦ ἐτησίας ἀρχιερατικῆς ἐπιχορηγήσεως γροσίων τριάκοντα χιλιάδων καὶ πατριαρχικῶν γροσίων χιλίων, καὶ ταύτην τὴν διὰ κοινῆς, ὡς εἴρηται, ὡρίμου διασκέψεως καὶ ἐγκρίσεως ἀποφανθεῖσαν ἱερὰν πρᾶξιν κατοχυρωθῆναι καὶ δι' ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ τόμου ἐν τῷ ἱερῷ ἐκκλησιαστικῷ κώδικι καταστρωννυμένου εἰς αἰωνίαν καὶ ἀπαράλλακτον ἐνέργειαν. Ἐφ' ᾧ καὶ γράφοντες συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ὁριζόμεθα καὶ ἀποφαινόμεθα ἐν ἁγίῳ Πνεύματι, ἵνα καταργουμένης τοῦ λοιποῦ τῆς ἐξαρχικῆς καὶ ἄλλης οἱασδήποτε προστασίας καὶ σχέσεως καὶ ἐπιμιξίας πνευματικῆς ἢ ὑλικῆς τῶν ῥηθέντων ἱερῶν μοναστηρίων ἐπὶ τοῖς γειτνιάζουσιν αὐτοῖς χωρίοις, ἀπαλλαττομένοις τὸ σύνολον τοῦ ἐξαρτᾶσθαι παρ' αὐτῶν, ἢ λέγεσθαι ὅλως ἐξαρχικὰ ἅπαντα τὰ περὶ ὧν ὁ λόγος χωρία, ἤτοι τά τε ὑποτελοῦντα μέχρι τοῦ νῦν τῷ ἱερῷ μοναστηρίῳ τῆς Ὑπεραγίας Θεοτόκου Σουμελᾶ, δηλαδὴ τὸ Ἀχανάντων, τὸ Πινατάντων, τὸ Πιστόφη, Τσακαλάντων, τὸ Κοζλαράντων, τὸ Τουρνατζάντων, τὸ Φαρναζάντων, ἡ Φτελένη, ἡ Ληβερά, τὸ Κοσπιδῆ, ἡ Δαραχανή, ἡ Ἄγουρ-

σα, τὸ Κούτουλον, τὸ Σκόπια, ἡ Σκαλίτα, ἅπαντα τὸν ἀριθμὸν δεκαπέντε, καὶ τὰ ὑποκείμενα τέως τῷ ἱερῷ μοναστηρίῳ τοῦ τιμίου Προδρόμου Βάζελῶν, ἤτοι τὸ Γιανάντων, ἡ Πόντιλα, ἡ Κρένασα, ἡ Στάμα, ἡ Κουνάκα, τὸ Χατζήκιοί, ἡ Καμπανά, ἡ Παπάρζα, ἡ Θέρσα, τὸ Χαμουρῆ, τὰ Δανιάχα, τὸ Χαβᾶ καὶ Σπέλια, τὸ Μουνταντῶν, ἡ Σανοά, τὸ Χαρτοκόπ μέγα καὶ τὸ Χαρτοκὸπ μικρόν, ἅπαντα τὸν ἀριθμὸν δεκαέξ, καὶ τὰ ὑποκείμεν ἐς δεῦρο εἰς τὸ τοῦ ἁγίου Γεωργίου Περιστερεῶτα, δηλαδὴ τὸ Βάλενα, ἡ Τζουπανοῦ, τὰ Λειβάδια, ἡ Κοτίλια, τὸ Ἀρμενή, τὸ Σειτανάντων, τὸ Μισαηλάντων τὰ Μαντρανοῦ καὶ Ῥωμανοῦ, τὸ Κουστουλάντων καὶ τὸ Κουταλᾶ, ἅπαντα τὸν ἀριθμὸν δέκα, ὑπάρχωσι τοῦ λοιποῦ καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον συνηνωμένα ὁμοῦ καὶ μίαν ἐπαρχίαν ἀποτελοῦντα, φαμὲν δή, τὴν ἤδη νέαν ἀναδειχθεῖσαν ἀρχιεπισκοπὴν Ῥοδοπόλεως, ὑποκειμένην διὰ παντὸς τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ οἰκουμενικῷ θρόνῳ, διιθυνομένην τε καὶ ἐπισκεπτομένην πνευματικῶς ὑπὸ ἀρχιερέων ἐκλεγομένων κανονικῶς παρὰ τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ πάντα τὰ τοῖς γνησίοις ἀρχιερεῦσι καὶ κυριάρχαις ἀνήκοντα προνόμια ἀπολαμβανόντων ἴσα καὶ τοῖς λοιποῖς τῶν τῷ οἰκουμενικῷ θρόνῳ ὑποτελούντων ἀρχιερέων, μετὰ τῆς ἀπολαβῆς τῆς τε ἐτησίου ἐπιχορηγήσεως, διανεμομένης ἐν δικαίᾳ ἀναλογίᾳ τοῖς ἐπαρχιώταις χριστιανοῖς, καὶ τῶν λοιπῶν κατὰ τοὺς Κανονισμοὺς ὡρισμένων δικαιωμάτων. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ παράστασιν κατέστρωται ἐν τῷδε τῷ ἐκκλησιαστικῷ κώδικι ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος.

Ἐν ἔτει σωτηρίῳ ,αωξγ', κατὰ μῆνα μάιον, ἐπινεμήσεως ς'.

Ὁ πατριάρχης Κων/πόλεως ἀποφαίνεται.

Ὁ Ἐφέσου Παΐσιος — Ὁ Ἡρακλείας Πανάρετος — Ὁ πρόεδρος Καρπάθου Μελέτιος — Ὁ Ἄρτης Σωφρόνιος — Ὁ Ἀγκύρας Μελέτιος — Ὁ Μελενίκου Διονύσιος — Ὁ Ῥασκοπρεσρένης Μελέτιος — Ὁ Γρεβενῶν Ἀγάπιος — Ὁ Σισανίου Μελέτιος — Ὁ Βελεγράδων Ἄνθιμος.

LXXXIV. 1863, іюнь, инд. VI. Грамота патріарха Іоакима II и священнаго синода о присоединеніи патріаршей экзархіи Гиромерія къ Парамиѳійской епископіи.

К. П. А., XXIX, 154—155.

Ἰωακεὶμ κτλ.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ ἀπο-

φαντικοῦ γράμματος γίνεται δῆλον, ὅτι, ἐπειδὴ μετὰ τῶν ἄλλων ἐπὶ βελτιώσει τῶν ἐκκλησιαστικῶν καὶ ἐθνικῶν ἡμῶν πραγμάτων θεσπισθέντων γενικῶν ὅρων καὶ διατάξεων τοῦ πρὸ τεσσάρων χρόνων καθ' ὑψηλὴν βούλησιν συγκροτηθέντος ἐνταῦθα ἐν Βασιλευούσῃ ἐθνικοῦ προσωρινοῦ συμβουλίου, τῶν περιεχομένων ἐν τοῖς ὑπ' αὐτοῦ συντεθεῖσι καὶ βασιλικῶς ἐπικυρωθεῖσι Κανονισμοῖς, καθωρίσθη καὶ ἡ κατάργησις ὅλων τῶν κατὰ τόπους ἐξαρχιῶν, ἐν ἀποφάσει ὅπως τὰ συγκροτοῦντα αὐτὰς μέρη καὶ χωρία συγχωνευθῶσιν ἐν τῇ γενικῇ ποιμαντορίᾳ τοῦ ἀρχιερέως τῆς γειτνιαζούσης αὐτοῖς ἐπαρχίας, συνεπείᾳ τῆς ὁροθεσίας ταύτης καὶ κατὰ τὴν διάληψιν τῶν εἰρημένων Κανονισμῶν σκεψάμενοι ἤδη συνοδικῶς ὑπὲρ τῆς ἐφαρμογῆς, ἐνεργείας τε καὶ πραγματοποιήσεως αὐτῆς, τὰ μάλιστα συντελούσης, ὡς εἰκός, εἰς κατόρθωσιν μείζονος πνευματικῆς τε καὶ ἠθικῆς ὠφελείας τοῖς τέως ὑπὸ ἐξάρχων διοικουμένοις χριστιανοῖς, ἅτε ἀξιουμένοις τοὐντεῦθεν ἀμέσου ἀρχιερατικῆς ἐπισκέψεως καὶ προστασίας, ἐνεκρίναμεν κοινῇ συνοδικῇ διαγνώσει καὶ τὴν ἐξαρχίαν Γηρομερίου, συνισταμένην ἐκ χωρίων τινῶν, ὡς φαίνονται ὀνομαστὶ κατωτέρω, τὴν μέχρι τοῦ νῦν διοικουμένην τά γε πνευματικὰ ὑπὸ τοῦ κατὰ καιρὸν ἡγουμένου τοῦ ἐκεῖ ἱεροῦ σταυροπηγιακοῦ μοναστηρίου, τιμωμένου ἐπ' ὀνόματι τῆς Κοιμήσεως τῆς Θεοτόκου, ὡς ἐξάρχου καὶ ἐπιτρόπου πατριαρχικοῦ, συνενῶσαι τῇ γειτνιαζούσῃ μετ' αὐτῆς ἐπαρχίᾳ Παραμυθίας, ἐπὶ τῷ διοικεῖσθαι καὶ διεξάγεσθαι ἀρχιερατικῶς ὑπὸ τοῦ κατὰ καιροὺς ἐπισκόπου καὶ ἀρχιερέως τῆς ἐπαρχίας ταύτης, ἧς τινος μέλη ἀναδεικνυόμενα τὸ ἀπὸ τοῦδε τὰ συγκροτοῦντα αὐτὴν χωρία, κέκριται συγχρόνως κοινῇ γνώμῃ τῆς περὶ ἡμᾶς ἱερᾶς συνόδου καὶ τοῦ διαρκοῦς ἐθνικοῦ μικτοῦ συμβουλίου συνυπαχθῆναι μετὰ τῶν λοιπῶν μερῶν τῆς ἐπαρχίας ταύτης καὶ συμπεριληφθῆναι ἐν τῇ ἀναλογίᾳ τῆς ὁρισθείσης ἀρχιερατικῆς καὶ πατριαρχικῆς ἐπιχορηγήσεως. Καὶ ταύτην τὴν διὰ κοινῆς ἐγκρίσεως καὶ γνώμης συνοδικῆς καὶ τοῦ διαρκοῦς ἐθνικοῦ μικτοῦ συμβουλίου ἀπόφασιν ἐμπεδοῦντες καὶ κατοχυροῦντες καὶ διὰ τοῦδε τοῦ πατριαρχικοῦ καὶ συνοδικοῦ ἡμῶν γράμματος, ἀποφαινόμεθα καὶ ὁριζόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα καταργουμένης τὸ σύνολον τῆς ῥηθείσης ἐξαρχίας Γηρομερίου καὶ πάσης διοικήσεως αὐτῆς ἐν γράμμασιν ἐκκλησιαστικοῖς ἢ δι' ἄλλων τρόπων χώραν λαβούσης παυομένης καὶ ἀκυρομένης, τὰ τὴν ἐξαρχίαν ταύτην ἀποτελοῦντα χωρία, ἤτοι τὸ Γηρομέρι, ἡ Πλησίβιτζα, ἡ Φανερωμένη, ἡ Σαγιάδα, ἡ Σκουπίτζα, τὸ Κάτω Ξέχωρον, τὸ Ἄνω Ξέχωρον, τὸ Ζεϊνέλ, τὸ Κόκκινο Λιθάρι, ἡ Ἀράχοβα, ἡ Κεραμνίτζα καὶ τὸ Λίμποβον, ὑπάρχωσι καὶ λέγωνται καὶ γινώσκωνται συνηνωμένα καὶ προσηλωμένα τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα

*

χρόνον μετὰ τῆς ἐπαρχίας Παραμυθίας, καὶ συγκεχωνευμένα μετὰ τῶν λοιπῶν αὐτῆς μερῶν καὶ χωρίων, καὶ μέλη αὐτῆς γνωριζόμενα, καὶ κατ' οὐδὲν ἐκείνων διαφέροντα, καὶ ἀποδίδοντα ἐτησίως τὸ ἀναλογῆσαν αὐτοῖς ποσὸν τῆς ἀρχιερατικῆς καὶ πατριαρχικῆς ἐπιχορηγήσεως, διοικῶνται δὲ καὶ διεξάγωνται ἀρχιερατικῶς ὑπό τε τοῦ ἤδη θεοφιλεστάτου ἐπισκόπου Παραμυθίας, ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Διονυσίου, καὶ τῶν μετὰ ταῦτα διαδεξομένων κανονικῶς τὴν ἐπισκοπὴν ταύτην, διατελοῦντα ἐσαεὶ ὑπὸ τὴν ἀρχιερατικὴν καὶ κυριαρχικὴν δικαιοδοσίαν αὐτῶν, οἵτινες καὶ ὀφείλουσι ποιμαίνειν εὐαγγελικῶς καὶ προίστασθαι τῶν ἐν τοῖς χωρίοις τούτοις διατελούντων ὀρθοδόξων χριστιανῶν, συντρέχειν τε καὶ ὑπερασπίζεσθαι ἐν ταῖς πνευματικαῖς καὶ ἄλλαις ἀνάγκαις αὐτῶν, ἴσα καὶ τοῖς λοιποῖς αὐτῶν ἐπαρχιώταις· ὀφείλουσι δὲ καὶ οἱ τῶν ἐξονομασθέντων χωρίων κάτοικοι χριστιανοί, ἱερωμένοι καὶ λαϊκοί, ὑπείκειν καὶ ὑποτάσσεσθαι τῇ αὐτοῦ θεοφιλίᾳ καὶ τοῖς μετὰ ταῦτα διαδόχοις αὐτοῦ, ὡς γνησίοις καὶ κανονικοῖς αὐτῶν ἀρχιερεῦσι καὶ πνευματικοῖς προστάταις καὶ κυριάρχαις, μνημονευομένου ἐν ταῖς ἱεραῖς τελεταῖς καὶ τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος, ὡς νενόμισται. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἀποφαντικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς ἔνδειξιν διηνεκῆ καὶ παράστασιν μόνιμον.

Ἐν ἔτει σωτηρίῳ ,αωξγ', κατὰ μῆνα ἰούνιον, ἐπινεμήσεως ς'.

Ὁ πατριάρχης Κων/πόλεως ἀποφαίνεται.

Ὁ Ἐφέσου Παΐσιος — Ὁ Ἡρακλείας Πανάρετος — Ὁ πρόεδρος Καρπάθου Μελέτιος — Ὁ Ἄρτης Σωφρόνιος — Ὁ Ἀγκύρας Μελέτιος — Ὁ Μελενίκου Διονύσιος — Ὁ Ῥασκοπρεσρένης Μελέτιος — Ὁ Γρεβενῶν Ἀγάπιος — Ὁ Σισανίου Μελέτιος — Ὁ Βελεγράδων Ἄνθιμος.

LXXXV. 1863, іюнь, инд. VI. Грамота патріарха Іоакима II и священнаго синода о присоединеніи патріаршей экзархіи Патмоса къ епископіи Лерны.

К. П. А., XXIX, 156—157.

Ἰωακεὶμ κτλ.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ ἀποφαντικοῦ γράμματος γίνεται δῆλον, ὅτι ἐπειδὴ κτλ. [βλ. σελ. 179], ἐνεκρίναμεν κοινῇ συνοδικῇ διαγνώσει καὶ τὴν ἐξαρχίαν τῆς νήσου Πάτ-

μου, τὴν μέχρι τοῦ νῦν διοικουμένην τά γε πνευματικὰ ὑπὸ τοῦ κατὰ καιρὸν ἡγουμένου τοῦ ἐκεῖ ἱεροῦ ἡμετέρου πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, συνενῶσαι τῇ γειτνιαζούσῃ μετ' αὐτῆς ἐπαρχίᾳ Λέρνης, ἐπὶ τῷ διοικεῖσθαι καὶ διεξάγεσθαι ἀρχιερατικῶς ὑπὸ τοῦ κατὰ καιροὺς ἐπισκόπου τῆς ἐπαρχίας ταύτης, ἧς τινος μέλος ἀναδεικνυομένη τὸ ἀπὸ τοῦδε καὶ ἡ νῆσος αὕτη μετὰ πάντων τῶν ἐν αὐτῇ χωρίων, κέκριται συγχρόνως κοινῇ γνώμῃ τῆς περὶ ἡμᾶς ἱερᾶς συνόδου κτλ. [βλ. σ. 179], ἀποφαινόμεθα καὶ ὁριζόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἐν Χριστῷ ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα καταργουμένης τὸ σύνολον τῆς ῥηθείσης ἐξαρχίας τῆς νήσου Πάτμου καὶ πάσης ἐξαρχικῆς διοικήσεως αὐτῆς ἐν γράμμασιν ἐκκλησιαστικοῖς, ἢ δι' ἄλλων τρόπων χώραν λαβούσης παυομένης καὶ ἀκυρουμένης, ἡ τὴν ἐξαρχίαν ταύτην ἀποτελοῦσα νῆσος μεθ' ἁπάντων τῶν ἐπ' αὐτῇ χωρίων ὑπάρχῃ συνηνωμένη καὶ προσηλωμένη τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον μετὰ τῆς ἐπαρχίας Λέρνης καὶ συγκεχωνευμένη μετὰ τῶν λοιπῶν αὐτῆς μερῶν καὶ χωρίων, καὶ μέλος αὐτῆς γνωριζομένη καὶ κατ' οὐδὲν ἐκείνων διαφέρουσα καὶ ἀποδίδουσα ἐτησίως τὸ ἀναλογῆσαν αὐτῇ ποσὸν τῆς ἀρχιερατικῆς καὶ πατριαρχικῆς ἐπιχορηγήσεως· διοικῆται δὲ καὶ διεξάγηται ἀρχιερατικῶς ὑπό τε τοῦ ἤδη θεοφιλεστάτου ἐπισκόπου Λέρνης, ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Ἰγνατίου καὶ τῶν μετὰ ταῦτα διαδεξομένων κανονικῶς τὴν ἐπισκοπὴν ταύτην, διατελοῦσα ἐς ἀεὶ ὑπὸ τὴν ἀρχιερατικὴν καὶ κυριαρχικὴν δικαιοδοσίαν αὐτῶν, οἵτινες καὶ ὀφείλουσι ποιμαίνειν εὐαγγελικῶς καὶ προΐστασθαι τῶν ἐν τῇ νήσῳ ταύτῃ διατελούντων ὀρθοδόξων χριστιανῶν, συντρέχειν τε καὶ ὑπερασπίζεσθαι ἐν ταῖς πνευματικαῖς καὶ ἄλλαις ἀνάγκαις αὐτῶν, ἴσα καὶ τοῖς λοιποῖς αὐτῶν ἐπαρχιώταις· ὀφείλουσι δὲ καὶ οἱ τῆς ἐξονομασθείσης νήσου κάτοικοι χριστιανοί, ἱερωμένοι καὶ λαϊκοί, ὑπείκειν καὶ ὑποτάσσεσθαι τῇ αὐτοῦ θεοφιλίᾳ καὶ τοῖς μετὰ ταῦτα διαδόχοις αὐτοῦ, ὡς γνησίοις καὶ κανονικοῖς αὐτῶν ἀρχιερεῦσι καὶ πνευματικοῖς προστάταις καὶ κυριάρχαις, μνημονευομένου ἐν ταῖς ἱεραῖς τελεταῖς καὶ τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος, ὡς νενόμισται. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἀποφαντικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς ἔνδειξιν διηνεκῆ καὶ παράστασιν μόνιμον.

Ἐν ἔτει σωτηρίῳ ,αωξ', κατὰ μῆνα ἰούνιον, ἐπινεμήσεως ς'.

Ὁ πατριάρχης Κων/πόλεως ἀποφαίνεται.

Ὁ Ἐφέσου Παΐσιος — Ὁ Ἡρακλείας Πανάρετος — Ὁ πρόεδρος Καρπάθου Μελέτιος — Ὁ Ἄρτης Σωφρόνιος — Ὁ Μελενίκου Διονύσιος — Ὁ Ῥασκοπρεσρένης Μελέτιος — Ὁ Γρεβενῶν Ἀγάπιος — Ὁ Σισανίου Μελέτιος — Ὁ Βελεγράδων Ἄνθιμος.

LXXXVI. 1864, февраль, инд. VII. Грамота патріарха Софронія III и священнаго синода о присоединеніи патріаршей экзархіи Саракинисты къ митрополіи Дріинополя и Дельвина.

К. П. А., XXIX, 158—159.

Σωφρόνιος κτλ.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ ἀποφαντικοῦ γράμματος γίνεται δῆλον ὅτι, ἐπειδὴ μετὰ τῶν ἄλλων ἐπὶ βελτιώσει τῶν ἐκκλησιαστικῶν καὶ ἐθνικῶν ἡμῶν πραγμάτων θεσπισθέντων γενικῶν ὅρων καὶ διατάξεων κτλ. . . ., ἐνεκρίθη ἤδη συνοδικῇ διαγνώσει, ἵνα καὶ τὸ χωρίον Σαρακινίστας, ὅπερ διῳκεῖτο μέχρι τοῦ νῦν τά γε πνευματικὰ ὑπὸ τοῦ κατὰ καιρὸν ἡγουμένου τοῦ ἐν τῇ ἐπαρχίᾳ Δρυινουπόλεως κειμένου ἱεροῦ ἡμετέρου πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου, τοῦ ἐπιλεγομένου Σπηλαίου, δοθείσης μάλιστα τῇ Ἐκκλησίᾳ πρὸς τοῦτο καὶ νύξεως ὑπὸ τοῦ ἱερωτάτου μητροπολίτου Δρυινουπόλεως καὶ Δελβίνου, ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Παντελεήμονος, συνενωθῇ μετὰ τῆς ἐπαρχίας ταύτης Δρυϊνουπόλεως ὡς γειτνιαζούσης, ἐπὶ τῷ διοικεῖσθαι καὶ διεξάγεσθαι ἀρχιερατικῶς ὑπὸ τοῦ κατὰ καιροὺς ἀρχιερέως τῆς ἐπαρχίας ταύτης, ἧς τινος μέλος κτλ. . . . ., ἀποφαινόμεθα καὶ ὁριζόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἐν Χριστῷ ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα, καταργουμένης τὸ σύνολον τῆς ῥηθείσης ἐξαρχίας τοῦ χωρίου Σαρακινίστας καὶ πάσης ἐξαρχικῆς διοικήσεως αὐτοῦ ἐν γράμμασιν ἐκκλησιαστικοῖς ἢ δι' ἄλλων τρόπων χώραν λαβούσης, παυομένης καὶ ἀκυρουμένης, τὸ τὴν ἐξαρχίαν ταύτην ἀποτελοῦν χωρίον ὑπάρχῃ συνηνωμένον καὶ προσηλωμένον τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον μετὰ τῆς ἐπαρχίας Δρυϊνουπόλεως καὶ συγκεχωνευμένον μετὰ τῶν λοιπῶν αὐτῆς μερῶν καὶ χωρίων, καὶ μέλος αὐτῆς γνωριζόμενον καὶ κατ' οὐδὲν ἐκείνων διαφέρον καὶ ἀποδίδον ἐτησίως τὸ ἀναλογῆσαν αὐτῷ ποσὸν τῆς ἀρχιερατικῆς καὶ πατριαρχικῆς ἐπιχορηγήσεως· διοικῆται δὲ καὶ διεξάγηται ἀρχιερατικῶς ὑπό τε τοῦ ἤδη ἱερωτάτου μητροπολίτου Δρυϊνουπόλεως καὶ Δελβίνου ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Παντελεήμονος καὶ τῶν μετὰ ταῦτα διαδεξομένων κανονικῶς τὴν ἐπαρχίαν ταύτην, διατελοῦν ἐς ἀεὶ τὴν ὑπὸ ἀρχιερατικὴν καὶ κυριαχικὴν δικαιοδοσίαν αὐτῶν, οἵτινες καὶ ὀφεί-

λουσι ποιμαίνειν εὐαγγελικῶς καὶ προΐστασθαι τῶν ἐν ἐν τῷ χωρίῳ τούτῳ διατελούντων ὀρθοδόξων χριστιανῶν, συντρέχειν τε καὶ ὑπερασπίζεσθαι κτλ. . . ., ὡς νενόμισται. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἀποφαντικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς ἔνδειξιν διηνεκῆ καὶ παράστασιν μόνιμον.

Ἐν ἔτει σωτηρίῳ ,αωξδ', κατὰ μῆνα φεβρουάριον, ἐπινεμήσεως ζ'.

Ὁ πατριάρχης Κ/πόλεως ἀποφαίνεται.

Ὁ Ἐφέσου Παίσιος — Ὁ Ἡρακλείας Πανάρετος — Ὁ πρόεδρος Καρπάθου Μελέτιος — Ὁ Μελενίκου Διονύσιος — Ὁ Ῥασκοπρεσρένης Μελέτιος — Ὁ Γρεβενῶν Ἀγάπιος — Ὁ Σισανίου Μελέτιος — Ὁ Βελεγράδων Ἄνθιμος.

LXXXVII. 1864, мартъ, инд. VII. Грамота патріарха Софронія III и священнаго синода о присоединеніи патріаршей экзархіи Мурніесъ къ Кидонійской епископіи на Критѣ.

К. П. А., XXIX, 160—161.

Σωφρόνιος κτλ.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ ἀποφαντικοῦ γράμματος γίνεται δῆλον, ὅτι κτλ. [βλ. σ. 179], ἐνεκρίθη ἤδη συνοδικῇ διαγνώσει, ἵνα καὶ τὸ χωρίον Μουρνιές, ὅπερ διῳκεῖτο μέχρι τοῦ νῦν τά γε πνευματικὰ ὑπὸ τοῦ κατὰ καιρὸν ἡγουμένου τοῦ ἐν τῇ ἐπισκοπῇ Κυδωνίας κειμένου ἱεροῦ ἡμετέρου πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου τῆς Ζωοδόχου Πηγῆς, συνενωθῇ μετὰ τῆς ἐπισκοπῆς ταύτης Κυδωνίας ὡς γειτνιαζούσης, ἐπὶ τῷ διοικεῖσθαι καὶ διεξάγεσθαι ἀρχιερατικῶς ὑπὸ τοῦ κατὰ καιροὺς ἀρχιερέως τῆς ἐπισκοπῆς ταύτης, ἧς τινος μέλος ἀναδεικνυόμενον τὸ ἀπὸ τοῦδε καὶ τὸ χωρίον τοῦτο, κέκριται συγχρόνως κοινῇ γνώμῃ τῆς περὶ ἡμᾶς ἱερᾶς συνόδου καὶ τοῦ διαρκοῦς ἐθνικοῦ μικτοῦ συμβουλίου κτλ. . . . . ἀποφαινόμεθα καὶ ὁριζόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἐν Χριστῷ ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα, καταργουμένης τὸ σύνολον τῆς ῥηθείσης ἐξαρχίας τοῦ χωρίου Μουρνιὲς καὶ πάσης ἐξαρχικῆς διοικήσεως αὐτοῦ ἐν γράμμασιν ἐκκλησιαστικοῖς ἢ δι' ἄλλων τρόπων χώραν λαβούσης, παυομένης καὶ ἀκυρουμένης, τὸ τὴν ἐξαρχίαν ταύτην ἀποτελοῦν χωρίον ὑπάρχῃ συνηνωμένον τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον μετὰ τῆς ἐπι-

σκοπῆς Κυδωνίας, καὶ συγκεχωνευμένον μετὰ τῶν λοιπῶν αὐτῆς μερῶν καὶ χωρίων καὶ μέλος αὐτῆς γνωριζόμενον καὶ κατ' οὐδὲν ἐκείνων διαφέρον, καὶ ἀποδίδον ἐτησίως τὸ ἀναλογῆσαν αὐτῷ ποσὸν τῆς ἀρχιερατικῆς καὶ πατριαρχικῆς ἐπιχορηγήσεως· διοικῆται δὲ καὶ διεξάγηται ἀρχιερατικῶς ὑπό τε τοῦ ἤδη θεοφιλεστάτου ἐπισκόπου Κυδωνίας, ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Μισαήλ, καὶ τῶν μετὰ ταῦτα διαδεξομένων κανονικῶς τὴν ἐπαρχίαν ταύτην, διατελοῦν ἐς ἀεὶ ὑπὸ τὴν ἀρχιερατικὴν δικαιοδοσίαν αὐτῶν, οἵτινες καὶ ὀφείλουσι ποιμαίνειν εὐαγγελικῶς καὶ προίστασθαι κτλ. . . ., ὡς νενόμισται. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἀποφαντικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς ἔνδειξιν διηνεκῆ καὶ παράστασιν μόνιμον.

Ἐν ἔτει σωτηρίῳ ,αωξδ', κατὰ μῆνα μάρτιον, ἐπινεμήσεως ζ'.

Ὁ πατριάρχης Κων/πόλεως ἀποφαίνεται.

Ὁ Ἐφέσου Παίσιος — Ὁ Ἡρακλείας Πανάρετος — Ὁ Μελενίκου Διονύσιος — Ὁ Ῥασκοπρεσρένης Μελέτιος — Ὁ Γρεβενῶν Ἀγάπιος — Ὁ Σισανίου Μελέτιος — Ὁ Βελεγράδων Ἄνθιμος.

LXXXVIII. 1864, мартъ, инд. VII. Грамота патріарха Софронія III и священнаго синода объ упраздненіи патріаршей экзархіи Никисіаны, Палеохорія и Корамисты и о присоединеніи ея къ Елевѳеропольской епископіи.

К. П. А., XXIX, 162—163.

Σωφρόνιος κτλ.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ ἀποφαντικοῦ γράμματος γίνεται δῆλον, ὅτι ἐπειδὴ μετὰ τῶν ἄλλων ἐπὶ βελτιώσει τῶν ἐκκλησιαστικῶν καὶ ἐθνικῶν ἡμῶν πραγμάτων κτλ. .., ἐνεκρίθη ἤδη συνοδικῇ διαγνώσει, ἵνα καὶ τὰ χωρία Νικήσιανη, Παλαιοχώριον καὶ Κορομίστας, ἅπερ διῳκοῦντο μέχρι τοῦ νῦν τά γε πνευματικὰ ὑπὸ τοῦ κατὰ καιρὸν ἡγουμένου τοῦ ἐν τῇ ἐπαρχίᾳ Δράμας κειμένου ἱεροῦ σταυροπηγιακοῦ μοναστηρίου τῆς Ὑπεραγίας Θεοτόκου, τοῦ ἐπιλεγομένου τῆς Εἰκοσιφοινίσσης, συνενωθῶσι μετὰ τῆς ἐπισκοπῆς Ἐλευθερουπόλεως ὡς γειτνιαζούσης, ἐπὶ τῷ διοικεῖσθαι καὶ διεξάγεσθαι ἀρχιερατικῶς ὑπὸ τοῦ κατὰ καιροὺς ἀρχιερέως τῆς ἐπισκοπῆς ταύτης, ἧς τινος μέλη ἀναδεικνυόμενα τὸ ἀπὸ τοῦδε καὶ τὰ χωρία ταῦτα, κέκριται συγχρόνως κοινῇ γνώμῃ κτλ. . . .,

ἀποφαινόμεθα καὶ ὁριζόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα καταργουμένης τὸ σύνολον τῆς ῥηθείσης ἐξαρχίας τῶν χωρίων Νικήσιανη, Παλαιοχωρίου καὶ Κοραμίστας, καὶ πάσης ἐξαρχικῆς διοικήσεως αὐτῶν ἐν γράμμασιν ἐκκλησιαστικοῖς ἢ δι' ἄλλων τρόπων χώραν λαβούσης, παυομένης καὶ ἀκυρουμένης, τὰ τὴν ἐξαρχίαν ταύτην ἀποτελοῦντα χωρία ὑπάρχωσι συνηνωμένα καὶ προσηλωμένα τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον μετὰ τῆς ἐπισκοπῆς Ἐλευθερουπόλεως, καὶ συγκεχωνευμένα μετὰ τῶν λοιπῶν αὐτῆς μερῶν καὶ χωρίων καὶ μέλη αὐτῆς γνωριζόμενα καὶ κατ' οὐδὲν ἐκείνων διαφέροντα, καὶ ἀποδίδοντα ἐτησίως τὸ ἀναλογῆσαν αὐτοῖς ποσὸν τῆς ἀρχιερατικῆς καὶ πατριαρχικῆς ἐπιχορηγήσεως· διοικῶνται δὲ καὶ διεξάγωνται ἀρχιερατικῶς ὑπό τε τοῦ ἤδη θεοφιλεστάτου ἐπισκόπου Ἐλευθερουπόλεως, ἀγαπητοῦ ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Μελετίου καὶ τῶν μετὰ ταῦτα διαδεξομένων κανονικῶς τὴν ἐπαρχίαν ταύτην, διατελοῦντα ἐς ἀεὶ ὑπὸ τὴν ἀρχιερατικὴν δικαιοδοσίαν αὐτῶν, οἵτινες καὶ ὀφείλουσι ποιμαίνειν κτλ. . . ., ὡς νενόμισται. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἀποφαντικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς ἔνδειξιν διηνεκῆ καὶ παράστασιν μόνιμον.

Ἐν ἔτει σωτηρίῳ ,αωξδ', κατὰ μῆνα μάρτιον, ἐπινεμήσεως ζ'.

Ὁ πατριάρχης Κων/πόλεως ἀποφαίνεται.

Ὁ Νικομηδείας Διονύσιος — Ὁ Μελενίκου Διονύσιος — Ὁ Αἴνου Γαβριήλ — Ὁ Σκοπείων Ἰωακείμ — Ὁ Δεβρῶν Γεράσιμος.

LXXXIX. 1864, декабрь, инд. VIII. Грамота патріарха Софронія III и священнаго синода объ упраздненіи патріаршей экзархіи Инополя и о присоединеніи ея къ Неокесарійской епархіи.

К. П. К., XXIX, 166—167.

Σωφρόνιος κτλ.

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ ἀποφαντικοῦ γράμματος γίνεται δῆλον ὅτι, ἐπειδὴ μετὰ τῶν ἄλλων ἐπὶ βελτιώσει τῶν ἐκκλησιαστικῶν καὶ ἐθνικῶν ἡμῶν πραγμάτων θεσπισθέντων γενικῶν ὅρων καὶ διατάξεων τοῦ πρὸ πέντε χρόνων καθ' ὑψηλὴν βούλησιν συγκροτηθέντος ἐνταῦθα ἐν Βασιλευούσῃ ἐθνικοῦ προσωρινοῦ συμβουλίου, τῶν περιεχομένων ἐν τοῖς ὑπ' αὐτοῦ συν-

τεθεῖσι καὶ βασιλικῶς ἐπικυρωθεῖσι Κανονισμοῖς, καθωρίσθη καὶ ἡ κατάργησις ὅλων τῶν κατὰ τόπους πατριαρχικῶν ἐξαρχιῶν, ἐν ἀποφάσει ὅπως τὰ συγκροτοῦντα αὐτὰς μέρη καὶ χωρία συγχωνευθῶσιν ἐν τῇ γενικῇ ποιμαντορίᾳ τοῦ ἀρχιερέως τῆς γειτνιαζούσης αὐτοῖς ἐπαρχίας, συνεπείᾳ τῆς ὁροθεσίας ταύτης καὶ κατὰ τὴν διάλειψιν τῶν εἰρημένων Κανονισμῶν, γενομένης ἐγκαίρως φροντίδος ἐκκλησιαστικῆς περὶ τῆς καταργήσεως τῶν ἁπανταχοῦ ἐξαρχιῶν, ἐνεκρίθη ἤδη συνοδικῇ διαγνώσει, ἵνα καὶ ἡ κωμόπολις Ἰνέπολις, ἥπερ διῳκεῖτο μέχρι τοῦ νῦν ἐξαρχικῶς, συνενωθῇ μετὰ τῆς μητροπόλεως Νεοκαισαρείας, ὡς γειτνιαζούσης, ἐπὶ τῷ διοικεῖσθαι καὶ διεξάγεσθαι ἀρχιερατικῶς ὑπὸ τοῦ κατὰ καιροὺς ἀρχιερέως τῆς ἐπαρχίας ταύτης, ἧς τινος μέλος ἀναδεικνυομένη τὸ ἀπὸ τοῦδε καὶ ἡ κωμόπολις αὐτη, κέκριται συγχρόνως κοινῇ γνώμῃ τῆς περὶ ἡμᾶς ἱερᾶς συνόδου καὶ τοῦ διαρκοῦς ἐθνικοῦ μικτοῦ συμβουλίου συνυπαχθῆναι μετὰ τῶν λοιπῶν μερῶν τῆς ἐπαρχίας ταύτης, καὶ συμπεριληφθῆναι ἐν τῇ ἀναλογίᾳ τῆς ἀρχιερατικῆς καὶ τῆς πατριαρχικῆς ἐπιχορηγήσεως. Καὶ ταύτην τὴν διὰ κοινῆς ἐγκρίσεως καὶ γνώμης συνοδικῆς καὶ τοῦ διαρκοῦς ἐθνικοῦ μικτοῦ συμβουλίου ἀπόφασιν ἐμπεδοῦντες καὶ κατοχυροῦντες καὶ διὰ τοῦδε τοῦ πατριαρχικοῦ ἡμῶν καὶ συνοδικοῦ γράμματος, ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα, καταργουμένης τὸ σύνολον τῆς ῥηθείσης ἐξαρχίας τῆς κωμοπόλεως Ἰνεπόλεως καὶ πάσης ἐξαρχικῆς διοικήσεως αὐτῆς ἐν γράμμασιν ἐκκλησιαστικοῖς ἢ δι' ἄλλων τρόπων χώραν λαβούσης, παυομένης καὶ ἀκυρουμένης, ἡ τὴν ἐξαρχίαν ταύτην ἀποτελοῦσα κωμόπολις ὑπάρχῃ συνηνωμένη καὶ προσηλωμένη τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον μετὰ τῆς ἐπαρχίας Νεοκαισαρείας, καὶ συγκεχωνευμένη μετὰ τῶν λοιπῶν αὐτῆς μερῶν καὶ χωρίων, καὶ μέλος αὐτῆς γνωριζομένη, καὶ κατ' οὐδὲν ἐκείνων διαφέρουσα, καὶ ἀποδίδουσα ἐτησίως τὸ ἀναλογῆσαν αὐτῇ ποσὸν τῆς ἀρχιερατικῆς καὶ τῆς πατριαρχικῆς ἐπιχορηγήσεως· διοικῆται δὲ καὶ διέξάγηται ἀρχιερατικῶς ὑπό τε τοῦ ἤδη ἱερωτάτου μητροπολίτου Νεοκαισαρείας, ὑπερτίμου καὶ ἐξάρχου Πόντου Πολεμωνιακοῦ, ἀγαπητοῦ ἡμῖν ἐν Χριστῷ ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Ἱεροθέου, καὶ τῶν μετὰ ταῦτα διαδεξομένων κανονικῶς τὴν ἐπαρχίαν ταύτην, διατελοῦσα εἰς ἀεὶ ὑπὸ τὴν ἀρχιερατικὴν δικαιοδοσίαν αὐτῶν, οἵτινες καὶ ὀφείλουσι ποιμαίνειν εὐαγγελικῶς καὶ προΐστασθαι τῶν ἐν τῇ κωμοπόλει ταύτῃ διατελούντων ὀρθοδόξων χριστιανῶν, συντρέχειν τε καὶ ὑπερασπίζεσθαι ἐν ταῖς πνευματικαῖς καὶ ἄλλαις ἀνάγκαις αὐτῶν, ἴσα καὶ τοῖς λοιποῖς αὐτῶν ἐπαρχιώταις· ὀφείλουσι δὲ καὶ οἱ τῆς ἐξονομασθείσης κωμοπόλεως κάτοικοι χριστιανοί, ἱερωμένοι καὶ λαϊκοί, ὑπείκειν καὶ ὑποτάσσεσθαι τῇ αὐτοῦ ἱερότητι καὶ

τοῖς μετὰ ταῦτα διαδόχοις αὐτοῦ, ὡς γνησίοις καὶ κανονικοῖς αὐτῶν ἀρχιερεῦσι καὶ πνευματικοῖς προστάταις καὶ κυριάρχαις, μνημονευομένου ἐν ταῖς ἱεραῖς τελεταῖς καὶ τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος, ὡς νενόμισται. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἀποφαντικὸν γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς ἔνδειξιν διηνεκῆ καὶ παράστασιν μόνιμον.

Ἐν ἔτει σωτηρίῳ ,αωξδ', κατὰ μῆνα δεκέμβριον, ἐπινεμήσεως η'.

Ὁ πατριάρχης Κων/πόλεως ἀποφαίνεται.

Ὁ Νικομηδείας Διονύσιος — Ὁ Πόσνας Ἰγνάτιος — Ὁ Αἴνου Γαβριήλ — Ὁ Σαμακοβίου Νεόφυτος — Ὁ Σκοπείων Ἰωακείμ — Ὁ Δεβρῶν Γεράσιμος — Ὁ Κασσανδρείας Νεόφυτος.

XC. 1901, декабрь, инд. XV. Томъ патріарха Іоакима III и священнаго синода о возведеніи епископіи Иліополя въ митрополію.

† Ἰωακεὶμ ἐλέῳ Θεοῦ κτλ.

Τὰ μὲν περὶ τὴν θείαν λατρείαν καὶ τὴν τὰ πανίερα τῆς πίστεως δόγματα καὶ τὰ σεπτὰ τῆς Ἐκκλησίας θέσμια ἀμετάτρεπτα τηρεῖν παρελάβομεν, πρὸς τὸ ἀναλλοίωτον τοῦ θείου χαρακτῆρος τὸ σῶμα τῆς Ἐκκλησίας ἀφομοιοῦντες· ὡς γὰρ Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας, οὕτω μία καὶ ἡ σώζουσα τάξις, μία ἡ ἀλήθεια καὶ ἡ ζωή, ὁ Κύριος ἡμῶν, μία δὲ καὶ ἡ ἁγία αὐτοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, ἓν δὲ τὸ τέλος καὶ ὁ σκοπός, ἡ ψυχικὴ σωτηρία τῶν εἰς Χριστὸν πιστευόντων καὶ τῆς αἰωνίου ζωῆς ἡ ἀπόλαυσις. Τὰ δὲ περὶ τὴν ἐγκόσμιον ἐκκλησιαστικὴν διοίκησιν καὶ τὴν τοῦ χριστεπωνύμου πληρώματος πειθαρχικὴν τάξιν καὶ οἰκονομίαν, ὡς τῇ ἀνθρωπίνῃ μᾶλλον ὑποστάσει συνακόλουθα, εἴωθεν ἔστιν ὅτε παραλλαγάς τινας ὑφίστασθαι καὶ μετατροπάς, ὑπὸ καιρικῶν μὲν ἀναγκῶν καὶ περιστάσεων προκαλουμένας, τοῖς δὲ θείοις καὶ ἱεροῖς κανόσι μὴ ἀντιπιπτούσας, ἀνυσίμους δ' εἰς τὴν ἐπὶ τὰ κρείττω προκοπὴν τῶν πιστῶν κρινομένας ἑκάστοτε ὑπὸ τῶν τὰ πηδάλια τοῦ θεοπαγοῦς σκάφους τῆς Ἐκκλησίας διαχειριζομένων, ὀφειλόντων, ἐν τῇ ἐπισκοπήσει τῶν κοινῇ συμφερόντων, πρόνοιαν ἔχειν καὶ περὶ λυσιτελεστέρας διευθετήσεως τῶν διοικητικῶν πραγμάτων τῶν ἑκασταχοῦ θεοσώστων παροικιῶν καὶ ἐμμελοῦς αὐτῶν ἁρμονίας. Ἔργον τοιαύτης ὀφειλετικῆς προνοίας ἐστὶ καὶ τὸ ῥυθμίζειν τὰ ὅρια τῶν ἐκκλη-

σιαστικῶν ἐπαρχιῶν κατὰ τὰς ἑκάστοτε ἐκδηλουμένας ἀνάγκας, ἢ συνιστάναι δύο μητροπόλεις ἐκ μιᾶς, ἢ συνενοῦν δύο εἰς μίαν ἢ ἀποκαθιστάναι ἐπισκοπὴν εἰς ἀνεξάρτητον μητρόπολιν, τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας μετὰ μητρικῆς μὲν στοργῆς πρὸς τὰ εὐσεβῆ αὐτῆς ἐν πνεύματι τέκνα ἀείποτε πολιτευομένης, μετὰ σταθμίσεως δὲ τῶν δικαίων καὶ τῆς πρὸς τοὺς πνευματικοὺς ποιμένας νενομισμένης τιμῆς καὶ εὐνοίας, ἐν πάσαις ταῖς οὕτω δὴ παρισταμέναις εὐκαιρίαις καὶ ἀνάγκαις, οὐδεμίαν ἐν τῇ ἱεραρχικῇ τῆς διοικήσεως τάξει μετατροπὴν ποιουμένης ἄνευ τῶν ἀποχρώντων λόγων, ἅμα δὲ καὶ τῆς νομίμου αἰτήσεως τῶν ἐν ταῖς παροικίαις ἐνοικούντων χριστιανῶν καὶ τῆς διαγνώμης τῶν κανονικῶν ποιμένων αὐτῶν. Οὕτω τοίνυν καὶ περὶ τῆς ἁγιωτάτης ἐπισκοπῆς Ἡλιουπόλεως, τῆς ὑποκειμένης τῇ ἁγιωτάτῃ μητροπόλει Ἐφέσου, ὁ ταύτης θεοφιλῶς προϊστάμενος ἱερώτατος μητροπολίτης Ἐφέσου καὶ ἐν Χριστῷ ἀγαπητὸς ἡμῖν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Ἰωακεὶμ ὑπέβαλεν ἡμῖν αἴτησιν τὴν τῆς ἐπισκοπῆς ταύτης ἀνάδειξιν εἰς μητρόπολιν ἰδίαν ἀπ' εὐθείας τῷ πατριαρχικῷ ἡμῶν θρόνῳ ὑπαγομένην ἐξαιτούμενος, διά τε τὴν πολιτικῶς διοικητικὴν σημασίαν τῆς χώρας, διά τε τὴν τῶν ὀρθοδόξων κοινοτήτων αὐτῆς πνευματικὴν ἐπίδοσιν καὶ κοινωνικὴν ἀνάπτυξιν, ἀλλὰ δὴ καὶ ἐπὶ ἠθικῇ ἀμοιβῇ καὶ τιμῇ τοῦ ἀπὸ εἰκοσιπενταετίας τὴν ἐπισκοπὴν ταύτην πάνυ εὐδοκίμως καὶ ἐνθέῳ ζήλῳ ἰθύνοντος, ἐν δὲ τῇ Ἐκκλησίᾳ ὑπερτριακονταετῆ διακονίαν φερεπόνως καὶ ἀνεπιλήπτως ἐνασκήσαντος θεοφιλεστάτου ἐπισκόπου κὺρ Ταρασίου. Ἐπὶ τῆς αἰτήσεως τοῦ διαληφθέντος ἐν Χριστῷ ἀδελφοῦ, φιλαδέλφῳ γνώμῃ καὶ ζήλῳ ἐπαινετῷ ὑπὲρ τῶν ἐν τῇ ἐπισκοπῇ εὐσεβῶν χριστιανῶν συναινοῦντος οὕτω παραιτήσασθαι τῶν κυριαρχικῶν αὐτοῦ ἐπ' αὐτῆς δικαίων καὶ προνομιῶν, διασκεψάμενοι συνοδικῶς καὶ ταύτην δικαίαν καὶ εὔλογον κρίναντες διά τε τὴν ὀφειλομένην τιμὴν τῷ ἀπὸ μακροῦ τοῦ χρόνου τῇ Ἐκκλησίᾳ θεαρέστως διακονοῦντι πνευματικῷ αὐτῆς ποιμένι καὶ διὰ τὴν προσδοκωμένην κοινοτικὴν τοῖς ἐνοίκοις χριστιανοῖς λυσιτέλειαν καὶ τὴν τοῦ ζήλου αὐτῶν ἐπὶ τὰ βελτίω διαθέρμανσιν, στοιχοῦντες δὲ τῇ ἔκπαλαι παραδεδομένῃ κανονικῇ τάξει καὶ τῷ ἐκκλησιαστικῷ ἔθει, δεῖν ἔγνωμεν τιμῆσαι καὶ ἀνυψῶσαι τὴν εἰρημένην ἐπισκοπὴν εἰς μητρόπολιν, καθυπαγαγεῖν τε αὐτὴν ὑπὸ τὴν ἄμεσον ἐξάρτησιν καὶ ὑποταγὴν τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, μηδεμίαν ἐφεξῆς ἐχούσης ἐπ' αὐτῆς δικαιοδοσίαν καὶ ἐξουσίαν τῆς ἁγιωτάτης τῶν Ἐφεσίων μητροπόλεως. Καὶ δὴ γράφοντες μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἀποφαινόμεθα, ἵνα ἡ ῥηθεῖσα ἐπισκοπὴ τῆς Ἡλιουπόλεως διὰ τοὺς προεκτεθέντας εὐλογοφανεῖς λόγους ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ

αἰῶνα τὸν ἅπαντα ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται μητρόπολις, ὁ δὲ νῦν ἀρχιερατεύων ἐν αὐτῇ καὶ οἱ μετ' αὐτὸν διάδοχοι τῆς ἁγιωτάτης ταύτης μητροπόλεως τιτλοφορῆται ἱερώτατος μητροπολίτης Ἡλιουπόλεως καὶ ὑπέρτιμος, φυλάττων τὴν κανονικὴν διάταξιν τοῦ μνημονεύειν τοῦ πατριαρχικοῦ ὀνόματος, συναριθμούμενος δὲ τελευταῖος τῇ τάξει καὶ τῇ χορείᾳ τῶν λοιπῶν ἱερωτάτων μητροπολιτῶν τοῦ καθ' ἡμᾶς κλίματος, ἤτουν οὗ, οἷος καὶ ἐν τῷ Συνταγματίῳ ἀναγέγραπται, ἔχων οὗτός τε καὶ οἱ αὐτὸν διαδεξόμενοι τὴν στάσιν καὶ ἕδραν τὴν ὁρισθεῖσαν αὐτῷ ἐν ταῖς ἐκκλησιαστικαῖς χοροστασίαις καὶ συνελεύσεσι, ποιμαίνων θεοφιλῶς καὶ θεαρέστως τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, εὐλογῶν τε καὶ ἁγιάζων αὐτό καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελῶν μετὰ καὶ τῆς ἐν τῷ ἱερῷ συνθρόνῳ ἐγκαθιδρύσεως. Ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν τῇ θεοσώστῳ ταύτῃ ἐπαρχίᾳ ἐνοικοῦντες εὐλογημένοι χριστιανοί, ἱερωμένοι καὶ λαικοί, ἀναγνωρίζειν τὴν αὐτοῦ ἱερότητα μητροπολίτην τῆς ἁγιωτάτης μητροπόλεως Ἡλιουπόλως, πειθαρχεῖν τε καὶ ὑποτάσσεσθαι αὐτῷ ὡς κανονικῷ αὐτῶν ἀρχιερεῖ καὶ πνευματικῷ πατρὶ καὶ ποιμένι, λόγον μέλλοντι δοῦναι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐνώπιον τοῦ ἀδεκάστου Κριτοῦ ἐν καιρῷ τῆς τῶν ἔργων ἀνταποδόσεως. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Εἰς δὲ περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, καταστρωθεὶς καὶ ὑπογραφεὶς ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἀντίγραφον δ' αὐτοῦ φέρον τὴν πατριαρχικὴν ἡμῶν ἐπικύρωσιν ἐδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἡλιουπόλεως καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Ταρασίῳ.

Ἐν ἔτει χιλιοστῷ ἐννεακοσιοστῷ πρώτῳ κατὰ μῆνα δεκέμβριον, ἐπινεμήσεως ιε'.

Ὁ πατριάρχης Κωνσταντινουπόλεως Ἰωακεὶμ ἀποφαίνεται.

Ὁ Ἀδριανουπόλεως Κύριλλος — Ὁ Ἀμασείας Ἄνθιμος, — Ὁ Ἰωαννίνων Γρηγόριος — Ὁ Προύσης Ναθαναήλ — Ὁ Νικοπόλεως καὶ Πρεβέζης Δωρόθεος — Ὁ Μηθύμνης Στέφανος — Ὁ Μεσημβρίας Χαρίτων — Ὁ Βάρνης Πολύκαρπος — Ὁ Χίου Κωνσταντῖνος — Ὁ Κορυτσᾶς Γερβάσιος.

XCI. 1901, декабрь, инд. XV. Томъ патріарха Іоакима III и священнаго синода о возведеніи епископіи Калліополя и Мадитъ въ митрополію.

† Ἰωακεὶμ ἐλέῳ Θεοῦ κτλ.

Τὰ μὲν περὶ τὴν λατρείαν τοῦ Ὄντος καὶ τὰ πανίερα τῆς πίστεως δόγματα καὶ τὰ σεπτὰ τῆς Ἐκκλησίας θέσμια παρελάβομεν τηρεῖν ἀμετάτρεπτα πρὸς τὸ ἀναλλοίωτον τοῦ θείου χαρακτῆρος τὸ σῶμα τῆς Ἐκκλησίας ἀφομοιοῦντες. Ὡς γὰρ Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας, οὕτω μία καὶ ἡ σώζουσα πίστις, μία ἡ ἀλήθεια καὶ ἡ ζωή, ὁ Κύριος ἡμῶν, μία δὲ καὶ ἡ ἁγία αὐτοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, ἐν δὲ τὸ τέλος καὶ ὁ σκοπός, ἡ ψυχικὴ σωτηρία τῶν εἰς Χριστὸν πιστευόντων καὶ τῆς αἰωνίου ζωῆς ἡ ἀπόλαυσις. Τὰ δὲ περὶ τὴν ἐγκόσμιον ἐκκλησιαστικὴν διοίκησιν καὶ τὴν τοῦ χριστωνύμου πληρώματος πειθαρχικὴν τάξιν καὶ οἰκονομίαν τῇ ἀνθρωπίνῃ μᾶλλον ὑποστάσει συνακόλουθα, εἴωθεν ἔστιν ὅτε παραλλαγάς τινας ὑφίστασθαι καὶ μετατροπάς, ὑπὸ καιρικῶν μὲν ἀναγκῶν καὶ περιστάσεων προκαλουμένας τοῖς δὲ θείοις καὶ ἱεροῖς κανόσι μὴ ἀντιπιπτούσας, ἀνυσίμους δὲ τῆς ἐπὶ τὰ κρείττω προκοπῆς τῶν πιστῶν κρινομένας ὑπὸ τῶν τὰ πηδάλια τοῦ θεοπαγοῦς σκάφους τῆς Ἐκκλησίας διαχειριζομένων, ὧν ὀφειλὴ ἱερὰ καὶ χρέος ἀπαραίτητον προνοεῖν ἑκάστοτε περὶ λυσιτελεστέρας διευθετήσεως τῶν διοικητικῶν πραγμάτων τῶν ἐκασταχοῦ θεοσώστων παροικιῶν καὶ ἐμμελοῦς αὐτῶν ἁρμονίας. Ἔργον τοιαύτης ὀφειλετικῆς μητρικῆς προνοίας ἐστὶ καὶ τὸ ῥυθμίζειν τὰ ὅρια τῶν ἐκκλησιαστικῶν ἐπαρχιῶν κατὰ τὰς ἑκάστοτε ἐκδηλουμένας ἀνάγκας καὶ πρὸς τοῦτο εἴτε συνιστάναι ἐκ μιᾶς μητροπόλεως δύο, ἢ συνενοῦν δύο μητροπόλεις εἰς μίαν, ἢ προάγειν ἐπισκοπὴν εἰς μητρόπολιν ἀνεξάρτητον, πάντα δὲ ποιεῖν ἐν σκοπῷ ἱερῷ καὶ κοινωφελεῖ καὶ μετὰ στοργῆς μὲν καὶ ἀγάπης πρὸς εὐσεβῆ ἐν πνεύματι τέκνα, μετ' ἐκτιμήσεως δὲ καὶ δικαιοσύνης πρὸς τὰ νόμιμα δίκαια τῶν πνευματικῶν ποιμένων καὶ πρὸς τὴν ὀφειλομένην αὐτοῖς τιμήν. Δι' ὃ καὶ ἐν ταῖς οὕτωσὶ δὴ παρισταμέναις ἀνάγκαις πρὸς πᾶσαν ἐν τῇ ἱεραρχικῇ τῆς ἐκκλησιαστικῆς ἐπαρχιακῆς διοικήσεως τάξει μεταβολὴν ἀναγκαῖα καὶ κανονικὰ κρίνονται πρῶτον μὲν ἀποχρῶντες καὶ οὐσιώδεις ἐπιχώριοι λόγοι, ἐπιβάλλοντες τὴν μετατροπήν, εἶτα δὲ νόμιμος αἴτησις καὶ συναίνεσις τῶν ἐν ταῖς παροικίαις ἐνοικούντων εὐσεβῶν χριστιανῶν καὶ τῶν ποιμένων αὐτῶν. Ἔνθεν τοι καὶ περὶ τῆς ἁγιωτάτης ἐπισκοπῆς Καλλιουπόλεως καὶ Μαδύτων, τῆς ὑποκειμένης τῇ ἁγιωτάτῃ μητροπόλει Ἡρακλείας καὶ Ῥαιδεστοῦ, λαβόντες ὑπ' ὄψιν τὴν ὑπὸ χρονολογίαν ιη' Ἰουλίου τοῦ σωτηρίου ἔτους ,αΠα' αἴτησιν τῶν ἀντιπροσώπων τῆς ὀρθοδόξου κοινότητος Καλλιουπόλεως καὶ τῆς

ὅλης ἐπισκοπῆς, ἐφωδιασμένων ὄντων διὰ τακτικοῦ πληρεξουσίου τῆς ἐν Καλλιουπόλει ἐντίμου δημογεροντίας, ἐξαιτουμένων δὲ ἐξ ὀνόματος πάντων τῶν ἐν τῇ ἐπισκοπῇ ταύτῃ εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τὴν ἀνάδειξιν τῆς ἐπισκοπῆς εἰς μητρόπολιν ἀνεξάρτητον, ἕνεκα τῶν ἐν τῇ αἰτήσει λεπτομερῶς ἐκτιθεμένων λόγων, ὧν ἕνεκα ἡ τοιαύτη προαγωγὴ ἔσται συντελεστικὴ εἰς κρείττονα διεξαγωγὴν τῶν διαφόρων ἐπαρχιακῶν ὑποθέσεων καὶ εἰς ἀνυσιμωτέραν προστασίαν τῶν ἐκκλησιαστικῶν, θρησκευτικῶν, κοινοτικῶν καὶ ἐκπαιδευτικῶν συμφερόντων τῆς ἐπαρχίας ταύτης, ἅτε δὴ τῆς πόλεως Καλλιουπόλεως οὔσης ἕδρας πολιτικῆς διοικήσεως (μουτεσαριφλικίου), εὐχερῆ δέ, ταχεῖαν καὶ ἄμεσον ἐχούσης τὴν μετὰ τῆς Βασιλευούσης συγκοινωνίαν· ἔτι δὲ ἔχοντες ὑπ' ὄψιν τὴν ὑπὸ τοῦ κανονικοῦ κυριάρχου τῆς ἐπισκοπῆς ἱερωτάτου μητροπολίτου Ἡρακλείας καὶ Ῥαιδεστοῦ, ἀγαπητοῦ ἡμῖν ἐν Χριστῷ ἀδελφοῦ κὺρ Ἱερωνύμου διαβιβασθεῖσαν ἡμῖν ἔγγραφον συναίνεσιν καὶ ἐπιδοκιμασίαν ὑπὸ χρονολογίαν κς' ὀκτωβρίου αΨα' καὶ ὑπ' ἀριθμὸν πρωτοκόλλου 6698, τοὺς λόγους δὲ τῆς αἰτήσεως ταύτης ἀποχρῶντας κρίναντες καὶ εὐλογοφανῆ τὴν προσδοκωμένην ἐκ τῆς μεταβολῆς ταύτης ὠφέλειαν τοῖς ἐνοίκοις χριστιανοῖς, ἔτι δὲ ἐλπίζοντες καὶ ἀπεκδεχόμενοι θερμότερον ἀναδειχθῆναι τὸν ζῆλον αὐτῶν εἰς προκοπὴν ἐν τῇ πίστει καὶ εἰς τὴν τῶν κοινῶν πραγμάτων εὐόδωσιν, δεῖν ἔγνωμεν, στοιχοῦντες τῇ ἔκπαλαι παραδεδομένῃ κανονικῇ τάξει καὶ τῷ ἀρχαίῳ ἐκκλησιαστικῷ ἔθει, τιμῆσαι καὶ ἀνυψῶσαι τὴν εἰρημένην ἐπισκοπὴν εἰς μητρόπολιν, καθυπαγαγεῖν τε ταύτην ὑπὸ τὴν ἄμεσον ἐξάρτησιν καὶ ὑποταγὴν τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, μηδεμίαν ἐφεξῆς ἐχούσης ἐπ' αὐτῆς δικαιοδοσίαν καὶ ἐξουσίαν τῆς ἁγιωτάτης μητροπόλεως Ἡρακλείας καὶ Ῥαιδεστοῦ. Καὶ δὴ γράφοντες μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ἀποφαινόμεθα, ἵνα ἡ ῥηθεῖσα ἐπισκοπὴ τῆς Καλλιουπόλεως καὶ Μαδύτων διὰ τοὺς προεκτεθέντας καὶ ἐν τοῖς πρακτικοῖς τῆς ἱερᾶς συνόδου πλατύτερον ἐκτιθεμένους εὐλογοφανεῖς λόγους, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ εἰς αἰῶνα τὸν ἅπαντα ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται μητρόπολις, ὁ δὲ νῦν ἀρχιερατεύων ἐν αὐτῇ καὶ οἱ μετ' αὐτὸν διάδοχοι τῆς ἁγιωτατης ταύτης μητροπόλεως τιτλοφορῆται ἱερώτατος μητροπολίτης Καλλιουπόλεως καὶ Μαδύτων καὶ ὑπέρτιμος, φυλάττων τὴν κανονικὴν διάταξιν τοῦ μνημονεύειν ἐν ταῖς ἱεροπραξίαις τοῦ πατριαρχικοῦ ὀνόματος, συναριθμούμενος δὲ τελευταῖος τῇ τάξει ἐν τῇ χορείᾳ τῶν λοιπῶν ἱερωτάτων μητροπολιτῶν τοῦ καθ' ἡμᾶς κλίματος, ἤγουν ὀγδοηκοστὸς (π'). οἷος καὶ ἐν τῷ Συνταγματίῳ ἀναγέγραπται, ἔχων οὗτός τε καὶ οἱ αὐτὸν διαδεξόμενοι τὴν στάσιν καὶ ἕδραν τὴν ὁρισθεῖσαν

αὐτῷ ἐν ταῖς ἐκκλησιαστικαῖς χοροστασίαις, συνόδοις καὶ συνελεύσεσι, ποιμαίνων θεοφιλῶς καὶ θεαρέστως τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, εὐλογῶν τε καὶ ἁγιάζων αὐτὸ καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελῶν μετὰ τῆς ἐν τῷ ἱερῷ συνθρόνῳ ἐγκαθιδρύσεως. Ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν τῇ θεοσώστῳ ταύτῃ ἐπαρχίᾳ ἐνοικοῦντες εὐλογημένοι χριστιανοί, ἱερωμένοι καὶ λαικοί, ἀναγνωρίζειν τὴν αὐτοῦ ἱερότητα μητροπολίτην τῆς ἁγιωτάτης μητροπόλεως Καλλιουπόλεως καὶ Μαδύτων, πειθαρχεῖν τε καὶ ὑποτάσσεσθαι αὐτῷ ὡς κανονικῷ αὐτῶν ἀρχιερεῖ καὶ πνευματικῷ πατρὶ καὶ ποιμένι, λόγον μέλλοντι δοῦναι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐνώπιον τοῦ ἀδεκάστου Κριτοῦ ἐν καιρῷ τῆς τῶν ἔργων ἀνταποδόσεως. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Εἰς ἔνδειξιν δὲ τὴν περὶ τούτου καὶ πρὸς διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, καταστρωθεὶς καὶ ὑπογραφεὶς ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἀντίγραφον δ' αὐτοῦ φέρον τὴν πατριαρχικὴν ἡμῶν ἐπικύρωσιν διεβιβάσθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Καλλιουπόλεως καὶ Μαδύτων καὶ ὑπερτίμῳ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Ἱερωνύμῳ.

Ἐν ἔτει ,αΡα', κατὰ μῆνα δεκέμβριον, ἐπινεμήσεως ιε'.

† Ὁ πατριάρχης Κωνσταντινουπόλεως Ἰωακεὶμ ἀποφαίνεται.

Ὁ Ἀδριανουπόλεως Κύριλλος — Ὁ Ἀμασείας Ἄνθιμος — Ὁ Ἰωαννίνων Γρηγόριος — Ὁ Προύσης Ναθαναήλ — Ὁ Νικοπόλεως καὶ Πρεβέζης Δωρόθεος — Ὁ Μηθύμνης Στέφανος — Ὁ Μεσημβρίας Χαρίτων — Ὁ Βάρνης Πολύκαρπος — Ὁ Χίου Κωνσταντῖνος — Ὁ Κορυτζᾶς Γερβάσιος.

XCII. 1902, октябрь, инд. I. Томъ патріарха Іоакима III и священнаго синода объ учрежденіи Родопольской митрополіи.

Ταῖς θείαις ἐντολαῖς καὶ τοῖς τῶν ἀποστόλων καὶ οἰκουμενικῶν συνόδων ἱεροῖς κανόσιν ἑπομένη ἡ ἁγία τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, ὀφειλομένης προνοίας ἔργον ἀείποτε ἡγήσατο ἐπισκόπους ἐγκαθιστάναι καὶ ποιμένας πνευματικοὺς ὅπου περ ἂν ἡ νόμιμος αὐτῆς ἐπισκίασις καὶ προστασία ἐγχωρείη διικνουμένη, ὡς μηδεμίαν τῶν παροικιῶν ἀπροστάτευτον διαμένειν, κατὰ τὴν ἀποστολικὴν καὶ κανονικήν, ὡς εἴρηται, παράδοσιν. Ἐπειδὴ τοιγαροῦν καὶ κατὰ τὰ μέρη τῆς Λαζικῆς λεγομένης χώρας, μεταξὺ δηλονότι τῶν ἐπαρχιῶν Τραπεζοῦντος καὶ Χαλδείας, ἱκανὰ χωρία ὑπὸ χριστιανῶν, ὀρθοδό-

ξων κατοικούμενα, ἔλαχον ἐν στερήσει ἰδίας ἀρχιερατικῆς ἐπισκέψεως καὶ προστασίας, καὶ γάρ, καταργηθείσης διὰ λόγους μὴ ὑφισταμένους τανῦν, τῆς ἐκ τούτων ἀπαρτισθείσης ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ τρίτῳ ἁγιωτάτης ἀρχιεπισκοπῆς Ῥοδοπόλεως, τὰ χωρία ταῦτα ὑπὸ τὴν προσωνυμίαν ἐξαρχιῶν ἐτέθησαν αὖθις ὑπὸ τὴν ἐξάρτησιν τῶν γειτνιαζουσῶν αὐτοῖς ἱερῶν ἡμετέρων πατριαρχικῶν σταυροπηγιακῶν μονῶν, τὰ μὲν ὑπὸ τὴν τῆς ἱερᾶς μονῆς Σουμελᾶ, τὰ δὲ ὑπὸ τὴν τῆς μονῆς τοῦ Τιμίου Προδρόμου Βαζελῶν, τὰ δὲ ὑπὸ τὴν τῆς μονῆς ἁγίου Γεωργίου Περιστερεῶτα, εἰς ἃς καὶ προηγουμένως ὑπήγοντο, καὶ ἐπειδὴ ἡ δι' ἐξάρχων, ἤτοι πατέρων μοναστηριακῶν, ὧν ἀλλοία ὅλως ἡ ἀποστολὴ καὶ τὰ καθήκοντα καὶ ὁ βίος καθωρισμένα εἰσί, πνευματικὴ διακυβέρνησις τοσούτων ἐνοριῶν λέληθεν ἐκτρεπομένη οὐ μόνον τῶν ἱερῶν κανόνων, ἀλλὰ δὴ καὶ τῶν ἐν ἐνεργείᾳ Γενικῶν κανονισμῶν, ἐν οἷς ἐθεσπίσθη καὶ δι' ὧν ἐξετελέσθη, πλὴν ὀλίγων ἐξαιρέσεων, ἡ κατάργησις πασῶν τῶν πρὶν ὑφισταμένων ἐξαρχιῶν, ἔδοξε τῇ ἡμῶν μετριότητι, συνοδικῶς προκαθημένῃ καὶ συνδιασκεπτομένῃ, τὰ ἐπὶ τοῦ ἀοιδίμου προκατόχου ἡμῶν οἰκουμενικοῦ πατριάρχου κυροῦ Ἰωακεὶμ τοῦ ἀπὸ Κυζίκου εὐστόχως τε καὶ συμφώνως τοῖς ἱεροῖς κανόσιν ἀποφανθέντα καὶ ἐκτενῶς ἐν τῷ τότε ἐκδοθέντι ἱερῷ πατριαρχικῷ καὶ συνοδικῷ τόμῳ ἐπεξηγηθέντα περὶ τῆς ἀνάγκης τῆς ἐν ταῖς παροικίαις ἐκείναις ἰδίας ἀρχιερατικῆς προστασίας καὶ ἐπιβλέψεως ἀποκατασταθῆναι αὖθις εἰς πλήρη ἐφαρμογὴν καὶ ἐνέργειαν, συνῳδὰ ἄλλως τε καὶ τῷ εὐλόγῳ πόθῳ τῶν εὐσεβῶν καὶ φιλοτίμων ὀρθοδόξων χριστιανῶν κατοίκων τῶν μερῶν ἐκείνων, ἐκδηλωθέντι δι' ἀναφορᾶς τῶν ἐν τῇ Βασιλευούσῃ οἰκούντων ἐξαρχιωτῶν, ὡς ἀντιπροσώπων αὐτῶν, ἀναδειχθῆναι δ' οὕτω πάντα τὰ χωρία ταῦτα εἰς ἐπαρχίαν ἰδίαν ἐν τάξει μητροπόλεως ὑπὸ τὸ καὶ πρὶν ὄνομα Ῥοδοπόλεως, διατελούσης ἀεὶ ὑπὸ τὸν καθ' ἡμᾶς ἁγιώτατον πατριαρχικὸν οἰκουμενικὸν θρόνον, ὥσπερ καὶ αἱ λοιπαὶ ἀνέκαθεν ὑποκείμεναι αὐτῷ ἐπαρχίαι, ἐκλεγῆναι τε ἤδη ψήφοις κανονικαῖς τὸν τὴν ἐπαρχίαν ταύτην ποιμανοῦντα καὶ τοῦ λοιποῦ διενεργεῖσθαι ἐν πάσῃ χηρείᾳ αὐτῆς τὴν τοιαύτην ἀρχιερατικὴν ἀποκατάστασιν πρὸς διηνεκῆ προστασίαν καὶ ψυχικὴν ὠφέλειαν τῶν ἐπαρχιωτῶν χριστιανῶν, προσδιορισθέντος ἅμα, συνοδικῇ ἀποφάσει τοῦ καὶ ἄλλοτε ὡρισμένου ποσοῦ γροσίων τριακοντακισχιλίων ὡς ἐτησίας αὐτοῦ ἀρχιερατικῆς ἐπιχορηγήσεως, ἔτι δὲ καὶ πατριαρχικῆς ἐκ γροσίων χιλίων, ταύτην δὲ τὴν κοινῇ ἐγκρίσει καὶ ἀποφάσει γενομένην ἱερᾶν πρᾶξιν κατοχηρωθῆναι καὶ δι' ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ τόμου, ἐν τῷ ἱερῷ ἐκκλησιαστικῷ κώδικι καταστρωννυμένου, εἰς αἰωνίαν καὶ ἀπαράλλακτον ἐνέργειαν. Ἐφ' ᾧ καὶ γράφοντες συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύ-

ματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ὁρίζομεν καὶ ἀποφαινόμεθα, ἵνα, καταργουμένης τοῦ λοιποῦ τῆς ἐξαρχικῆς καὶ ἄλλης οἱασδήποτε προστασίας καὶ ἀναμίξεως πνευματικῆς ἢ ὑλικῆς τῶν ἐν λόγῳ ἱερῶν μονῶν ἐν τοῖς γειτνιάζουσιν αὐταῖς χωρίοις, ἀπαλλαττομένοις ὅλως τοῦ ἐξαρτᾶσθαι παρ' αὐτῶν ἢ λέγεσθαι «ἐξαρχικοῖς», ἅπαντα τὰ χωρία τὰ μέχρι τοῦδε ἐκκλησιαστικῶς ὑποκείμενα τῇ τε ἱερᾷ μονῇ τῆς Ὑπεραγίας Θεοτόκου Σουμελᾶ καὶ τῇ ἱερᾷ μονῇ τοῦ Τιμίου Προδρόμου Βαζελῶν καὶ τῇ ἱερᾷ μονῇ τοῦ ἁγίου Γεωργίου Περιστερεῶτα, ὑπάρχωσι τοῦ λοιποῦ καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον συνηνωμένα ὁμοῦ καὶ μίαν ἐπαρχίαν ἀποτελοῦντα, ἤτοι τὴν ἀναδειχθεῖσαν νῦν ὡς ἄλλοτε ἁγιωτάτην μητρόπολιν Ῥοδοπόλεως, ὑποκειμένην διὰ παντὸς τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ οἰκουμενικῷ θρόνῳ, διακυβερνωμένην τε καὶ ἐπισκεπτομένην πνευματικῶς ὑπὸ ἀρχιερέων ἐκλεγομένων κανονικῶς παρὰ τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ πάντα τὰ τοῖς γνησίοις ἀρχιερεῦσι καὶ κυριάρχαις ἀνήκοντα ἐκκλησιαστικὰ προνόμια ἀπολαμβανόντων, ἴσα καὶ τοῖς λοιποῖς τῶν ἐν τῷ καθ' ἡμᾶς κλίματι κανονικῶν καὶ ἐν ἐνεργείᾳ μητροπολιτῶν, σὺν τῇ ἀπολήψει τῆς τε ἐτησίας ἐπιχορηγήσεως, διανεμομένης ἐν δικαίᾳ ἀναλογίᾳ τοῖς ἐπαρχιώταις χριστιανοῖς, καὶ τῶν λοιπῶν κατὰ τοὺς κανονισμοὺς ὡρισμένων δικαιωμάτων. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ παράστασιν κατέστρωται ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος ἐν τῷδε τῷ ἱερῷ ἐκκλησιαστικῷ κώδικι τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει σωτηρίῳ ,αΠϐ', κατὰ μῆνα ὀκτώβριον, ἐπινεμήσεως α'.

† Ὁ πατριάρχης Κωνσταντινουπόλως Ἰωακεὶμ ἀποφαίνεται.

Ὁ Ἐφέσου Ἰωακείμ — Ὁ Προύσης Ναθαναήλ — Ὁ Νεοκαισαρείας Ἀλέξανδρος — Ὁ Σμύρνης Βασίλειος — Ὁ Βάρνης Πολύκαρπος — Ὁ Ξάνθης Ἰωακείμ — Ὁ Βοδενῶν Νικόδημος — Ὁ Λιτίτσης Νικηφόρος — Ὁ Ἡλιουπόλεως Ταράσιος — Ὁ Καλλιουπόλεως Ἱερώνυμος.

XCIII. 1903, мартъ, инд. I. Томъ патріарха Іоакима III и священнаго синода о возведеніи епископіи Крины въ достоинство митрополіи.

† Ἰωακεὶμ κτλ.

Τὰ μὲν περὶ τὴν θείαν λατρείαν καὶ τὰ πανίερα τῆς πίστεως δόγματα καὶ τὰ σεπτὰ τῆς Ἐκκλησίας θέσμια ἀμετάτρεπτα τηρεῖν παρελάβομεν κτλ. [βλ. σελ. 187-188], ἅμα δὲ καὶ νομίμου αἰτήσεως τῶν ἐν

ταῖς παροικίαις ἐνοικούντων χριστιανῶν καὶ διαγνώμης τῶν κανονικῶν ποιμένων αὐτῶν. Τοιαύτης τοίνυν ἀνάγκης ἐπιστάσης καὶ περὶ τῆς ἁγιωτάτης ἐπισκοπῆς Κρήνης, τῆς ὑποκειμένης τῇ ἁγιωτάτῃ μητροπόλει Ἐφέσου, καὶ γὰρ οἱ τὸ λογικὸν αὐτῆς ποίμνιον ἀπαρτίζοντες εὐσεβεῖς καὶ φιλότιμοι χριστιανοὶ εἰς τὴν αἰσίως ἐπιτελεσθεῖσαν μέχρι τοῦδε ἐμπορικήν, κοινωνικὴν καὶ διοικητικὴν ἀνάδειξιν τῆς ἐπαρχίας αὐτῶν ἐρειδόμενοι, ἐπόθησαν καὶ ἠτήσαντο, ἵνα ἡ ἁγιωτάτη αὕτη ἐπισκοπὴ ἀπολαύσῃ καὶ ἐκκλησιαστικῆς ἐπιβραβεύσεως καὶ τιμῆς, ἀνυψουμένη εἰς τὴν τάξιν μητροπόλεως, συνάμα δὲ καὶ ὁ τῆς Ἐφεσίων ἱερᾶς μητροπόλεως θεοφιλῶς προϊστάμενος ἱερώτατος μητροπολίτης Ἐφέσου καὶ ἐν Χριστῷ ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Ἰωακεὶμ διὰ τῆς ἀπὸ κϛ' νοεμβρίου τοῦ παρεληλυθότος ἔτους ,αΠβ' αἰτήσεως αὐτοῦ προθύμως καὶ ἀσμένως ἐφιέμενος ἐπαινετῷ ζήλῳ καὶ ἀγαθῇ γνώμῃ συντελέσαι εἰς μείζω πνευματικὴν ἐπίδοσιν καὶ εὐημερίαν τῶν ἐν τῇ ἐπισκοπῇ ταύτῃ εὐσεβῶν κατοίκων ἐξεδήλωσε τὴν κατὰ κανονικὴν τάξιν ἀπαιτουμένην ἐπὶ τούτῳ συναίνεσιν αὐτοῦ, παραιτησάμενος τέλεον παντὸς ἐπὶ τῆς διαληφθείσης ἐπισκοπῆς κυριαρχικοῦ δικαιώματος καὶ στέργων ἀνεπιφυλάκτως, ὅπως αὕτη ἀναδειχθῇ εἰς μητρόπολιν ἰδίαν, ἀπ' εὐθείας τῷ ἁγιωτάτῳ πατριαρχικῷ ἡμῶν θρόνῳ ὑπαγομένην, διασκεψάμενοι συνοδικῶς, καὶ τὴν μὲν τῶν κατοίκων αἴτησιν δικαίαν καὶ εὔλογον κρίναντες διὰ τὴν προσδοκωμένην ἐκ τῆς προαγωγῆς ταύτης ὠφέλειαν τῶν κατοίκων καὶ τὴν ἐπὶ τὰ κρείττω διαθέρμανσιν τοῦ ζήλου αὐτῶν, στοιχοῦντες δὲ τῇ ἔκπαλαι παραδεδομένῃ κανονικῇ τάξει καὶ τῷ ἐκκλησιαστικῷ ἔθει, δεῖν ἔγνωμεν τιμῆσαι καὶ ἀνυψῶσαι τὴν εἰρημένην ἐπισκοπὴν εἰς μητρόπολιν, καθυπαγαγεῖν τε αὐτὴν ὑπὸ τὴν ἄμεσον ἐξάρτητον καὶ ὑποταγὴν τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχινοῦ οἰκουμενικοῦ θρόνου, μηδερίαν ἐφεξῆς ἐχούσης ἐπ' αὐτῆς δικαιοδοσίαν καὶ ἐξουσίαν τῆς ἁγιωτάτης τῶν Ἐφεσίων μητροπόλεως. Καὶ δὴ γράφοντες μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ἀποφαινόμεθα, ἵνα ἡ ῥηθεῖσα ἐπισκοπὴ τῆς Κρήνης διὰ τοὺς προεκτεθέντας εὐλογοφανεῖς λόγους ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ εἰς αἰῶνα τὸν ἅπαντα ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γ'νώσκηται μητρόπολις, ὁ δὲ νῦν ἀρχιερατεύων ἐν αὐτῇ καὶ οἱ μετ' αὐτὸν διάδοχοι τῆς ἁγιωτάτης ταύτης μητροπόλεως τιτλοφορῆται ἱερώτατος μητροπολίτης Κρήνης καὶ ὑπέρτιμος, φυλάττων τὴν κανονικὴν διάταξιν τοῦ μνημονεύειν τοῦ πατριαρχικοῦ ὀνόματος, συναριθμούμενος δὲ τελευταῖος, τό γε νῦν, τῇ τάξει καὶ τῇ χορείᾳ τῶν λοιπῶν ἱερωτάτων μητροπολιτῶν τοῦ καθ' ἡμᾶς κλίματος, ἤγουν πβ', οἷος καὶ ἐν τῷ συνταγματίῳ ἀναγέγραπται, ἔχων οὕτός τε καὶ οἱ αὐτὸν διαδεξόμενοι τὴν στάσιν καὶ ἔδραν τὴν

ὁρισθεῖσαν αὐτῷ ἐν ταῖς ἐκκλησιαστικαῖς χοροστασίαις καὶ συνελεύσεσι, ποιμαίνων θεοφιλῶς καὶ θεαρέστως τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, εὐλογῶν τε καὶ ἁγιάζων αὐτὸ καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελῶν μετὰ καὶ τῆς ἐν τῷ ἱερῷ συνθρόνῳ ἐγκαθιδρύσεως. Ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν τῇ θεοσώστῳ ταύτῃ ἐπαρχίᾳ ἐνοικοῦντες εὐλογημένοι χριστιανοί, ἱερωμένοι καὶ λαικοί, ἀναγνωρίζειν τὴν αὐτοῦ ἱερότητα μητροπολίτην τῆς ἁγιωτάτης μητροπόλεως Κρήνης, πειθαρχεῖν τε καὶ ὑποτάσσεσθαι αὐτῷ, ὡς κανονικῷ αὐτῶν ἀρχιερεῖ καὶ πνευματικῷ πατρὶ καὶ ποιμένι, λόγον μέλλοντι δοῦναι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐνώπιον τοῦ ἀδεκάστου Κριτοῦ ἐν καιρῷ τῆς τῶν ἔργων ἀνταποδόσεως. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Εἰς ἔνδειξιν δὲ καὶ διηνεκῆ τούτων ἀσφάλειαν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, ἐπιδοθεὶς τῷ ἱερωτάτῳ μητροπολίτῃ Κρήνης καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῖν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Θεοκλήτῳ, καταστρωθεὶς δ' ἐν ἀντιγράφῳ καὶ ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει χιλιοστῷ ἐννεακοσιοστῷ τρίτῳ, κατὰ μῆνα μάρτιον, ἐπινεμήσεως α'.

† Ὁ πατριάρχης Κωνσταντινουπόλεως Ἰωακεὶμ ἀποφαίνεται.

Ὁ Ἐφέσου Ἰωακείμ — Ὁ Προύσης Ναθαναήλ — Ὁ Νεοκαισαρείας Ἀλέξανδρος — Ὁ Ἰκονίου Ἀθανάσιος — Ὁ Σμύρνης Βασίλειος — Ὁ Βάρνης Πολύκαρπος — Ὁ Ξάνθης Ἰωακείμ — Ὁ Βοδενῶν Νικόδημος — Ὁ Διτίτσης Νικηφόρος, — Ὁ Ἡλιουπόλεως Ταράσιος — Ὁ Καλλιουπόλεως Ἱερώνυμος.

XCIV. 1906, май, инд. IV. Томъ патріарха Іоакима III и священнаго синода объ учрежденіи митрополіи Саранта-Еккліcіонъ.

† Ἰωακεὶμ ἐλέῳ Θεοῦ κτλ.

Προνοίας ἔργον ἐκκλησιαστικῆς ἐνδείκνυται τὰ τῶν ἐπαρχιακῶν διοικήσεων ὅρια πρὸς τὰς συμβαινούσας ἀνάγκας καὶ περιστάσεις ῥυθμίζειν καὶ συμβιβάζειν εἰς ἀσφαλεστέραν τὴν προστασίαν, οἰκοδομήν τε καὶ σωτηρίαν τοῦ χριστωνύμου λαοῦ. Δι' ὃ δὴ καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία προσφυῶς ἓν ἕκαστον καθορίζουσα, οὐ λείπει ἀξιοχρέως τὴν τελεσφόρον ἐπιφέρουσα μεταλλαγὴν ἢ διαρρύθμισιν, εἴ που ἀνάγκαι νέαι καὶ περιστάσεις τὴν διαρρύθμισιν ταύτην ἐνδεικνύσι καὶ ἐπιβάλλουσι. Πάντα γὰρ κατὰ τὸ χρεὼν καὶ πρὸς οἰκοδομὴν κατὰ

τὸ ἀποστολικὸν λόγιον ὀφείλουσι γίνεσθαι. Ἐπειδὴ τοίνυν καὶ οἱ κατὰ τὸ τμῆμα τῶν Σαράντα Ἐκκλησιῶν τῆς θεοσώστου ἐπαρχίας Ἀδριανουπόλεως ὀρθόδοξοι χριστιανοὶ τὰ ἑαυτῶν ἀμεσωτέρας τινὸς ἐποπτείας καὶ ἀσφαλείας, ἄλλως τε καὶ διὰ τοπικὰς καὶ καιρικὰς ἀνάγκας καὶ περιστάσεις, ἐπιδεόμενοι ὑπολαμβάνοντες, πολλάκις ἀνηνέχθησαν πρὸς την Ἐκκλησίαν τὴν ἀνάγκην ἰδίου καὶ μονίμου ἐν τῷ τμήματι αὐτῶν ἀρχιερέως ὡς τὴν μόνην ἀσφάλειαν ὑποδεικνύοντες καὶ τὴν διὰ τοῦτο εἰς ἐπαρχίαν ἀνάδειξιν τοῦ ἑαυτῶν τμήματος ἐξαιτούμενοι, ὡς καὶ ἀριθμῷ ἄλλως τῶν κατοίκων εἰς ἀξιοπρεπῆ συντήρησιν ἰδίου ἀρχιερέως ἐπαρκοῦντος, καὶ διὰ τὴν κοινωνικὴν δὲ ἐπίδοσιν καὶ ἀνάπτυξιν ἀξίου ἵνα τύχῃ τοιαύτης ἀπὸ τῆς μητρὸς Ἐκκλησίας εὐνοίας καὶ τιμῆς, ἡ Ἐκκλησία μητρικῶς περὶ αὐτῶν, ὥσπερ δὴ καὶ περὶ πάντων, προνοοῦσα καὶ φροντίζουσα καὶ τὸν πόθον αὐτῶν, κατὰ τὸ ἐγχωροῦν καὶ προσῆκον, θεραπεύουσα, τέως μὲν ἔγνω ἐγκρῖναι τὸν διορισμὸν αὐτόθι βοηθοῦ ἐπισκόπου ὑπὸ τὴν ἄμεσον ἐξάρτησιν τοῦ κανονικοῦ τῆς ἐπαρχίας μητροπολίτου ἐπὶ τὸ προίστασθαι ἀρχιερατικῶς καὶ ἐκ τοῦ σύνεγγυς τὰ πνευματικὰ τῶν αὐτόθι κατοίκων συμφέροντα προστατεύειν· ἐπεὶ δὲ τὸ μέτρον τοῦτο, καίπερ σημαντικῶς τὰς ἀνάγκας καὶ τοὺς πόθους τῶν ἐνοικούντων ἱκανοποιῆσαν, ὅμως οὐκ εἰς τέλος ἐφάνη τὰ πράγματα θεραπεῦον, τῶν χριστιανῶν τοῦ τμήματος καὶ αὖθις καὶ πολλάκις δι' ἀναφορῶν καὶ αἰτήσεων τὴν σύστασιν ἰδίας αὐτοτελοῦς ἐπαρχίας ὡς τὸ μόνον ἐνδεικνύμενον τελεσφόρον μέτρον ἐκλιπαρούντων καὶ ἐξαιτουμένων, σκέψις καὶ αὖθις ἐγένετο συνοδικὴ τὸν προσήκοντα ἐξευρεῖν τρόπον τῆς θεραπείας καὶ διορθώσεως. Μετὰ οὖν τῆς ὀφειλομένης ἐπιστασίας ἐπανειλημμένως περὶ τούτου διασκεψάμενοι συνοδικῶς, καὶ τοῦτο μὲν τὰς ἀνάγκας καὶ περιστάσεις τῶν ἐν τῷ εἰρημένῳ τμήματι πολυπληθῶν εὐσεβῶν χριστιανῶν ὑπ' ὄψιν λαβόντες, τοῦτο δὲ καὶ περὶ τῆς ἐπαρκείας τοῦ μέρους λόγῳ τε πληθυσμοῦ καὶ τῆς ἄλλης ἐπιδόσεως καὶ ἀναπτύξεως βεβαιωθέντες, οὐ μὴν δ' ἀλλὰ καὶ τὴν προσδοκωμένην λυσιτέλειαν καὶ τὴν ἐπὶ τὰ βελτίω διαθέρμανσιν τῶν κατοίκων πρὸ ὀφθαλμῶν ἔχοντες, ἔγνωμεν τῇ ἔκπαλαι στοιχοῦντες καὶ παραδεδομένῃ τάξει καὶ τῷ ἐκκλησιαστικῷ ἔθει, μετὰ σταθμίσεως δὲ καὶ τῆς προσηκούσης ἀσφαλείας καὶ τῶν τοῦ κανονικοῦ τῆς ἐπαρχίας ἀρχιερέως δικαίων ἀποχωρίσαι τὸ εἰρημένον τμῆμα Σαράντα Ἐκκλησιῶν ἀπὸ τῆς ἐπαρχίας Ἀδριανουπόλεως καὶ εἰς ἰδίαν αὐτοτελῆ μητρόπολιν τιμῆσαι καὶ προαγαγεῖν, ὑπὸ τὴν ἄμεσον τελοῦσαν ἐξάρτησιν καὶ ὑποταγὴν τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ θρόνου, πρὸς αὐτόν τε μόνον τὴν ἀναφορὰν ἔχουσαν καὶ ὑπ' αὐτοῦ δεσποζομένην καὶ ἐξουσιαζομένην κατὰ τὴν τάξιν καὶ τοὺς ὅρους καὶ τῶν λοιπῶν τοῦ καθ' ἡμᾶς κλίματος ἱερῶν μητροπόλεων. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρ-

χιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ εἰρημένον τμῆμα Σαράντα Ἐκκλησιῶν, συγκείμενον ἐκ τῆς πόλεως Σαράντα Ἐκκλησιῶν καὶ τῶν χωρίων Σκοποῦ, Γέννας, Μπουνὰρ-χισσάρ, Σκεπαστοῦ, Εὐκαρύου, Κουρούδερε, Γιανδζικλάρ, Κουγιούντερε, Κουγιοὺν-Κιαβούρ, Πέτρας καὶ Σκοπέλου, διὰ τοὺς προεκτεθέντας εὐλογοφανεῖς λόγους καὶ ἐκ κανονικῆς ἀποφάσεως ὑπάρχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ εἰς αἰῶνα τὸν ἅπαντα καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται μητρόπολις τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, ὁ δὲ ἐν αὐτῷ διὰ κανονικῶν ψήφων ἐγκατασταθησόμενος ἀρχιερεὺς καὶ οἱ μετ' αὐτὸν τιτλοφορῶνται ἱερώτατοι μητροπολῖται Σαράντα Ἐκκλησιῶν καὶ ὑπέρτιμοι, φυλάττοντες τὴν κανονικὴν διάταξιν τοῦ μνημονεύειν τοῦ πατριαρχικοῦ ὀνόματος, συναριθμούμενοι δὲ πγ' ἐν τῇ τάξει καὶ τῇ χορείᾳ τῶν λοιπῶν τοῦ θρόνου μητροπολιτῶν, καθ' ἃ καὶ ἐν τῷ συνταγματίῳ ἀναγέγραπται, στάσιν τε καὶ ἕδραν τὴν ἀνάλογον ἐν ταῖς ἐκκλησιαστικαῖς χοροστασίαις καὶ συνελεύσεσιν ἔχοντες, ποιμαίνοντες δὲ θεοφιλῶς καὶ θεαρέστως τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, εὐλογοῦντες τε καὶ ἁγιάζοντες αὐτό καὶ πάντα ἁπαξαπλῶς ἐκτελοῦντες τὰ ἀρχιερατικὰ ὡς γνήσιοι καὶ κανονικοὶ τῆς ἐπαρχίας ἀρχιερεῖς μετὰ καὶ τῆς ἐν τῷ ἱερῷ συνθρόνῳ ἐγκαθιδρύσεως. Ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν τῇ θεοσώστῳ ταύτῃ ἐπαρχίᾳ ἐνοικοῦντες εὐλογημένοι χριστιανοί, ἱερωμένοι τε καὶ λαικοί, ἀναγνωρίζειν τὸν ἑκάστοτε ἀρχιερατεύοντα μητροπολίτην αὐτῶν καὶ πειθαρχεῖν καὶ ὑποτάσσεσθαι αὐτῷ ὡς κανονικῷ αὐτῶν ἀρχιερεῖ καὶ πνευματικῷ πατρὶ καὶ ποιμένι, λόγον μέλλοντι δοῦναι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐνώπιον τοῦ ἀδεκάστου Κριτοῦ ἐν ἡμέρᾳ τῆς τῶν ἔργων ἀνταποδόσεως, προθύμως, φιλοτίμως καὶ τακτικῶς καὶ τὴν εἰς τριάκοντα ἑπτὰ χιλιάδας γρόσια ὁρισθεῖσαν ἐτησίαν ἀρχιερατικὴν ἐπιχορήγησιν, ἐν ᾗ συμπεριείληπται καὶ ἡ ἐκ δύο χιλιάδων γροσίων πατριαρχικὴ ἐπιχορήγησις, καταβάλλοντες καθὼς καὶ τὰ λοιπὰ ἀρχιερατικὰ δικαιώματα, κύριά τε καὶ τυχηρά, εἰς ἀξιοπρεπῆ συντήρησιν τοῦ οἰκείου ποιμένος. Ταῦτα ἔδοξαν, ἀπεφασίσθησαν καὶ ἐκυρώθησαν συνοδικῶς. Εἰς δὲ περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, καταστρωθεὶς καὶ ὑπογραφεὶς ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει σωτηρίῳ ,αΨς', κατὰ μῆνα μάϊον, ἐπινεμήσεως δ'.

† Ὁ πατριάρχης Κωνσταντινουπόλεως Ἰωακεὶμ ἀποφαίνεται.

Ὁ Κυζίκου Ἀθανάσιος — Ὁ Νικομηδείας Φιλόθεος—Ὁ Πισιδίας Γεράσιμος — Ὁ Τραπεζοῦντος Κωνστάντιος — Ὁ Μηθύμνης Στέφανος — Ὁ Χίου Κωνσταντῖνος — Ὁ Μαρωνείας Νικόλαος — Ὁ Σηλυβρίας Διονύσιος — Ὁ Σισανίου καὶ Σιατίστης Σεραφείμ — Ὁ Δρυϊνουπόλεως Λουκᾶς —Ὁ Κολωνίας Πολύκαρπος— Ὁ Βελλᾶς καὶ Κονίτσης Κωνσταντῖνος.

XCV'. 1907, μαρτ., ινδ. V'. Τομὸς πατριάρχα Ιοακιμα III και ϲυνοδικοῦ περὶ ἀποκαταϲτάϲεωϲ τῆϲ μητροπόλεωϲ Τυρολόης καὶ Ϲερεντίου.

† Ἰωακεὶμ ἐλέῳ Θεοῦ κτλ.

Τὴν κοινὴν πάντων ἐπιμέλειαν ἔργον προὐργιαίτατον ἡ μήτηρ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία διηνεκῶς ποιουμένη οὐδὲν ἀθεράπευτον καὶ ἀπρονόητον παρορᾶν καὶ ἀφιέναι ἀνέχεται, ἀλλὰ περὶ τῶν δεόντων χρησίμων φιλοστόργως φροντίζουσα τὰ προσήκοντα εὐκαίρως οἰκονομεῖ, τὴν πρόσφορόν τε τάξιν καὶ κατάστασιν ἑκάστῳ ἐπάγεται. Οὕτω δὴ καὶ περὶ τῆς πρὸς τὸ ἀνυσιμώτερον καὶ εὐσυνακτότερον ἐπιδόσεως τῶν τῆς ἐκκλησιαστικῆς διοικήσεως πραγμάτων ἐν ταῖς ὑφ' ἑαυτὴν θεοσώστοις ἐπαρχίαις ἀξιοχρέως φροντίζουσα, εἴωθεν ἀνέκαθεν τὰς ἐνδεικνυμένας ὑπὸ τῶν περιστάσεων ἐπάγειν ἑκασταχοῦ μεταλλαγὰς καὶ μεταβολάς, πρὸς τὰς συμβαινούσας τοπικὰς ἢ καιρικὰς ἀνάγκας καὶ χρείας τὰ τῶν ἐπαρχιακῶν διοικήσεων ὅρια συμβιβάζουσα καὶ ῥυθμίζουσα, εἰς μείζονα καὶ ἀσφαλεστέραν τὴν προστασίαν, οἰκοδομήν τε καὶ σωτηρίαν τοῦ ἐν αὐταῖς χριστεπωνύμου λαοῦ. Πάντα γὰρ κατὰ τὸ χρεὼν καὶ πρὸς οἰκοδομήν, κατὰ τὸ ἀποστολικὸν παράγγελμα, ὀφείλουσι γίνεσθαι. Ἐπειδὴ τοίνυν καὶ τὸ ἐν τῇ θεοσώστῳ ἐπαρχίᾳ Ἡρακλείας καὶ Ῥαιδεστοῦ τμῆμα Τυρολόης καὶ Σερεντίου, ἰδίαν πάλαι καὶ ἀνέκαθεν ἀποτελοῦν ἐπισκοπήν, καὶ εἰς μητρόπολιν ἐν τέλει αὐτοτελῆ προαχθεῖσαν, ἔφθασε μὲν πρὸ ἐτῶν οὐ πολλῶν, διὰ τὰς συμβάσας τοπικὰς περιστάσεις καὶ τὴν ἐπιμαρτυρηθεῖσαν στενοχωρίαν καὶ ἀνεπάρκειαν εἰς τὸ συντηρεῖν τὸν ἴδιον ἀρχιερέα, συγχωνευθὲν ὑπὸ τῆς Ἐκκλησίας προνοητικῶς μετὰ τῆς θεοσώστου ἐπαρχίας καὶ μητροπόλεως Ἡρακλείας καὶ Ῥαιδεστοῦ, ἀλλὰ τῶν κατ' αὐτὸ πραγμάτων ἱκανῶς ἔκτοτε τῇ τοῦ Θεοῦ εὐλογίᾳ καὶ χάριτι βελτιωθέντων καὶ εἰς ἐπίδοσιν προαχθέντων, οὐκέτι, ὡς εἰκός, ταῖς αὐταῖς νῦν εὕρηται συνεχόμενον ἀνάγκαις καὶ περιστάσεσιν, οἱ δὲ κατ' αὐτὸ εὐσεβεῖς καὶ φιλότιμοι κάτοικοι, τὴν ἀποκατάστασιν τῆς ἰδίας ἐπαρχίας ποθοῦντες, συνεχῶς ἤδη δι' αἰτήσεων καὶ ἀναφορῶν ἀνηνέχθησαν πρὸς τὴν Ἐκκλησίαν μὴ παριδεῖν τὸν δίκαιον πόθον αὐτῶν τοῦτον ἐνθέρμως ἐκλιπαροῦντες, ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερ-

τιμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, εἰς τὰς συνεχεῖς καὶ ἐνθέρμους ταύτας αἰτήσεις εὐμενῶς ἐνδίδοντες καὶ τὴν βεβαιουμένην ἐπάρκειαν τοῦ μέρους λόγῳ τε πληθυσμοῦ καὶ τῆς ἄλλης προόδου καὶ ἐπιδόσεως ὑπ' ὄψιν ἔχοντες, οὐ μὴν δ' ἀλλὰ καὶ εἰς τὴν προσδοκωμένην λυσιτέλειαν καὶ τὴν πνευματικὴν ὠφέλειαν καὶ ἐπὶ τὰ καλὰ διαθέρμανσιν τῶν εὐσεβῶν καὶ φιλοτίμων κατοίκων ἀφορῶντες, ἔγνωμεν προφρόνως, μετὰ τὴν προσήκουσαν συνοδικὴν ἐξέτασιν καὶ διάσκεψιν, ἀποκαταστῆσαι τὸ εἰρημένον τμῆμα εἰς τὴν προτέραν ἀξίαν καὶ τιμήν, ἀνακηρύττοντες αὐτὸ καὶ αὖθις εἰς ἰδίαν αὐτοτελῆ μητρόπολιν, τελοῦσαν ὑπὸ τὴν ἄμεσον ἐξάρτησιν καὶ ὑποταγὴν τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ θρόνου, πρὸς αὐτόν τε μόνον τὴν ἀναφορὰν αὐτῆς ἔχουσαν καὶ ὑπ' αὐτοῦ δεσποζομένην καὶ ἐξουσιαζομένην, κατὰ τὴν τάξιν καὶ τοὺς ὅρους καὶ τῶν λοιπῶν τοῦ καθ' ἡμᾶς κλίματος ἱερῶν μητροπόλεων. Γράφοντες οὖν ἀποφαινόμεθα συνοδικῶς, ἵνα τὸ εἰρημένον τμῆμα Τυρολόης καὶ Σερεντίου, συγκείμενον ἐκ τῶν πόλεων καὶ χωρίων Τυρολόης, Τσεγκερλῆ, Πασαλῆ, Καράσινιρ, Κερμενίου, Ἐσέτζε, Ὄξουζτσε, Μουσελήμ, Ἅρμασα, Τσικοὺρ-Τσεγκέλ, Τσαουσλῆ, Κιοστεμίρ, Πεδζελέρ, Ἀβλάμπεη, Μασατλῆ, Κερκεπεκλῆ, Ὁμούρδζαχ, Σειμέν, Στράντζης, Καρατζάκιοϊ, Ἀσκοῦ, Βελιγραδίου καὶ Δὰγ-Γενίκιοι, διὰ τοὺς προεκτεθέντας εὐλογοφανεῖς λόγους καὶ ἐκ κανονικῆς ἀποφάσεως ὑπάρχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ εἰς αἰῶνα τὸν ἅπαντα καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται μητρόπολις τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, ὁ δὲ ἐν αὐτῇ διὰ κανονικῶν ψήφων ἐγκαθιστάμενος ἀρχιερεὺς τιτλοφορῆται ἱερώτατος μητροπολίτης Τυρολόης καὶ Σερεντίου καὶ ὑπέρτιμος, φυλάττων τὴν κανονικὴν διάταξιν τοῦ μνημονεύειν τοῦ πατριαρχικοῦ ὀνόματος, συναριθμούμενος δὲ πὸ' ἐν τῇ τάξει καὶ τῇ χορείᾳ τῶν λοιπῶν τοῦ θρόνου μητροπολιτῶν, καθ' ἃ καὶ ἐν τῷ συνταγματίῳ ἀναγέγραπται, στάσιν τε καὶ ἕδραν τὴν ἀνάλογον ἐν ταῖς ἐκκλησιαστικαῖς χοροστασίαις καὶ συνελεύσεσιν ἔχων, ποιμαίνειν δὲ θεοφιλῶς καὶ θεαρέστως τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, εὐλογῶν τε καὶ ἁγιάζων αὐτὸ καὶ πάντα ἁπαξαπλῶς ἐκτελῶν τὰ ἀρχιερατικὰ ὡς γνήσιος καὶ κανονικὸς τῆς ἐπαρχίας ἀρχιερεὺς μετὰ καὶ τῆς ἐν τῷ ἱερῷ συνθρόνῳ ἐγκαθιδρύσεως. Οἱ δὲ ἐν τῇ θεοσώστῳ ταύτῃ ἐπαρχίᾳ ἐνοικοῦντες εὐλογημένοι χριστιανοί, ἱερωμένοι τε καὶ λαικοί, ὀφείλουσι πάντες ἀναγνωρίζειν τὸν ἑκάστοτε ἀρχιερατεύοντα μητροπολίτην αὐτῶν καὶ πειθαρχεῖν καί ὑποτάσσεσθαι αὐτῷ ὡς κανονικῷ αὐτῶν ἀρχιερεῖ καὶ πνευματικῷ ποιμένι, λόγον μέλλοντι δοῦναι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐνώπιον τοῦ ἀδεκάστου Κριτοῦ ἐν ἡμέρᾳ τῆς τῶν ἔργων ἀνταποδόσεως, καταβάλλειν τε προθύμως, φι-

λοτίμως καὶ τακτικῶς αὐτῷ καὶ τὴν εἰς τεσσαράκοντα χιλιάδας γροσίων (40000) ὁρισθεῖσαν ἀρχιερατικὴν ἐπιχορήγησιν, ἐν ᾗ συμπεριείληπται καὶ ἡ ἐκ χιλίων πεντακοσίων γροσίων πατριαρχικὴ ἐπιχορήγησις καὶ τὸ ἐκ χιλίων διακοσίων γροσίων ἐτήσιον ἐπίδομα ὑπὲρ τῆς ἐν Χάλκῃ ἱερᾶς θεολογικῆς σχολῆς, καὶ τὰ λοιπὰ ἀρχιερατικὰ δικαιώματα, κύριά τε καὶ τυχηρά, εἰς ἀξιοπρεπῆ συντήρησιν τοῦ ἀρχιερέως καὶ ποιμένος αὐτῶν. Ταῦτα ἔδοξαν, ἀπεφασίσθησαν καὶ ἐκυρώθησαν συνοδικῶς. Εἰς δὲ περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, καταστρωθεὶς καὶ ὑπογραφεὶς ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἀντίγραφον δ' αὐτοῦ φέρον τὴν πατριαρχικὴν ἡμῶν ἐπικύρωσιν ἐπεδόθη καὶ τῷ ἐκλεγέντι ἱερωτάτῳ μητροπολίτῃ Τυρολόης καὶ Σερεντίου καὶ ὑπερτίμῳ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῖν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Νικηφόρῳ.

Ἐν ἔτει ,αΠΖ', κατὰ μῆνα μάρτιον, ἐπινεμήσεως ε'.

Ὁ πατριάρχης Κων/πόλεως Ἰωακεὶμ ἀποφαίνεται.

Ὁ Κυζίκου Ἀθανάσιος — Ὁ Νικομηδείας Φιλόθεος — Ὁ Πελαγωνείας Ἰωακεὶμ — Ὁ Ἰκονίου Ἀθανάσιος — Ὁ Μηθύμνης Στέφανος — Ὁ Μαρωνείας Νικόλαος — Ὁ Σηλυβρίας Διονύσιος — Ὁ Χίου Κωνσταντῖνος — Ὁ Γρεβενῶν Ἀγαθάγγελος — Ὁ Σισανίου καὶ Σιατίστης Σεραφεὶμ — Ὁ Δρυϊνουπόλεως Λουκᾶς — Ὁ Κολωνίας Πολύκαρπος.

XCVI. 1908, августъ, инд. VI. Томъ патріарха Іоакима III и священнаго синода объ учрежденіи Кидонійской митрополіи.

† Ἰωακεὶμ κτλ.

Ἴδιον τῆς ἐκκλησιαστικῆς προνοίας ἐστὶ τοῖς προσήκουσιν ἀντιληπτικοῖς τρόποις τὰ εἰς οἰκοδομὴν τοῦ χριστεπωνύμου πληρώματος κατεργάζεσθαι, τάξιν τε τὴν πρόσφορον ἑκάστῳ προσάγειν καὶ ἁπλῶς πάντα κατὰ τὸ χρεὼν καὶ ἐπὶ τὸ ἀνυσιμώτερον οἰκονομεῖν καὶ διατάττεσθαι. Ἐμμελῶς γὰρ καὶ κατὰ τὰς συμβαινούσας ἀνάγκας ἐπιφερομένη ἡ τῆς Ἐκκλησίας θεραπεία καὶ μητρικὴ πρόνοια εἰκότως μείζονα τὴν ὠφέλειαν ἀπεργάζεται. Ἐπειδὴ τοίνυν καὶ οἱ τῆς πόλεως Κυδωνιῶν τῆς θεοσώστου ἐπαρχίας Ἐφέσου ὀρθόδοξοι χριστιανοὶ ἀνηνέχθησαν πρὸς τὴν Ἐκκλησίαν καὶ τὰς ἀνάγκας καὶ τὸν πόθον αὐτῶν ἐκδηλοῦντες καὶ ὑποβάλλοντες ἐνθέρμως καὶ πολλάκις τὴν εἰς ἰδιαιτέραν ἐπαρχίαν ἀνάδειξιν τῆς πόλεως καὶ τοῦ τμήματος αὐτῶν ἐξελιπάρησαν, ὡς λόγῳ τε πληθυσμοῦ καὶ διὰ τὴν ἄλλην ἐν πᾶσιν ἐπίδοσιν ἄξιοι ὄντες ἵνα τοιαύτης φιλοτιμίας ἐκκλη-

σιαστικῆς τύχοιεν, τὸν πόθον δὲ καὶ τὴν αἴτησιν αὐτῶν ταύτην καὶ μετὰ τὴν εὐμενείᾳ ἐκκλησιαστικῇ ἐφαρμογὴν διαφόρων ὑπὲρ τοῦ τμήματος αὐτῶν ἐξαιρετικῶν μέτρων οὐκ ἐπαύσαντο καὶ αὖθις καὶ συνεχῶς ἐπαναλαμβάνοντες, ὡς ταύτης μόνης τῆς ὁριστικῆς διευθετήσεως δυναμένης τὰ πράγματα εἰς τὴν ἐφετὴν καὶ σωτηριώδη ὁμαλότητα καὶ εὐστάθειαν ἀπὸ τῆς γεννηθείσης ἀφ' ἱκανοῦ ἐν τῇ κοινότητι αὐτῶν διαταράξεως καὶ ἀνωμαλίας ἀποκαταστῆσαι, ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ ἡμᾶς ἁγίας καὶ ἱερᾶς συνόδου, μετ' ἐπιστασίας περὶ τοῦ αἰτήματος αὐτῶν τούτου διασκεψάμενοι καὶ τὴν γνώμην δὲ καὶ τοῦ οἰκείου κυριάρχου ἱερωτάτου μητροπολίτου Ἐφέσου ὑπ' ὄψει ἔχοντες, καὶ τοῦτο μὲν πρὸς τὰς ἀνάγκας καὶ τὰς περιστάσεις τῶν αὐτόθι χριστιανῶν ἀποβλέποντες, τοῦτο δὲ καὶ περὶ τῆς ἐπαρκείας τοῦ μέρους λόγῳ τε πληθυσμοῦ καὶ τῆς ἄλλης ἐπιδόσεως καὶ ἀναπτύξεως βεβαιωθέντες, οὐ μὴν δ' ἀλλὰ καὶ εἰς τὴν προσδοκωμένην λυσιτέλειαν καὶ τὴν μείζονα ἐν τῇ εὐσεβείᾳ καὶ τῇ ἀρετῇ διαθέρμανσιν καὶ προκοπὴν τῶν κατοίκων ἀποσκοποῦντες, δεῖν ἔγνωμεν ἀποχωρίσαι τὸ εἰρημένον τμῆμα Κυδωνιῶν ἀπὸ τοῦ λοιποῦ μέρους τῆς θεοσώστου ἐπαρχίας Ἐφέσου καὶ εἰς ἰδίαν τιμῆσαι καὶ ἀναδεῖξαι αὐτοτελῆ ἐπαρχίαν καὶ μητρόπολιν, ὑπὸ τὴν ἄμεσον τελοῦσαν ἐξάρτησιν καὶ ὑποταγὴν τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, καὶ πρὸς αὐτὸν μόνον τὴν ἀναφορὰν αὐτῆς ἔχουσαν, κατὰ τὴν τάξιν καὶ τοὺς ὅρους καὶ τῶν λοιπῶν τοῦ καθ' ἡμᾶς κλίματος ἱερῶν μητροπόλεων. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ εἰρημένη πόλις Κυδωνιῶν καὶ τὰ περὶ αὐτὴν χωρία, Ἁγιασμάτιον, Γενιτσαροχώριον καὶ Ἀρμούτμβασι, διὰ τοὺς προεκτεθέντας εὐλογοφανεῖς λόγους καὶ ἐκ κανονικῆς ἀποφάσεως, ὑπάρχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ εἰς αἰῶνα τὸν ἅπαντα καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται μητρόπολις τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, οἱ δὲ ἐν αὐτῇ διὰ κανονικῶν ψήφων ἀποκαθιστάμενοι ἀρχιερεῖς τιτλοφορῶνται ἱερώτατοι μητροπολῖται Κυδωνιῶν καὶ ὑπέρτιμοι, φυλάττοντες τὴν κανονικὴν διάταξιν τοῦ μνημονεύειν τοῦ πατριαρχικοῦ ὀνόματος, συναριθμούμενοι πε' ἐν τῇ τάξει καὶ χορείᾳ τῶν λοιπῶν τοῦ θρόνου μητροπολιτῶν, καθ' ἃ καὶ ἐν τῷ συνταγματίῳ ἀναγέγραπται, καὶ στάσιν καὶ ἕδραν τὴν ἀνάλογον ἐν ταῖς ἐκκλησιαστικαῖς χοροστασίαις καὶ συνελεύσεσιν ἔχοντες. Ὀφείλουσι δὲ ἅμα ποιμαίνειν θεοφιλῶς καὶ θεαρέστως τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, εὐλογεῖν τε καὶ ἁγιάζειν αὐτὸ καὶ πάντα ἁπαξαπλῶς τὰ ἀρχιερατικὰ ἐκτελεῖν ὡς γνήσιοι καὶ κανονικοὶ τῆς ἐπαρχίας ἀρχιερεῖς, μετὰ καὶ τῆς ἐν τῷ ἱερῷ συνθρόνῳ ἐγκα-

θιδρύσεως. Οἱ δὲ ἐν τῇ θεοσώστῳ ταύτῃ ἐπαρχίᾳ ἐνοικοῦντες εὐλογημένοι χριστιανοί, ἱερωμένοι τε καὶ λαϊκοί, ὀφείλουσι πάντες ἀναγνωρίζειν τὸν ἑκάστοτε ἀρχιερατεύοντα μητροπολίτην αὐτῶν καὶ πειθαρχεῖν καὶ ὑποτάσσεσθαι αὐτῷ ὡς κανονικῷ πατρὶ καὶ ποιμένι, λόγον μέλλοντι δοῦναι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐνώπιον τοῦ ἀδεκάστου Κριτοῦ ἐν ἡμέρᾳ τῆς τῶν ἔργων ἀνταποδόσεως, καταβάλλειν τε προθύμως καὶ μετὰ φιλοτιμίας καὶ τακτικῶς καὶ τὴν εἰς πεντήκοντα χιλιάδας (50000) γροσίων ὁρισθεῖσαν ἐτησίαν ἀρχιερατικὴν ἐπιχορήγησιν, ἐν ᾗ συμπεριείληπται καὶ ἡ ἐκ γροσίων δύο χιλιάδων πεντακοσίων πατριαρχικὴ ἐπιχορήγησις καὶ τὸ ἐκ γροσίων δύο χιλιάδων πεντακοσίων ἐτήσιον ἐπίδομα ὑπὲρ τῆς ἐν Χάλκῃ ἱερᾶς θεολογικῆς σχολῆς, καθὼς καὶ πάντα τὰ λοιπὰ ἀρχιερατικὰ δικαιώματα, κύριά τε καὶ τυχηρά, εἰς ἀξιοπρεπῆ συντήρησιν τοῦ ἀρχιερέως καὶ πνευματικοῦ πατρὸς καὶ ποιμένος αὐτῶν. Ταῦτα οὕτως ἔδοξαν, ἀπεφασίσθησαν καὶ ἐκυρώθησαν συνοδικῶς. Εἰς δὲ μόνιμον καὶ διηνεκῆ ἔνδειξιν καὶ ἀσφάλειαν αὐτῶν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, καταστρωθεὶς καὶ ὑπογραφεὶς ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἀντίγραφον δὲ αὐτοῦ φέρον τὴν πατριαρχικὴν ἡμῶν ἐπικύρωσιν ἐπεδόθη καὶ τῷ ἐκλεγέντι ἤδη ἱερωτάτῳ μητροπολίτῃ Κυδωνιῶν καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῖν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Γρηγορίῳ.

Ἐν ἔτει ,αΨη', κατὰ μῆνα αὔγουστον, ἐπινεμήσεως στ'.

Ὁ πατριάρχης Κων/πόλεως Ἰωακεὶμ ἀποφαίνεται.

Ὁ Κυζίκου Ἀθανάσιος — Ὁ Νικομηδείας Φιλόθεος — Ὁ Πελαγωνείας Ἰωακείμ — Ὁ Διδυμοτείχου Φιλάρετος — Ὁ Γρεβενῶν Ἀγαθάγγελος — Ὁ Σερβίων καὶ Κοζάνης Κωνστάντιος — Ὁ Στρωμνίτσης Γρηγόριος — Ὁ Ἡλιουπόλεως Ταράσιος.

XCVII. 1909, январь, инд. VII. Томъ патріарха Іоакима III и священнаго синода о возведеніи епископіи Миріофита и Перистасиса въ достоинство митрополіи.

† Ἰωακεὶμ κτλ.

Καλῶς καὶ συμφερόντως κατὰ τὸ χρεὼν καὶ πρὸς οἰκοδομὴν τοῦ χριστωνύμου πληρώματος ἡ τοῦ Χριστοῦ Ἐκκλησία τὰ πάντα οἰκονομοῦσα καὶ διεξάγουσα καὶ τοῦτο ἐναρίθμιον τοῖς πολυειδέσιν καὶ ἀρίστοις ἔχει τρόποις τῆς καλῆς οἰκονομίας, τὸ τὰς προσφόρους εὐκαίρως ἐπάγειν ἐν τῇ κατὰ τόπους ἐκκλησιαστικῇ διοικήσει μεταβολάς, κατὰ τὰς τῶν καιρῶν καὶ τῶν πραγμάτων ἐνδείξεις καὶ ἀπαι-

τήσεις τὰ τῆς διοικήσεως ταύτης διαρρυθμίζουσα. Εἴπερ γὰρ τὸ τῆς τοιαύτης διοικήσεως τέλος ἡ σωτηρία ἐστὶ καὶ ἡ ἀσφάλεια καὶ ἡ ἐποικοδόμησις τῶν πιστῶν, εἰκότως πρὸς τὰς τούτων ἀνάγκας καὶ τὴν ὠφέλειαν ἐκείνην χρὴ προσαρμόζεσθαι, ἵνα ἐμμελῶς καὶ τελεσφόρως τὰ τῆς πνευματικῆς προστασίας καὶ διακυβερνήσεως διεξάγωνται. Ἐν οἷς ἐστι καὶ τὸ τὰς ἐπισκοπὰς εὐκαίρως εἰς ὕψος ἀνάγειν μητροπόλεων, ἐπειδὰν κρειττόνως διὰ τῆς τοιαύτης ἐκκλησιαστικῆς φιλοτιμίας αἱ ἀνάγκαι τῶν ἐν αὐταῖς χριστιανῶν θεραπεύωνται καὶ εἰς μείζονα οὕτοι οὕτω τὴν κατὰ Θεὸν ἐπίδοσιν καὶ καρποφορίαν προάγωνται. Ὅθεν τοι καὶ περὶ τῆς ἱερᾶς ἐπισκοπῆς Μυριοφύτου καὶ Περιστάσεως, τῆς ὑποκειμένης τῇ ἁγιωτάτῃ μητροπόλει Ἡρακλείας καὶ Ῥαιδεστοῦ, εὐμενῶς λαβόντες ὑπ᾽ ὄψιν τὴν ἡν ἐπανειλημμένως οἱ εὐσεβεῖς αὐτῆς κάτοικοι ὑπέβαλον πρὸς τὴν Ἐκκλησίαν διάθερμον αἴτησιν περὶ προαγωγῆς καὶ ἀναδείξεως τῆς ἐπισκοπῆς αὐτῶν εἰς μητρόπολιν αὐτοτελῆ, ὡς τὰ μάλα τῆς τοιαύτης ἀναδείξεως εἰς κρείττονα μελλούσης συντελέσειν τῶν διαφόρων ἐπαρχιακῶν ὑποθέσεων διεξαγωγὴν καὶ εἰς ἀνυσιμωτέραν προστασίαν τῶν ἐκκλησιαστικῶν, ἐκπαιδευτικῶν καὶ κοινοτικῶν συμφερόντων, τοὺς δὲ λόγους τούτους ἀποχρῶντας κρίναντες καὶ εὐλογοφανῆ τὴν προσδοκωμένην ὠφέλειαν τοῖς ἐνοίκοις χριστιανοῖς, ἔτι δὲ καὶ θερμότερον ἀναδειχθῆναι τὸν ζῆλον αὐτῶν εἰς προκοπὴν ἐν τῇ πίστει καὶ εἰς τὴν τῶν κοινῶν πραγμάτων εὐόδωσιν εἰκότως ἀπεκδεχόμενοι, δεῖν ἔγνωμεν συνοδικῶς τιμῆσαι καὶ ἀνυψῶσαι τὴν εἰρημένην ἐπισκοπὴν εἰς μητρόπολιν, καθυπαγαγεῖν τε αὐτὴν ὑπὸ τὴν ἄμεσον ἐξάρτησιν καὶ ὑποταγὴν τοῦ καθ᾽ ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, μηδεμίαν ἐφεξῆς ἐχούσης ἐπ᾽ αὐτῆς δικαιοδοσίαν καὶ ἐξουσίαν τῆς ἁγιωτάτης μητροπόλεως Ἡρακλείας καὶ Ῥαιδεστοῦ. Καὶ δὴ γράφοντες μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ἀποφαινόμεθα ἵνα ἡ ῥηθεῖσα ἐπισκοπὴ Μυριοφύτου καὶ Περιστάσεως διὰ τοὺς προεκτεθέντας εὐλογοφανεῖς λόγους ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ εἰς αἰῶνα τὸν ἅπαντα ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται μητρόπολις, ὁ δὲ νῦν ἀρχιερατεύων ἐν αὐτῇ τιτλοφορῆται αὐτὸς καὶ οἱ μετ᾽ αὐτὸν διάδοχοι τῆς ἁγιωτάτης ταύτης μητροπόλεως ἱερώτατος μητροπολίτης Μυριοφύτου καὶ Περιστάσεως καὶ ὑπέρτιμος, φυλάττων τὴν κανονικὴν διάταξιν τοῦ μνημονεύειν τοῦ πατριαρχικοῦ ὀνόματος, συναριθμούμενος δὲ τελευταῖος, τό γε νῦν, ἐν τῇ τάξει καὶ τῇ χορείᾳ τῶν λοιπῶν ἱερωτάτων μητροπολιτῶν τοῦ καθ᾽ ἡμᾶς κλίματος, ἤγουν πς′, οἷος καὶ ἐν τῷ συνταγματίῳ ἀναγέγραπται, ἔχων τε αὐτός τε καὶ οἱ αὐτὸν διαδεξόμενοι τὴν στάσιν καὶ ἕδραν τὴν ἀνάλογον ἐν ταῖς ἐκκλησιαστικαῖς χοροστασίαις καὶ συνελεύσεσιν. Ὀφείλει δὲ ποιμαίνειν θεοφιλῶς καὶ

θεαρέστως τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, εὐλογεῖν τε καὶ ἁγιάζειν αὐτὸ καὶ πάντα τὰ ἀρχιερατικὰ ἐπιτελεῖν ὡς γνήσιος τῆς ἐπαρχίας ἀρχιερεὺς μετὰ καὶ τῆς ἐν τῷ ἱερῷ συνθρόνῳ ἐγκαθιδρύσεως. Οἱ δὲ ἐν τῇ θεοσώστῳ ταύτῃ ἐπαρχίᾳ ἐνοικοῦντες εὐλογημένοι χριστιανοί, ἱερωμένοι τε καὶ λαϊκοί, ὀφείλουσιν ἀναγνωρίζειν τὴν αὐτοῦ ἱεράτητα μητροπολίτην τῆς ἁγιωτάτης μητροπόλεως Μυριοφύτου καὶ Περιστάσεως, πειθαρχεῖν τε καὶ ὑποτάσσεσθαι αὐτῷ ὡς κανονικῷ αὐτῶν ἀρχιερεῖ καὶ πνευματικῷ πατρὶ καὶ ποιμένι, λόγον μέλλοντι δοῦναι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐνώπιον τοῦ ἀδεκάστου Κριτοῦ ἐν ἡμέρᾳ τῆς τῶν ἔργων ἀνταποδόσεως. Ταῦτα οὕτως ἔδοξαν, ἀπεφασίσθησαν καὶ ἐκυρώθησαν συνοδικῶς. Εἰς δὲ μόνιμον καὶ διηνεκῆ ἔνδειξιν καὶ ἀσφάλειαν αὐτῶν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, καταστρωθεὶς καὶ ὑπογραφεὶς ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἀντίγραφον δ' αὐτοῦ φέρον τὴν πατριαρχικὴν ἡμῶν ἐπικύρωσιν ἀπεστάλη καὶ τῷ ἱερωτάτῳ μητροπολίτῃ Μυριοφύτου καὶ Περιστάσεως καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῖν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Φιλοθέῳ.

Ἐν ἔτει ,αΨΘ', κατὰ μῆνα ἰανουάριον, ἐπινεμήσεως ζ'.

† Ὁ πατριάρχης Κων/πόλεως Ἰωακεὶμ ἀποφαίνεται.

Ὁ Κυζίκου Ἀθανάσιος — Ὁ Νικομηδείας Φιλόθεος — Ὁ Διδυμοτείχου Φιλάρετος — Ὁ Χίου Κωνσταντῖνος — Ὁ Σωζοαγαθουπόλεως Δωρόθεος — Ὁ Ξάνθης Ἰωακείμ — Ὁ Γρεβενῶν Ἀγαθάγγελος — Ὁ Σερβίων καὶ Κοζάνης Κωνστάντιος — Ὁ Λέρου καὶ Καλύμνου Γερμανός — Ὁ Ἡλιουπόλεως Ταράσιος.

XCVIII. 1909, октябрь, инд. VIII. Томъ патріарха Іоакима III и священнаго синода о возведеніи епископіи Метръ и Аѳиръ въ митрополію.

Τόμος ἀνακηρύξεως τῆς ἐπισκοπῆς Μετρῶν καὶ Ἀθύρων εἰς μητρόπολιν.

Τὰ περὶ τὴν ἐγκόσμιον ἐκκλησιαστικὴν διοίκησιν καὶ τὴν τοῦ χριστεπωνύμου πληρώματος πειθαρχικὴν τάξιν καὶ οἰκονομίαν, ὡς τοῖς ἀνθρωπίνοις πράγμασι καὶ τῇ καταστάσει συνακόλουθα, εἴωθεν ἔστιν ὅτε παραλλαγάς τινας ὑφίστασθαι καὶ μετατροπάς, οὐκ ἀντιπιπτούσας μέν, ὡς εἰκός, τοῖς θείοις καὶ ἱεροῖς κανόσι, πρὸς τὰς ἑκάστοτε δὲ ἀνάγκας καὶ περιστάσεις μᾶλλον εὐαρμόστους καὶ τῆς ἐπὶ τὰ κρεῖττω προκοπῆς τῶν πιστῶν ὑπηρετικάς. Ἐξ οὗ δὴ καὶ ἔργον ὀφειλετικῆς προνοίας κρίνεται τὰ τῶν ἐκκλησιαστικῶν ἐπαρ-

χιῶν ῥυθμίζεσθαι καὶ διευθετεῖσθαι ὑπὸ τῆς Ἐκκλησίας κατὰ τὰς ἑκάστοτε ἐκδηλουμένας καιρικὰς ἢ τοπικὰς ἀνάγκας. Πάντα γὰρ κατὰ τὸ χρεὼν καὶ πρὸς οἰκοδομήν, κατὰ τὸ ἀποστολικὸν παράγγελμα, ὀφείλουσι γίνεσθαι. Ἐπειδὴ τοίνυν καὶ περὶ τῆς ἐπισκοπῆς Μετρῶν καὶ Ἀθύρων τῆς μητροπόλεως Ἡρακλείας τοῦ καθ' ἡμᾶς ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου ἀνάγκη παρέστη, διὰ τὰς καιρικὰς τῶν μερῶν ἐκείνων περιστάσεις, ἰδιάζουσαν λαβεῖν ἐκκλησιαστικὴν πρόνοιαν καὶ μεριμνῆσαι πρὸς ἐνίσχυσιν τῆς ἀρχιερατικῆς προστασίας τοῦ αὐτόθι εὐσεβοῦς πληρώματος, ὅπως τοῦτο ἀπὸ μείζονος τῆς αὐθεντίας καὶ δυνάμεως περιεπόμενον καὶ προστατευόμενον μείζονα καὶ τὴν προκοπὴν καὶ εὐόδωσιν ἔχῃ τὴν ἐν Χριστῷ καὶ μείζονα τὴν ἀπὸ τῶν ἔξωθεν ἐπιβουλῶν ἀσφάλειαν, ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, τὴν ἀνάγκην ταύτην ὑπ' ὄψιν λαβόντες, εὐμενῶς δὲ καὶ εἰς τὸν πόθον καὶ τὰς ἐπανειλημμένας τῶν κατοίκων αἰτήσεις ἀνταποκρινόμενοι, οὐ μὴν δ' ἀλλὰ καὶ τὴν ἐπάρκειαν τοῦ μέρους λόγῳ τε πληθυσμοῦ καὶ τῆς ἄλλης προόδου καὶ ἐπιδόσεως ὑπ' ὄψει ἔχοντες καὶ εἰς τὴν προσδοκωμένην πνευματικὴν ὠφέλειαν καὶ ἐπὶ τὰ καλὰ διαθέρμανσιν τῶν εὐσεβῶν καὶ φιλοτίμων κατοίκων ἀφορῶντες, ἔγνωμεν προφρόνως, διασκεψάμενοι συνοδικῶς, τιμῆσαι καὶ ἀνυψῶσαι τὴν εἰρημένην ἐπισκοπὴν εἰς μητρόπολιν, αἴροντες τὴν ἐπ' αὐτῆς δικαιοδοσίαν καὶ ἐξουσίαν τῆς ἱερᾶς μητροπόλεως Ἡρακλείας, καθυπάγοντες δὲ αὐτὴν ὑπὸ τὴν ἄμεσον ἐξάρτησιν καὶ ὑποταγὴν τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου. Ἐφ' ᾧ καὶ γράφοντες ἀποφαινόμεθα, ἵνα ἡ ῥηθεῖσα τέως ἐπισκοπὴ Μετρῶν καὶ Ἀθύρων ὑπάρχῃ ἀπὸ τοῦ νῦν καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται μητρόπολις τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, ὁ δὲ ἐν αὐτῇ κανονικῶς ἐγκαθιστάμενος ἀρχιερεὺς τιτλοφορῆται ἱερώτατος μητροπολίτης Μετρῶν καὶ Ἀθύρων καὶ ὑπέρτιμος, φυλάττων τὴν κανονικὴν τάξιν τοῦ μνημονεύειν τοῦ πατριαρχικοῦ ὀνόματος, συναριθμούμενος δὲ πζ' ἐν τῇ τάξει καὶ χορείᾳ τῶν λοιπῶν τοῦ θρόνου μητροπολιτῶν, καθ' ἃ καὶ ἐν τῷ συνταγματίῳ ἀναγέγραπται, στάσιν τε καὶ ἕδραν τὴν ἀνάλογον ἐν ταῖς ἐκκλησιαστικαῖς χοροστασίαις καὶ συνελεύσεσιν ἔχων, ποιμαίνων θεοφιλῶς καὶ θεαρέστως τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, εὐλογῶν τε καὶ ἁγιάζων αὐτὸ καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελῶν ὡς γνήσιος τῆς ἐπαρχίας ἀρχιερεὺς μετὰ καὶ τῆς ἐν τῷ ἱερῷ συνθρόνῳ ἐγκαθιδρύσεως. Ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν τῇ θεοσώστῳ ταύτῃ ἐπαρχίᾳ ἐνοικοῦντες εὐλογημένοι χριστιανοί, ἱερωμένοι τε καὶ λαϊκοί, ἀναγνωρίζειν τὸν ἑκάστοτε ἀρχιερατεύοντα ὡς μητροπολίτην αὐτῶν καὶ πειθαρχεῖν καὶ ὑποτάσσε-

σθαι αὐτῷ, ὡς κανονικῷ αὐτῶν ἀρχιερεῖ καὶ πνευματικῷ πατρὶ καὶ ποιμένι, λόγον μέλλοντι δοῦναι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐνώπιον τοῦ ἀδεκάστου Κριτοῦ ἐν ἡμέρᾳ τῆς τῶν ἔργων ἀνταποδόσεως, προθύμως τε τὴν κεκανονισμένην καταβάλλειν αὐτῷ ἀρχιερατικὴν ἐπιχορήγησιν, καθὼς καὶ πάντα τὰ λοιπὰ ἀρχιερατικὰ δικαιώματα, κύριά τε καὶ τυχηρά, εἰς ἀξιοπρεπῆ συντήρησιν τοῦ ἀρχιερέως καὶ πνευματικοῦ πατρὸς καὶ ποιμένος αὐτῶν. Ταῦτα οὕτως ἔδοξαν, ἀπεφασίσθησαν καὶ ἐκυρώθησαν συνοδικῶς. Εἰς δὲ μόνιμον καὶ διηνεκῆ ἔνδειξιν καὶ ἀσφάλειαν αὐτῶν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, ἐπιδοθεὶς τῷ ἐκλεγέντι ἱερωτάτῳ μητροπολίτῃ Μετρῶν καὶ Ἀθύρων καὶ ὑπερτίμῳ κὺρ Γρηγορίῳ, ἵνα ἀποτεθῇ ἐν τοῖς ἀρχείοις τῆς μητροπόλεως, ἀντίγραφον δ' αὐτοῦ κατεστρώθη καὶ ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει ,αΡΨ΄, κατὰ μῆνα ὀκτώβριον, ἐπινεμήσεως η΄.

† Ἰωακεὶμ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ὁ Νικομηδείας Φιλόθεος — Ὁ Νικαίας Ἱερώνυμος— Ὁ Πισιδίας Κωνσταντῖνος — Ὁ Διδυμοτείχου Φιλάρετος — Ὁ Ἀγκύρας Σωφρόνιος — Ὁ Σάμου Κωνσταντῖνος — Ὁ Σωζοαγαθουπόλεως Δωρόθεος — Ὁ Ξάνθης Ἰωακεὶμ — Ὁ Ἐλασσῶνος Πολύκαρπος — Ὁ Προικοννήσου Σωφρόνιος — Ὁ Ἡλιουπόλεως Ταράσιος —Ὁ Σαράντα Ἐκκλησιῶν Ἄνθιμος.

XCIX. 1913, мартъ, инд. XI. Томъ патріарха Германа V и священнаго синода объ учрежденіи митрополіи Дарданеллъ и Лампсака.

† Γερμανὸς ἐλέῳ Θεοῦ κτλ.

Ἴδιον τῆς ἐκκλησιαστικῆς προνοίας ἐστὶ τοῖς προσήκουσιν ἀντιληπτικοῖς τρόποις τὰ εἰς οἰκοδομὴν τοῦ χριστεπωνύμου πληρώματος κατεργάζεσθαι, τάξιν τε τὴν πρόσφορον ἑκάστῳ προσάγειν καὶ ἁπαξαπλῶς πάντα κατὰ τὸ χρεὼν καὶ ἐπὶ τὸ ἀνυσιμώτερον οἰκονομεῖν καὶ διατάττεσθαι. Ἐμμελῶς γὰρ καὶ κατὰ τὰς συμβαινούσας ἀνάγκας ἐπιφερομένη ἡ τῆς Ἐκκλησίας θεραπεία καὶ μητρικὴ πρόνοια εἰκότως μείζονα τὴν ὠφέλειαν ἀπεργάζεται. Ἐπειδὴ τοίνυν καὶ οἱ τοῦ τμήματος Δαρδανελλίων τῆς θεοσώστου ἐπαρχίας Κυζίκου ὀρθόδοξοι χριστιανοὶ ἀνηνέχθησαν πρὸς τὴν Ἐκκλησίαν καὶ τὰς ἀνάγκας καὶ τὸν πόθον αὐτῶν ἐκδηλοῦντες καὶ ὑποβάλλοντες ἐνθέρμως καὶ πολλάκις τὴν εἰς ἰδιαιτέραν ἐπαρχίαν ἀνάδειξιν τῆς πόλεως καὶ

τοῦ τμήματος αὐτῶν ἐξελιπάρησαν, ὡς λόγῳ τε πνευματικῶν ἀναγκῶν καὶ διὰ τὴν ἄλλην ἐν πᾶσιν ἐπίδοσιν ἄξιοι ὄντες ἵνα τοιαύτης φιλοτιμίας ἐκκλησιαστικῆς τύχωσιν, ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ ἡμᾶς ἁγίας καὶ ἱερᾶς συνόδου, μετ' ἐπιστασίας περὶ τοῦ αἰτήματος αὐτῶν τούτου διασκεψάμενοι, καὶ τοῦτο μὲν πρὸς τὰς ἀνάγκας καὶ τὰς περιστάσεις τῶν αὐτόθι χριστιανῶν ἀποβλέποντες, τοῦτο δὲ καὶ περὶ τῆς ἐπαρκείας τοῦ μέρους λόγῳ τε πληθυσμοῦ καὶ τῆς ἄλλης ἐπιδόσεως καὶ ἀναπτύξεως βεβαιωθέντες, οὐ μὴν δ' ἀλλὰ καὶ εἰς τὴν προσδοκωμένην λυσιτέλειαν καὶ τὴν μείζονα ἐν τῇ εὐσεβείᾳ καὶ τῇ ἀρετῇ διαθέρμανσιν καὶ προκοπὴν τῶν κατοίκων ἀποσκοποῦντες, δεῖν ἔγνωμεν ἀποχωρίσαι τὸ εἰρημένον τμῆμα Δαρδανελλίων ἀπὸ τοῦ λοιποῦ μέρους τῆς θεοσώστου ἐπαρχίας Κυζίκου καὶ εἰς ἰδίαν τιμῆσαι καὶ ἀναδεῖξαι αὐτοτελῆ ἐπαρχίαν καὶ μητρόπολιν, ὑπὸ τὴν ἄμεσον τελοῦσαν ἐξάρτησιν καὶ ὑποταγὴν τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, καὶ πρὸς αὐτὸν μόνον τὴν ἀναφορὰν αὐτῆς ἔχουσαν, κατὰ τὴν τάξιν καὶ τοὺς ὅρους καὶ τῶν λοιπῶν τοῦ καθ' ἡμᾶς κλίματος ἱερῶν μητροπόλεων. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ εἰρημένον τμῆμα Δαρδανελλίων, συγκείμενον ἐκ τῆς πόλεως Δαρδανελλίων καὶ τῶν κωμοπόλεων καὶ χωρίων Βίγας, Ἰντζέκιοϊ, Ἄκσαζ, Δερμεντζίκ, Καμαρῶν, Μεγάλου Τσατὰλ-τεπέ, Μικροῦ Τσατὰλ-τεπέ, Καραδάγ, Βαιραμιτσίου, Ἐζίνε, Νεοχωρίου, Γενῆ-χισάρ, Καλαφατλῆ, Ῥένκιοϊ, Λαμψάκου, Παπασλῆ, Ναρλῆ, Ἀδᾶ-τεπέ, Μικροῦ Τσιπνί, Μεγάλου Τσιπνί, Μανδιρίου, Κιουτσοὺκ-κουγιοῦ καὶ Κιοσὲ-δερέ, διὰ τοὺς προεκτεθέντας εὐλογοφανεῖς λόγους καὶ ἐκ κανονικῆς ἀποφάσεως ὑπάρχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ εἰς αἰῶνα τὸν ἅπαντα καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται μητρόπολις τοῦ καθ' ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου, οἱ δὲ ἐν αὐτῇ διὰ κανονικῶν ψήφων ἀποκαθιστάμενοι ἀρχιερεῖς τιτλοφορῶνται ἱερώτατοι μητροπολῖται Δαρδανελλίων καὶ Λαμψάκου καὶ ὑπέρτιμοι, φυλάττοντες τὴν κανονικὴν διάταξιν τοῦ μνημονεύειν τοῦ πατριαρχικοῦ ὀνόματος, συναριθμούμενοι πη' ἐν τῇ τάξει καὶ χορείᾳ τῶν λοιπῶν τοῦ θρόνου μητροπολιτῶν, καθ' ἃ καὶ ἐν τῷ συνταγματίῳ ἀναγέγραπται, καὶ στάσιν καὶ ἕδραν τὴν ἀνάλογον ἐν ταῖς ἐκκλησιαστικαῖς χοροστασίαις καὶ συνελεύσεσιν ἔχοντες. Ὀφείλουσι δὲ ἅμα ποιμαίνειν θεοφιλῶς καὶ θεαρέστως τὸ ἐν τῇ ἐπαρχίᾳ ταύτῃ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, εὐλογεῖν τε καὶ ἁγιάζειν αὐτὸ καὶ πάντα ἁπαξαπλῶς τὰ ἀρχιερατικὰ ἐκτελεῖν, ὡς γνήσιοι καὶ κανονικοὶ τῆς ἐπαρχίας ἀρχιερεῖς, μετὰ καὶ τῆς ἐν τῷ ἱερῷ συνθρόνῳ ἐγκαθιδρύσεως. Οἱ δὲ ἐν τῇ θεοσώστῳ ταύτῃ ἐπαρχίᾳ ἐνοικοῦντες εὐλογημένοι χριστια-

νοί, ἱερωμένοι τε καὶ λαικοί, ὀφείλουσι πάντες ἀναγνωρίζειν τὸν ἑκάστοτε ἀρχιερατεύοντα μητροπολίτην αὐτῶν καὶ πειθαρχεῖν καὶ ὑποτάσσεσθαι αὐτῷ, ὡς κανονικῷ αὐτῶν ἀρχιερεῖ καὶ πνευματικῷ πατρὶ καὶ ποιμένι, λόγον μέλλοντι δοῦναι ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐνώπιον τοῦ ἀδεκάστου Κριτοῦ ἐν ἡμέρᾳ τῆς τῶν ἔργων ἀνταποδόσεως, καταβάλλειν τε προθύμως καὶ μετὰ φιλοτιμίας καὶ τακτικῶς καὶ τὴν εἰς τεσσαράκοντα πέντε χιλιάδας γροσίων (ἀριθμ. 45000) ὁρισθεῖσαν ἐτησίαν ἀρχιερατικὴν ἐπιχορήγησιν, ἐν ᾗ συμπεριείληπται καὶ ἡ ἐκ γροσίων δύο χιλιάδων (ἀριθμ. 2000) πατριαρχικὴ ἐπιχορήγησις, καὶ τὸ ἐκ γροσίων χιλίων πεντακοσίων (ἀριθμ. 1500) ἐτήσιον ἐπίδομα ὑπὲρ τῆς ἐν Χάλκῃ ἱερᾶς θεολογικῆς σχολῆς, καθὼς καὶ πάντα τὰ λοιπὰ ἀρχιερατικὰ δικαιώματα κύριά τε καὶ τυχηρά, εἰς ἀξιοπρεπῆ συντήρησιν τοῦ ἀρχιερέως καὶ πνευματικοῦ πατρὸς καὶ ποιμένος αὐτῶν. Ταῦτα οὕτως ἔδοξαν, ἀπεφασίσθησαν καὶ ἐκυρώθησαν συνοδικῶς. Εἰς δὲ μόνιμον καὶ διηνεκῆ ἔνδειξιν καὶ ἀσφάλειαν αὐτῶν ἐγένετο καὶ ὁ παρὼν ἡμέτερος πατριαρχικὸς καὶ συνοδικὸς τόμος, καταστρωθεὶς καὶ ὑπογραφεὶς ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἀντίγραφον δὲ αὐτοῦ, φέρον τὴν πατριαρχικὴν ἡμῶν ἐπικύρωσιν, ἐπεδόθη καὶ τῷ ἐκλεγέντι ἤδη ἱερωτάτῳ μητροπολίτῃ Δαρδανελλίων καὶ Λαμψάκου καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῖν ἀδελφῷ καὶ συλλειτουργῷ κυρίῳ Εἰρηναίῳ. Ἐν ἔτει ,αΠιγ', κατὰ μῆνα μάρτιον, ἐπινεμήσεως ια'.

Ὁ πατριάρχης Κωνσταντινουπόλεως Γερμανὸς ἀποφαίνεται.

Ὁ Ἀμασείας Γερμανός — Ὁ Προύσης Δωρόθεος — Ὁ Τραπεζοῦντος Κωνσταντῖνος — Ὁ Διδυμοτείχου Φιλάρετος — Ὁ Βιζύης Ἄνθιμος — Ὁ Μαρωνείας Νικόλαος — Ὁ Γάνου καὶ Χώρας Σεραφείμ — Ὁ Σισανίου καὶ Σιατίστης Ἱερόθεος — Ὁ Δεβρῶν καὶ Βελισσοῦ Παρθένιος — Ὁ Χαλδείας Λαυρέντιος — Ὁ Λέρου καὶ Καλύμνου Γερμανός — Ὁ Κρήνης Θεόκλητος.

C. Каталогъ епархій Константинопольской церкви (XV в.).

Кодексы: 1) библіотеки монастыря Богородицы Сумела въ Понтѣ 1614 г., № 50, κεφ. σλε'—σλζ' (Σ¹); 2) Московской Синодальной библіотеки 1669 г., № 328 (по описанію архимандрита Владиміра), л. 338 об—339 (M); 3) библіотеки монастыря Богородицы Сумела 1734 г., № 27, κεφ. σξγ'—σξη' (Σ²); 4) библіотеки монастыря св. Іоанна Предтечи Вазелона въ Понтѣ (безъ №), 1794 г., κεφ. σος'—σοζ' (B).

Τάξις προκαθεδρίας[1] τῶν ἁγιωτάτων[2] πατριαρχῶν καὶ αἱ μητροπόλεις[3] καὶ αἱ ἐπισκοπαί[4], αἱ ὁποῖαι εὑρίσκονται τὴν σήμερον καὶ εἶναι ὑποκείμεναι τῇ βασιλίδι[5] Κωνσταντινουπόλεως[6].

---

[1]) Προκαθενδρία Σ¹ πρωτοκαθεδρείας MB [2]) τῶν ὁσιωτάτων Σ¹; ср H. Gelzer, Ungedruckte und ungenügend veroffentlichte Texte der Notitiae episcopatuum, S. 628ı München 1901 (G). [3]) καὶ μητροπολιτῶν Σ¹ [4]) καὶ αἱ ἀρχιεπισκοπαὶ B [5]) τῇ βασιλείᾳ Σ¹B [6]) Κωνσταντινουπόλει G.

α'. Ὁ Ῥώμης [7])
β'. Ὁ Κωνσταντινουπόλεως [8])
γ'. Ὁ Ἀλεξανδρείας [9])
δ'. Ὁ Ἀντιοχείας [10])
ε'. Ὁ Αἰλίας ἤτοι ὁ Ἱεροσολύμων [11]).

Αἱ μητροπόλεις [12])

α'. Ἡ Καισάρεια [13])
β'. Ἡ Ἔφεσος
γ'. Ἡ Ἡράκλεια [14])
δ'. Ἡ Ἄγκυρα [15])
ε'. Ἡ Κύζικος [16])
ς'. Ἡ Φιλαδέλφεια [17])
ζ' Ἡ Νικομήδεια [18])
η'. Ἡ Νίκαια
θ'. Ἡ Χαλκηδών [19])
ι'. Ἡ Θεσσαλονίκη [20])
ια'. Ἡ Τόρνοβος [21])
ιβ'. Ἡ Ἀδριανούπολις [22])
ιγ'. Ἡ Ἀμάσεια [23])
ιδ'. Ἡ Προῦσα [24])
ιε'. Ἡ Νεοκαισάρεια [25])
ις'. Ὁ Ἰκονίου [26])
ιζ'. Ἡ Βέρροια [27])
ιη'. Ἡ Πισιδία [28])
ιθ'. Ἡ Κόρινθος
κ'. Ἡ Μονεμβασία [29])
κα'. Αἱ Ἀθῆναι [30])
κβ'. Αἱ Παλαιαὶ Πάτραι [31])
κγ'. Ἡ Τραπεζοῦς [32])
κδ'. Ἡ Λάρισσα
κε'. Ἡ Ναύπακτος [33])
κς'. Ἡ Φιλιππούπολις [34])
κζ'. Ἡ Ῥόδος [35])
κη'. Αἱ Σέρραι [36])
κθ'. Ἡ Φιλίππων [37])
λ'. Ἡ Χριστούπολις ἤτοι Καβάλλα [38])
λα'. Ἡ Σμύρνη [39])
λβ'. Ἡ Μυτιλήνη [40])
λγ'. Τὰ Ἰωάννινα [41])
λδ'. Τὸ Διδυμότειχον [42])
λε'. Ὁ Μελενίκου [43])
λς'. Αἱ Νέαι Πάτραι [44])
λζ'. Αἱ Θῆβαι [45])
λη'. Ἡ Αἶνος [46])
λθ'. Ἡ Κερασοῦς [47])
μ'. Ἡ Βιδύνη [48])
μα'. Ἡ Μέθυμνα [49])
μβ'. Ἡ Χριστιανούπολις [50])
μγ'. Ἡ Λακεδαιμονία [51])
μδ'. Ἡ Παροναξία [52])

---

[7]) Ὁ Ρῶμης Σ^1 Οἱ θρόνοι τῶν μητροπολιτῶν· α' ὁ Ρώμης Σ^2 [8]) Ὁ Κωνσταντινουπόλεως Σ^1M [9]) Ὁ Ἀλεξάνδριας Σ^1 [10]) Ὁ Ἀντίωχίας Σ^1 [11]) Ὁ Ἐλίας ἢ τῆς Ἱεροσωλήμων Σ^1 Ὁ Ἐλίας ἤγουν ὁ Ἱεροσολύμων M [12]) B Τοῦ ἀοιδίμου βασιλέως κύρου Ἀνδρωνίκου τοῦ δευτέρου τῶν Παλαιολόγων Διατύποσιν ὅπως νὰ ἔχουν τάξης πρόκαθεδρίας οἱ θρόνοι τῶν μητροπόλεων Σ^1 [13]) Ἡ Καισάρια $\Sigma^1\Sigma^2$ Ὁ Κεσαρείας B [14]) Ἡ Ἡρακλια Σ^1 [15]) Ἡ Ἄγγυρα Σ^1 [16]) Κήζυκος Σ^1 [17]) Φιλαδέλφια Σ^1B Ἡ Φιλαδελφία Σ^2 [18]) Νικομήδια Σ^1 [19]) Ἡ Χαλτζηδων Σ^1 Ἡ Χαλκηδῶν Σ^2 [20]) Ἡ Θετταλία M [21]) Ὁ Τορνόβου Σ^1M Ἡ Τούρναβος Σ^2 Ὁ Τουρνόβου B [22]) Ἀδριανουπόλεως Σ^1 Ὁ Σοφίας Ἡ Ἀδριανούπολις B [23]) Ἡ Ἀμάσια Σ^1 Ὁ Ἀμασείας M [24]) Ἡ Μπρούσα Σ^1 [25]) Ἡ Νεοκεσάρια $\Sigma^1\Sigma^2$B [26]) Ὁ Οἰκόνου Σ^1 ἡ Ἰκονίου G [Ὁ = θρόνος] [27]) Ἡ Βέρια Σ^1 Ἡ Βέρρια B [28]) Ἡ Πησηδια Σ^1 Ἡ Πισίδια Σ^2B [29]) Ἡ Μονοβασία M Ἡ Μονωβασία B [30]) Ἡ Ἀθῆνα Σ^2 Αἱ Ἀθήναι B [31]) Ἡ Παλαιὰ Πάτρα $\Sigma^1\Sigma^2$ [32]) Ἡ Τραπεζούς Σ^1MB [33]) Νεῶπακτος Σ^1 [34]) Ἡ Φιλιππόπολις Σ^2M [35]) Ἤβτъ Σ^1 [36]) κζ'. Αἱ Σουλαὶ Σ^1 [37]) Ἡ Φιλίππου Σ^1 Ὁ Φιλίππων Σ^2 Ὁ Φιλίππου MB [38]) Ἤβτъ Σ^1 λ'. Χρυσόπολις ἤτοι ἡ Καβάλα Σ^2 Ἡ Χρυσούπολις Ἡ Καββάλα M λ' ἡ Χριστούπολις ἤτοι Κάβαλα G [39]) Ἡ Σμύρνα $\Sigma^1\Sigma^2$B [40]) Ἡ Μητιλήνη Σ^1 Μιτιλίνη Σ^2 Μητηλίνη B [41]) Τὰ Ἰωάννηνα Σ^1 Ἰωάννινα M [42]) Τὸ Διδήμοτιχον Σ^1 Τὸ Διδημότειχον Σ^2 [43]) Ὁ Μελιγνησίου Σ^1 Ἡ Μελαίνικος Σ^2 Ὁ Μελένικος G [44]) Ἡ Νέα Πάτρα Σ^1 Αἱ Ἐννέαι Πάτραι Σ^2 [45]) Αἱ Θύβαι Σ^1 [46]) Ἡ Αἶνος $\Sigma^1\Sigma^2$B [47]) Ἡ Κερασοῦντος Σ^1MB Ἡ Κερασοῦντα G [48]) Ἡ Βηδίνη $\Sigma^1\Sigma^2$ Ἡ Βιάνια M [49]) Ἡ Μέθημνα Σ^1 Ἡ Μέθυμνος M [50]) Ἡ Χριστιανόπολις Σ^1 Ὁ Χρυστιανουπόλεως B [51]) Ἡ Λακαιδέμων Σ^2 Ἡ Λακεδαιμονια M [52]) Ἡ Πανοναξία Σ^2 Ἡ Παρωναξία M.

με'. Ἡ Μεσημβρία [1])
μς'. Ἡ Σηλυβρία [2])
μζ'. Ὁ Ἄργους καὶ Ναυπλίου [3])
μη'. Ὁ Εὐρίπου [4])
μθ'. Ὁ Σοφίας [5])
ν'. Ὁ Μηδείας [6])
να'. Ὁ Σωζοπόλεως [7])
νβ'. Ὁ Ἀγχιάλου [8])
νγ'. Ὁ Βάρνης [9])
νδ'. Ὁ Δρίστης [10])
νε'. Ὁ Προιλάβου [11])
νς'. Ὁ Καραβιζύης [12])
νζ'. Ὁ Μαρωνείας [13])
νη'. Ὁ Περιθεωρίου [14])
νθ'. Ὁ Ζιχνῶν [15])
ξ'. Ὁ Δράμας [16]).
ξα'. Ὁ Νικοπόλεως ἤτοι Νευροκόπου [17])
ξβ'. Ὁ Γάνου [18])
ξγ'. Ὁ Ῥιζαίου [19])
ξδ'. Ὁ Ἀλανίας ἤτοι Λαζίας [20])
ξε'. Ὁ Γοτθίας [21])
ξς'. Ὁ Καφᾶς [22])
ξζ'. Ὁ Χίου
ξη'. Ὁ Λήμνου [23])
ξθ'. Ὁ Ἰσχανίου [24])
ο'. Ὁ Ἴμβρου [25])
οα'. Ὁ Οὐγκροβλαχίας ἤτοι Μπουγδανίας [26])
οβ'. Ὁ Μουντοβλαχίας [27])

Αἱ ἀρχιεπισκοπαί [28]).

α'. Ἡ Προικόννησος [29])
β'. Ἡ Κάρπαθος [30])
γ'. Ἡ Αἴγινα [31])
δ'. Ἡ Πωγωνιανή [32])
ε'. Ὁ Ἐλασσῶνος [33])
ς'. Ἡ Κῶ [34]) καὶ
ζ'. Ἡ τῆς Λευκάδος [35]).

---

[1]) Ἡ Μεσιμβρία Σ^2 Ἡ Μεσυμβρία M Ὁ Μεσημβρίας B [2]) Σηλύβρια Σ^1 Η Σιλίστρα Σ^2 Ἡ Συληβρία M Ἡ Σιλίβρια B [3]) Ἡ Ἄργους καὶ Ναυπλίου Σ^2 Ὁ Ναυπλίου M Ὁ Ἄργους καὶ Ναυπλοίου G [4]) Ὁ Εὐρύππου Σ^1 Ὁ Εὐρίππους Σ^2 Ὁ Εὐρίππου B [5]) Ὁ Σοφινὰς Σ^2 [6]) Ὁ Μηδίας Σ^1 Ἡ Μήδεια Σ^2 Ὁ Μηδίας M [7]) Ὁ Σωζωτολεως Σ^1 Ἡ Σοζώπολις Σ^2 G 62931-58. μθ' ἡ Παροναξία, μς' ἡ Μεσημβρία, μζ' ἡ Σηλυβρία, μη' ὁ Ἄργους καὶ Ναυπλοίου, μθ' ὁ Εὐρίπου, ν' ὁ Σοφίας, να' ὁ Μηδείας, νβ' ὁ Ἀγχιάλου etc Значитъ у G пропущены: με' и Ὁ Σωζοπόλεως [8]) Ἀχιάλου Σ^1 Ἡ Ἀγχιαλοὺς Σ^2 Ὁ Ἀγχίαλου G. [9]) Ὁ Βαρνις Σ^1 Ἡ Βάρνη Σ^2 [10]) Ὁ Δρίπις Σ^1 Ὁ Δρύστης Σ^2 [11]) Ὁ Προῒλαβου Σ^1 [12]) Ὁ Καραβεζίης Σ^1 Ἡ Καραβιζάνη Σ^2 Ὁ Καραβίζης M Ὁ Καραβυζύης B [13]) Ὁ Μαρονίας Σ^1 Ἡ Μαρῶνα Σ^2 Ὁ Μαρονίας M [14]) Ἡ Περιθεωρίου Σ^2 [15]) Ὁ Ζυχνίου Σ^1 Ἡ Ζηχνῶν Σ^2M Ὁ Ζυχνῶν B [16]) Ὁ Δραμάς Σ^1 Ἡ Δράμα Σ^2 [17]) Ὁ Νίκοπόλεως ἤτη Εὐροκόπου Σ^1 Ἡ Νικόπολις (ἤτει Νευροκόπου) Σ^2 Ὁ Νευροκόπου B [18]) Ἡ Γάνου Σ^2 Ὁ Γάνου καὶ Χώρας M [19]) Ὁ Ῥιζέου Σ^1 Ὁ Ῥοιζαίου Σ^2B Ὁ Ῥιζέου M [20]) Ὁ Λαζίας Σ^1 Ἡ Λαζία Σ^2 Ὁ Λαζίας G [21]) Ὁ Βυτθίας Σ^1 Ἡ Βιτθία Σ^2 [22]) Ὁ Καφὰς Σ^1 Ὁ Καφὰς Σ^2M [23]) Ὁ Λύμνου Σ^1M Ἡ Λίμνος Σ^2 [24]) Ηἤτъ $\Sigma^1\Sigma^2$ [25]) Ὁ Ἥμβρου Σ^1 Ὁ Ἰμβρίου Ὁ Ἴμπρου Σ^2 M [26]) Ἡ Οὐαγροβλαγια ἡ Πουγδανία Σ^2 Οὔγκροβλαχίας MB [27]) Ὁ Μουλδοβλαχίας MB [28]) Οἱ ἀρχιεπίσκοποι Σ^1 Ὡς ἀρχιεπισκοπαί M [29]) Πρίκονίσου Σ^1 Προικόνησος Σ^2 Ἡ Προικόνυσος M Ὁ Προικόνισος B [30]) Ὁ Κάρπαθος B [31]) Ἡ Ἔγινα M [32]) Ἡ Πογωνἄννη Σ^1 Ἡ Πογωνιανή Σ^2M Ὁ Πογωνιανῆ B [33]) Ἐλασσῶνας Σ^1 Ὁ Ἐλασσώνας M Ὁ Ἐλασῶνας B Ἐλασσῶνας G [34]) Ἡ Κῶ Σ^1 Ηἤτъ Σ^2 Ἡ Κόος M [35]) ζ'. Τοῦ Λευκάδος η'. Ἡ Ἐκζηβῶν ἢ Ζωβὰς Σ^1 ς'. Ἡ Λευκάδος ζ'. καὶ ἡ Ἐζεβῶν Σ^2 G 630 85-87: ς' ἡ Κῶ, ζ' ἡ Λευκάδος, η' καὶ ἡ Φαναρίου.

Далѣе спѣдуетъ: «Βαβαὶ τῆς παραχωρήσεως· ἀναγνωσον ὅλον καὶ μεγάλως θρηνήσεις Ἦσαν δὲ καὶ ἄλλαι μητροπόλεις καὶ ἀρχιεπισκοπαὶ . . . ἦγουν οἱ χριστιανοὶ ἐξολοθρεύθησαν» $\Sigma^2\Sigma^1$M. Cp. Gelzer, 630 89-93 631 94-96.

* *

Περὶ [τοῦ] ποῖοι τῶν μητροπολιτῶν ἔχουν τὴν σήμερον ἐπισκοπάς [1]).

Ὁ Ἡρακλείας τῆς Εὐρώπης [2]) ἔχει ταύτας· τοῦ Ῥαιδεστοῦ [3]) τοῦ Πανίου· τοῦ Καλλιουπόλεως [4])· τοῦ Περιστάσεως καὶ Μυριοφύτου [5])· τοῦ Τυρολόης [6])· τοῦ Μετρῶν καὶ Ἀθύρων [7]).

Ὁ Νικομηδείας [8]) τῆς Βιθυνίας ἔχει ταύτην μόνην, ἡ ὁποία λέγεται Ἀπολλωνιάς [9]).

Ὁ Θεσσαλονίκης τῆς Θετταλίας [10]) ἔχει ταύτας· τοῦ Κίτρους [11]), ὁ ὁποῖος λέγεται πρωτόθρονος [12])· τοῦ Σερβίων [13])· τοῦ Κασσανδρείας [14])· τοῦ Καμπανίας ἤτοι Κάστρου [15])· τοῦ Πέτρας· τοῦ Ἀρδαμερίου ἤτοι Ἐρκούλων [16])· τοῦ Ἱερισσοῦ [17]) καὶ Ἁγίου Ὄρους· τοῦ Λιτῆς [18]) καὶ Ῥεντίνης· τοῦ Πολεανίνης [19]) καὶ Βαρδαριωτῶν [20])· τοῦ Πλαταμῶνος καὶ Λυκοστομίου [21]).

Ὁ Τορνόβου [22]) τῆς Βουλγαρίας ἔχει ταύτας [23])· τοῦ Τζερβενοῦ· τοῦ Λοφτζοῦ [24]) καὶ τοῦ Πρεσλάβας [25]).

Ὁ Ἀδριανουπόλεως Αἱμιμόντου ἔχει μίαν· τοῦ Ἀγαθοπόλεως [26]).

Ὁ Κορίνθου τῆς Πελοποννήσου [27]) ἔχει ταύτας· τοῦ Δαμαλῶν [28]) καὶ Πεδιάδος, ὁ ὁποῖος λέγεται πρωτόθρονος [29])· τοῦ Κεφαλληνίας [30])· τοῦ Ζακύνθου [31])· τοῦ Ζημαινᾶς καὶ Ταρσοῦ [32]) καὶ τοῦ Πολυφέγγους [33]).

Ὁ Μονεμβασίας τῆς Πελοποννήσου [34]) ἔχει ταύτας· τοῦ Κυθηρίας [35])· τοῦ Μεθώνης [36])· τοῦ Κορώνης [37])· τοῦ Ἔλους [38]).

---

[1]) Περὶ ποίοι τῶν μητροπολυτῶν Σ¹ ἔχουσι Σ² Περὶ τῶν μητροπολιτῶν ἔχων M τὴν σῆμερων B [2]) τῆς Εὐρώπις Σ² [3]) Ῥοδοστου Σ¹ Ῥοδεστοῦ Σ² Ρωδεστοῦ M Ρεδεστοῦ B [4]) Ηβτ Σ¹ Καλιοπούλεως Σ² Καλιουπολεως B [5]) Τοῦ Περιστάσεως. Τοῦ Μυροιῶφητου Σ¹ B [6]) Τζερουλίου M Τζερούλου B [7]) του Μετρὸν καὶ τοῦ Ἀθύρων Σ¹ Ἀθυρῶν Σ² τοῦ Μερῶν καὶ Θηρῶν M τοῦ Μέτρου B [8]) Τοῦ Νηκομηδείας M [9]) Ἀπολλωνιάδος Σ¹Σ² Ἀπολλωνιάδα MB [10]) Ὁ Θεσσαλονίκης Σ¹ Τοῦ Θεσσαλονίκης. Ὁ Θεσσαλονίκης . . . M [11]) Τοῦ Κύτρους Σ¹ [12]) M ὁ Κίτρους ὡς πρωτόθρονος ἔχει ἐξουσίαν τοῦ φορεῖν πολυσταύριον· καὶ βαστάζει καὶ εἰς τὸν μάνδυον ποταμοὺς G [13]) Σερβύων Σ¹ Σερβίου M [14]) Κασαντρίας Σ¹ Κασανδρίας Σ² Κασσανδρίας M [15]) Καμπανίας Σ¹MB ἤτοι Καστρίου Σ² [16]) Ἀρδαμαρίου Σ¹ Ἀρδαμάρεως Σ²B Ἀρδαμερίου M Cp. G 634 188. [17]) Ἱερισοῦ Σ¹Σ² Ἐρισοῦ M [18]) Λύτης Σ¹ Λητῆς M [19]) Πολεανήνας Σ¹ Πολεανίνας Σ² Πονεανίνου M Πολεανίννης B [20]) Βαρδιορίου Σ¹Σ² Βαρδαοριτῶν M Βαρδιωρητῶν B [21]) Ηβτ Σ¹ Δηκοστομίου M [22]) Τοῦ Τυρνόβου M Ὁ Τουρνόβου B [23]) Ταύτην Σ¹Σ²B [24]) Λεβτζιοῦ M Ηβτ Σ¹Σ²B [25]) Πρισλάβου M Ηβτ Σ¹Σ²B [26]) Ὁ Ἀδριανοπόλεως ἔχει τοῦ Ἀγαθοπόλεως Σ¹ . . . ταύτην . . Σ² Αἱμιμόντου ηβτ M μία BG [27]) Πελοπονήσου Σ¹Σ²B [28]) Δαμαλίων B [29]) Ηβτ Σ¹Σ²B Ὁ Δαμαλὸς πρωτόθρονος φορεῖ πολυσταύριον καὶ βαστάζει καὶ εἰς τὸν μάνδυον ποταμούς, ὡς ὁ Κίτρους· οὐχὶ ἄλλοι ἐπίσκοποι ἔχουν τὴν τοσαύτην ἀξιαν G [30]) τῆς Κεφαλονίας Σ¹Σ² τῆς Κεφαλωνίας M τῆς Κεφαληνίας B [31]) τοῦ Ζακήνθου Σ¹ τῆς Ζακύνθου Σ²MB [32]) Μηζηνὰς καὶ Τάρσου Σ¹ τῆς Ζήμενας καὶ Ταρσοῦ Σ² τῆς Ζημένας καὶ Ταρσοῦ M τῆς Ζημαίνης καὶ Τάρσου B [33]) Πολυφάγγους Σ¹Σ² τῆς Πολυφεγκοῦς B [34]) Ὁ Μονεμβασίας τῆς Παιλοπόνισου Σ¹ Ὁ Μονεμβασίας ἔχει . . . Σ² [35]) Τῆς Κηθυρίας Σ¹ Κηθηρίας Σ² Κιθηρίας M Κιθυρίου B [36]) Τῆς Μεθώνης Σ¹ Μεθόνης M [37]) Τῆς Κορόνης Σ¹ Κωρώνης B [38]) Ἔλους Σ¹Σ² Ἁλοῦς M

τοῦ Μαΐνης [1])· τοῦ Ἀνδρούσης [2])· τοῦ Ζευγνῶν ἤτοι Καλαμάτας [3]) καὶ τοῦ Ρέοντος [4]).

Ὁ Ἀθηνῶν τῆς Ἑλλάδος ἔχει ταύτας· τοῦ Διαυλείας [5])· τοῦ Ταλαντίου [6])· τοῦ Ἄνδρου [7])· τοῦ Σκύρου [8])· τοῦ Σόλωνος [9]) καὶ τοῦ Μενδενίτζης [10]).

Ὁ Παλαιῶν Πατρῶν τῆς Πελοποννήσου [11]) ἔχει ταύτας· τοῦ Ὠλένης [12]) καὶ τοῦ Κερνίτζης [13]).

Ὁ Τραπεζοῦντος τῆς Λαζικῆς [14]) ἔχει ταύτας· τοῦ Κάνιν [15]) καὶ τοῦ Ὄφεως.

Ὁ Λαρίσης τῆς Ἑλλάδος ἔχει ταύτας· τοῦ Δημητριάδος [16])· τοῦ Λιτζᾶ καὶ Ἀγράφων [17])· τοῦ Φαναρίου· τοῦ Ζητουνίου· τοῦ Θαυμακοῦ [18])· τοῦ Σταγῶν [19])· τοῦ Λοιδορικίου [20])· τοῦ Γαρδικίου· τοῦ Ῥαδοβιζίου [21]) καὶ τοῦ Σκιάθου [22]).

Ὁ Ναυπάκτου Νικοπόλεως [23]) ἔχει ταύτας· τοῦ Βονδίτζης [24])· τοῦ Ἀετοῦ· τοῦ Ἀχελῴου [25]) καὶ τοῦ Ῥηγῶν [26]).

Ὁ Ῥόδου τῶν Κυκλάδων νήσων [27]) ἔχει μίαν [28])· τοῦ Λέρνης [29]).

Ὁ Σερρῶν τῆς Μακεδονίας [ἔχει] μίαν· τοῦ Ἐζηβῶν [30]).

Ὁ Φιλίππων τῆς Μακεδονίας [31]) ἔχει μίαν [32])· τοῦ Ἐλευθερουπόλεως [33]).

Ὁ Μυτιλήνης τῆς Λέσβου ἔχει [34]) μίαν [35])· τοῦ Ἐρισσοῦ [36]).

Ὁ Ἰωαννίνων ἔχει ταύτας· τοῦ Βελλᾶς· τοῦ Βοθροντοῦ [37]) καὶ Γλυκέων [38])· τοῦ Δρυνουπόλεως [39]) καὶ τοῦ Χειμάρρας [40]).

Ὁ Λακεδαιμονίας τῆς Πελοποννήσου [41]) ἔχει ταύτας [42])· τοῦ Ἀμυκλῶν [43])· τοῦ Κρυουπόλεως [44]) καὶ τοῦ Βρεστένης [45]).

Ὁ Εὐρίπου τῆς Εὐβοίας [46]) ἔχει ταύτας· τοῦ Ὡραιῶν [47])· τοῦ Καρύστου [48])· τοῦ Πορθμοῦ [49])· τοῦ Αὐλῶνος [50]) καὶ τοῦ Καναλίων [51]).

[Ὁ Οὐγκροβλαχίας ἔχει ταύτας· τοῦ Ῥιμνίκου καὶ τοῦ Μποζέου.

---

[1]) Μαίνης MG [2]) Ηβτβ Σ^1 [3]) Τῆς Ζήμενας καὶ Καλαμάτας Σ^1 τοῦ Ζευνῶν ἤτοι Καλαμάτας Σ^2 Ζευνῶν καὶ Καλαμάτας B [4]) Ῥέωντος Σ^1 [5]) Διαυλίας $\Sigma^1\Sigma^2$ Δαυλίας M Διαυλίου B [6]) Ταλαντίνου Σ^1 [7]) Ἄνδρους Σ^1G [8]) Σκίρου Σ^2M [9]) Σόλονος Σ^1 Σόλων B [10]) τοῦ Μενδινίτζης καὶ τῆς Τζιάς Σ^1 Μεδηνίτζης B [11]) Ηβτβ Σ^1 [12]) Ὠλαίνου B [13]) Τζερνήτζης Σ^1 Τερνίτζης Σ^2B Κερνηκίκης M [14]) Ηβτβ Σ^1M Λαζικίς Σ^2 [15]) Κάνην $\Sigma^1\Sigma^2$ Κάιν MB [16]) Διμητριάδος Σ^1 [17]) Λύτζα καὶ Ἀγράφων Σ^1 τοῦ Λιτζᾶ M Λιτζὰ καὶ Ἀγράφων B [18]) Θαυμάκου B [19]) Στάγον Σ^1 Σταγῶν Σ^2B τὸ Σταγὸν M [20]) Λυδωρικίου Σ^1 Ληδοριτίου M Λοιδωρικίου B [21]) Ῥαβδοζίου Σ^1 Ῥαδοβυζίου Σ^2B [22]) Σκιάθους G [23]) Ηβτβ Σ^1M [24]) Βονδίκης M [25]) Ἀχελώου $\Sigma^1\Sigma^2$ Ἀχελονίου M Ἀχελώου B [26]) Ῥηγὸν Σ^1 Ῥιγῶν Σ^2M [27]) Ηβτβ Σ^1 τοῦ Ῥόδου τῶν Κηκλαδονήσων M [28]) ταυτας· ἢ μία μόνον Σ^1 τὴν παροῦσαν Σ^2 μία G [29]) Λέρνας $\Sigma^1\Sigma^2$ [30]) Ηβτβ $\Sigma^1\Sigma^2$B μία G [31]) Ὁ Φίλιππως τῆς Λακεδεμονίας Σ^1 Ὁ Φιλίππου της Μακεδονίας M [32]) μία μόνον Σ^1 την παροῦσαν Σ^2 [33]) Ἐλευθεροπόλεως $\Sigma^1\Sigma^2$M [34]) Ηβτβ M [35]) μόνος μία Σ^1 τὴν παροῦσαν Σ^2 μία G [36]) Ἱερισσοῦ Σ^1 Ἱερισου Σ^2 Ὁ Ἐρισοῦ M Ηβτβ B [37]) Βόθρου Σ^1M Βοθριντοῦ Σ^2 Βοθρόντου B [38]) Γληκαίων Σ^1 Γλυκαίνων B [39]) Δριηνουπόλεως Σ^1 Δρινοπόλεως Σ^2B Δυνουπόλεως M [40]) Χυμάρις Σ^1 Χειμάρης Σ^2 Χειμάρρης MB [41]) Πελοποντίσου Σ^1 Ηβτβ M [42]) Ηβτβ Σ^1 [43]) Ἀμικλῶν $\Sigma^1\Sigma^2$MB [44]) Καληοπολεως Σ^1 Κοριουπόλεως Σ^2MB [45]) Βρεστάνης $\Sigma^1\Sigma^2$ Βρεστένων M Βρεστηνῶν B [46]) Αἰβίας Σ^1 Ηβτβ B [47]) Ὀρέων Σ^1 Ὡραίων Σ^2 [48]) Καρίστου $\Sigma^1\Sigma^2$ [49]) Πόρθμου Σ^2 [50]) Αὐλόνος Σ^1 Ἀλῶνος M [51]) Κανδηλίων B

Ὁ Μολδοβλαχίας ἤτοι Μπογδανίας ἔχει ταύτας· τοῦ Ῥανδεούτζου καὶ τοῦ Ῥωμάνου] [1]).

Ἔξω ἀπὸ τούτους τοὺς μητροπολίτας, ὁποῦ ἐγράψαμεν, ἄλλος μητροπολίτης δὲν ἔχει ἐπισκοπὴν τὴν σήμερον, ὅτι ἐρημώθησαν, ὡς εἴπομεν [2]).

Περὶ τῶν μητροπολιτῶν ποῖοι [3]) λέγονται ὑπέρτιμοι καὶ ἔξαρχοι καὶ ποῖοι [4]) ὑπέρτιμοι μόνον [5]).

Ὁ Καισαρείας Καππαδοκίας ὑπέρτιμος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Ἀνατολῆς.

Ὁ Ἐφέσου ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀσίας.

Ὁ Ἡρακλείας πρόεδρος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Θρᾴκης καὶ Μακεδονίας [6]).

Ὁ Ἀγκύρας ἔξαρχος πάσης Γαλατίας.

Ὁ Κυζίκου ἔξαρχος παντὸς Ἑλλησπόντου [7]).

Ὁ Φιλαδελφείας [8]) πάσης Λυδίας.

Ὁ Νικομηδείας πάσης Βιθυνίας.

Ὁ Νικαίας ὁμοίως.

Ὁ Χαλκηδόνος [9]) ὁμοίως.

Ὁ Θεσσαλονίκης πάσης Θετταλίας· ἔχει δὲ νῦν καὶ τὸν τόπον τοῦ Ἀγκύρας [10])·

Ὁ Τορνόβου [11]) πάσης Βουλγαρίας.

Ὁ Ἀδριανουπόλεως [12]) παντὸς Αἱμιμόντου.

Ὁ Νεοκαισαρείας [13]) Πόντου Πολεμωνιακοῦ [14]).

Ὁ Ἰκονίου πάσης Λυκαονίας [15])

Ὁ Κορίνθου πάσης Πελοποννήσου [16]).

Ὁ Μονεμβασίας ὁμοίως.

Ὁ Ἀθηνῶν πάσης Ἑλλάδος.

Ὁ Παλαιῶν Πατρῶν πάσης Ἀχαΐας.

Ὁ Τραπεζοῦντος πάσης Λαζικῆς, ἔχει δὲ νῦν τὸν τόπον τοῦ Καισαρείας [17]).

Ὁ Λαρίσσης δευτέρας Θετταλίας καὶ πάσης Ἑλλάδος.

Ὁ Ναυπάκτου πάσης Αἰτωλίας.

Ὁ Φιλιππουπόλεως πάσης Θρᾴκης.

Ὁ Τραϊανουπόλεως [18]), ὁ ὁποῖος λέγεται Μαρωνείας, πάσης Ῥοδόπης [19]).

Ὁ Ῥόδου τῶν Κυκλάδων νήσων [20]).

Ὁ Σερρῶν πάσης Μακεδονίας [21]).

Ὁ Φιλίππων ὁμοίως.

---

[1]) Gelzer, 636 266—271 [2]) MB [3]) Περὶ ποῖοι τῶν μητροπολιτῶν Σ^2 Περὶ ποῖοι τῶν μητροπολιτῶν ποῖοι B [4]) ποῖοι δε G [5]) M [6]) Μακεδωνίας Σ^2 [7]) πάσης Ἑλησπόντου, ἢ παντὸς Σ^2 [8]) Φιλαδελφίας Σ^2M [9]) Χαλκηδώνος Σ^2 [10]) ἔχει ἡ πρ. ηἐτъ Σ^2B τοῦ Καισαρείας G [11]) Τουρνόβου Σ^2M [12]) Ἀνδριανουπόλεως Σ^2 [13]) Νεοκεσαρίας Σ^2 [14]) Πολεμονιακοῦ Σ^2 [15]) Λικαονίας M [16]) Πελοποννήσου Σ^2 [17]) Ἔχει δὲ . . . ηἐτъ Σ^2B [18]) Ἀδριανουπόλεως M [19]) Ὁ Τραϊανουπόλεως—Ροδόπης ηἐτъ Σ^2 [20]) νῆσσων Σ^2 νόσσων M [21]) Μακεδωνίας M

Ὁ Θηβῶν πάσης Βοιωτίας [1]).
Ὁ Λακεδαιμονίας πάσης Πελοποννήσου.
Ὁ Εὐρίπου πάσης Εὐβοίας [2]).
[Ὁ Οὐγκροβλαχίας ὑπέρτιμος καὶ ἔξαρχος πάσης Οὐγκρίας καὶ Πλαγηνῶν.
Ὁ Μολδοβλαχίας ὑπέρτιμος καὶ ἔξαρχος καὶ τὸν τόπον ἐπέχων τοῦ Ἀμασείας] [3]).
Ἔξω ἀπὸ τούτους [4]) τοὺς ἄνω ὁποῦ ἔχουν τὰς ἐξαρχίας· οἱ δὲ [5]) ἐπίλοιποι ὅλοι [6]) μητροπολῖται [7]) ὑπέρτιμοι μόνον γράφονται, οὐχὶ καὶ ἔξαρχοι [8])·

CI. 7001—1493. Дѣяніе вселенскаго патріарха Нифонта I и священнаго синода о соединеніи епископій Діавліи и Талантія.

Іерусалимская Патріаршая Библіотека, код. CCLXXVI, 156[b]—157[a].

Καὶ ἰατρῶν ἐκεῖνος ἄριστος ἂν καλοῖτο παρὰ πᾶσι δικαίως, ὃς τῇ τῆς τέχνης ἐπιμελείᾳ φιλοπονώτερον χρώμενος τοῖς μάλιστα κάμνουσι τὴν ὑγείαν χαρίζεται, καὶ ποιμὴν ἐκεῖνος ἐπαινεῖται παρὰ Κυρίου, ὃς γινώσκει μὲν τὰ ἴδια πρόβατα, γινώσκεται δὲ καὶ αὐτὸς ὑπ' αὐτῶν καὶ ἔμπροσθεν αὐτῶν πορευόμενος καλεῖ μὲν αὐτὰ κατ' ὄνομα, εἰς μίαν δὲ συνάγει μάνδραν, εἶτα καὶ ἐπὶ νομὰς σωτηρίας ἐξάγει· [τούτων] μιμηταὶ κατὰ δύναμιν πεφυκότες οἱ τὴν τῶν ψυχῶν ἐπιμέλειαν ἐγκεχειρισμένοι τοῖς μάλιστα θεραπείας δεομένοις ὀφείλουσι βοηθεῖν. Τῷ τύπῳ τοίνυν τούτῳ καὶ ἡ μετριότης ἡμῶν ὡς οἷόν τε ἐξακολουθοῦσα καὶ κανονικαῖς παραδόσεσιν εἴκουσα, συνοδικῇ σαφηνείᾳ τε καὶ διασκέψει, ἀναγκαιότερον παντὸς πράγματος ἡγήσατο καὶ τὴν παρὰ κανόνα διαιρεθεῖσαν εἰς δύο τῆς Διαυλείας ἐπισκοπὴν τοῦ ποτε ἐξάρχου Ἀθηνῶν χρηματίσαντος κὺρ Δωροθέου, ἐκείνου τοῦτο πεποιηκότος ἐπὶ φιλοχρηματικῇ πράξει, εἰς μίαν αὖθις μετὰ τοῦ Ταλαντίου ἐπισυνάψαι καὶ μὴ εἶναι καὶ ὀνομάζεσθαι ἐπισκοπὴν ἥ τε Διαύλεια καὶ τὸ Ταλάντιον, καὶ ἕνα ἀρχιερέα καὶ ἐπίσκοπον εἶναι αὐτῆς, Διαυλείας καὶ Ταλαντίου ὀνομαζόμενον κατὰ τὴν ἀνεκαθεν ἐπικρατοῦσαν συνήθειαν· τοῦ οὖν θεοφιλεστάτου ἐπισκόπου Ταλαντίου κὺρ Νείλου ἐπ' αὐτὸ τοῦτο τῇ συνόδῳ παραβαλόντος καὶ αἰτήσαντος ὡς μίαν εἶναι ἐπισκοπὴν κατὰ τὸν πρῶτον τύπον καὶ ἀμφοῖν τὴν πνευματικὴν ἐπίσκεψιν ὑφ' ἑνὸς οἰκονομεῖσθαι, καὶ ἡ μετριότης ἡμῶν συνοδικῇ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων γνώμῃ τοῦ (δεῖνος καὶ δεῖνος) τὴν παροῦσαν συνοδικὴν πρᾶξιν τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Διαυλείας καὶ Ταλαντίου ἀνατίθησιν. Παρακε-

---

[1]) Βιωτίας Σ²Μ [2]) Αἰβίας Μ Нѣтъ Σ² [3]) [ ] G [4]) Нѣтъ Μ
[5]) ἰδὲ Μ [6]) Нѣтъ Μ [7]) μητροπολίται Μ [8]) οὐχί—ἔξαρχοι нѣтъ Μ.

λευόμεθα οὖν, ἵνα ὁ θεοφιλέστατος ἐπίσκοπος κὺρ Νεῖλος ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ᾖ ἐπίσκοπος Διαυλείας καὶ Ταλαντίου γνήσιος, καὶ ὡς γνήσιος ἀρχιερεὺς αὐτῆς ἐπ' ἐξουσίας ἔχῃ τὸ ἁγιάζειν τοὺς ἐκεῖσε πάντας χριστιανούς, τὸ εὐλογεῖν, τὸ χειροτονεῖν ἀναγνώστας, ὑποδιακόνους καὶ πρεσβυτέρους καὶ πάντα τὰ ἀρχιερατικὰ ποιεῖν, μετὰ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως· ὀφείλουσι δὲ καὶ οἱ ἐν τῇ Διαυλείᾳ καὶ Ταλαντίῳ εὑρισκόμενοι πάντες χριστιανοὶ ἀναδέχεσθαι αὐτὸν μετὰ τῆς προσηκούσης τιμῆς καὶ εὐλαβείας ὡς ἀρχιερέα αὐτῶν γνήσιον καὶ πνευματικὸν πατέρα καὶ διδάσκαλον, καὶ πείθεσθαι καὶ ὑπακούειν αὐτῷ ἐφ' οἷς ἂν ἔχοι λέγειν τε καὶ νουθετεῖν αὐτοῖς ψυχωφελέαι [1]) καὶ σωτηριώδεσι, καὶ μηδεὶς ἔσται ὁ ἀντιτείνων αὐτῷ κατά τι, ἵνα μὴ τῷ βαρυτάτῳ ἀφορισμῷ τῆς Ἐκκλησίας καταδικασθῇ κακῶς, ὁποῖος ἄρα εἴη. Καὶ εἰς τὴν περὶ τούτου διάλυσιν καὶ βεβαίωσιν ἀπολέλυται καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος ἐν ἔτει ,ζα'.

† Νήφων ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως.

CII. 7118—1610, апрѣль, индиктъ VIII. Сигиллій вселенскаго патріарха Неофита II и священнаго синода о присоединеніи острововъ Астипалеи и Калимна къ епископіи Лерны.

К. П. А., I, 35.

† Νεόφυτος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Τοῦ νόμου, φησί, γενομένου ἐπὶ προστασίᾳ ἀληθεῖ καὶ ὑφεστῶτος, ἰδοὺ ὅτι ἡ πονηρία κατ' αὐτοῦ ἐπενοήθη· ἀλλ' ὅμως μέχρι τέλους ἡ μὲν ἀλήθεια καὶ ὁ νόμος, ὡς οὐσιώδη καὶ φύσει μόνιμα, αὖθις ἀναλάμπουσι καὶ διαμένουσι στερεά, ἡ δὲ κακία καὶ τὸ ψεῦδος, τὰ ἐπισυμβαίνοντα, ὡς ἀνύπαρκτα ἀκυροῦνται καὶ ἀφανίζονται· ὅτι καὶ μικρόν τι νέφος καλύπτειν οἷόν τε τὸν λαμπρότερον ἥλιον· ἀλλὰ τὸ μὲν νέφος ῥᾷστα σκεδάννυται, τὸ δὲ ἡλιακὸν φῶς φαιδρότερον ἀναλάμπει καὶ τὴν ἑαυτοῦ ποιεῖται πορείαν ἀνεμποδίστως. Τοιοῦτόν τι συμβέβηκεν ἐν τῇ παρούσῃ ὑποθέσει. Τῆς γὰρ μετριότητος ἡμῶν συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῶν παρατυχόντων ἱερωτάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν τιμιωτάτων καὶ λογιωτάτων κληρικῶν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, τῶν ἐν πνεύ-

[1]) К. ψυχοφελέσι.

ματι υἱῶν ἀγαπητῶν αὐτῆς, τῶν καὶ γνώμας ἀρχιερατικὰς ἐχόντων, παραστὰς ὁ ἱερώτατος καὶ λογιώτατος μητροπολίτης Ῥόδου, ὑπέρτιμος καὶ ἔξαρχος τῶν Κυκλάδων νήσων, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργός, ἀνήνεγκε καὶ προέτεινεν εἰς μέσον τὴν προφανῆ ἀδικίαν, ἣν ὑπέστη ἡ ἐπισκοπὴ αὐτοῦ Λέρνη, καὶ ἐστερήθη παραλόγως τῶν παρ' αὐτῇ γνησίων καὶ ἐνοριακῶν νησίων, τῆς Ἀστυπαλαίας δηλαδὴ καὶ τῆς Καλύμνου· καὶ γὰρ αὐτά, φησί, τὰ δύο νησία, ὑποκείμενα ὄντα ἐκ χρόνων ἀμνημονεύτων τῇ αὐτῇ ἁγιωτάτῃ ἐπισκοπῇ Λέρνης, ὡς καὶ ἐπιστώσατο ἡμῖν ἀπό τε τῶν παλαιγενῶν γραμμάτων, μάλιστα δὲ ἀπὸ τῆς πράξεως τοῦ ἀοιδίμου ἐκείνου πατριάρχου κυροῦ Ἱερεμίου, ὡς καὶ ἀπὸ ἑτέρου γράμματος τοῦ μακαρίτου πατριάρχου κυροῦ Μελετίου καὶ τῶν καθεξῆς, ἀπεξενώθησαν ἀτόπως ὕστερον ἀδικώτατα ἀπὸ τῆς ἐπισκοπῆς αὐτοῦ καὶ πατριαρχικὰ σταυροπήγια ὠνομάσθησαν· καὶ ἐδεήθη θεωρηθῆναι τὸ περὶ τούτου συνοδικῶς. Τούτου ἕνεκα καὶ ἡ μετριότης ἡμῶν, ὡς χρέος ἔχουσα πρὸ πάντων ἀπαραίτητον τὴν ἀδικίαν ἐπικόπτειν καὶ ἀποσοβεῖν, καὶ ἑκάστῃ ἐπαρχίᾳ ἀπονέμειν τὰ ἑαυτῆς δίκαια καὶ προνόμια, γράφοντες καὶ ἐν ἁγίῳ ἀποφαινόμεθα Πνεύματι, γνώμῃ κοινῇ συνοδικῇ, ἵνα καὶ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς τὰ αὐτὰ δύο νησία ἡ Ἀστυπάλαια καὶ ἡ Κάλυμνος ὑπάρχωσιν ὑποκείμενα καὶ ἡνωμένα ἀναφαιρέτως καὶ ἀναστάτως τῇ διαληφθείσῃ ταύτῃ ἁγιωτάτῃ ἐπισκοπῇ Λέρνης, καὶ ὁ κατὰ καιροὺς ἐπίσκοπος αὐτῆς νέμηται καὶ καρπῶται τὰ ἐξ αὐτῶν ἐκκλησιαστικὰ πάντα εἰσοδήματα καὶ δικαιώματα, τά ἀπό τε κανονικῶν τῶν ἱερέων, συνοικεσίων, πανηγύρεων, ζητείας καὶ τῶν λοιπῶν συνήθων τῷ τόπῳ, καὶ ἔχῃ ἄδειαν ἱερουργεῖν ἐν αὐτοῖς καὶ ἐκτελεῖν ἅπαντα τὰ ἀρχιερατικά, μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὡς γνήσιος καὶ καθολικὸς ἐπίσκοπος Λέρνης, Ἀστυπαλαίας καὶ Καλύμνου, καὶ χειροτονίας ποιεῖν κατὰ τὴν περίληψιν τῆς πράξεως αὐτοῦ, ὀφειλόντων καὶ τῶν ἐν τοῖς τρισὶ νησίοις εὑρισκομένων ἐντιμοτάτων κληρικῶν, εὐλαβεστάτων ἱερέων, χρησιμωτάτων ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου λαοῦ πείθεσθαι καὶ ὑποτάσσεσθαι αὐτῷ καὶ παρέχειν εὐγνωμόνως καὶ εὐπειθῶς πρὸς αὐτὸν ἅπαν ἐκκλησιαστικὸν εἰσόδημα καὶ δικαίωμα· ὃς δ' ἂν ἐναντίος φανῇ αὐτῷ καὶ ἀπειθὴς τῶν ἱερωμένων, ἀργὸς ἔστω πάσης ἱερατικῆς ἐνεργείας καὶ τάξεως, καταφρονῶν δὲ καὶ ἀφωρισμένος ἀπὸ Θεοῦ ὡς ἄξιος καθαιρέσεως, τῶν λαϊκῶν δὲ ἀφωρισμένος ἀπὸ Θεοῦ καὶ τὰ ἑξῆς. Ὅσα δὲ γράμματα προεδόθησαν ἀποξενοῦντα τὰ δύο νησία ταῦτα ἀπὸ τῆς αὐτῆς ἐπισκοπῆς Λέρνης, ὡς δοθέντα ἴσως κατὰ συναρπαγήν, ἄκυρα ἔστωσαν καὶ ὡς μὴ γεγονότα ὅλως λογιζέσθωσαν. Ὅθεν καὶ εἰς ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν ἐπικυρωτικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα καὶ ἐπεδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Ῥόδου, ὑπερτίμῳ καὶ ἐξάρχῳ τῶν Κυκλάδων νήσων, τῷ ἐν ἁγίῳ

Πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν, καὶ δι' αὐτοῦ τῇ ἁγιωτάτῃ ἐπισκοπῇ Δέρνης. Ἐν ἔτει ,ζριη', μηνὶ ἀπριλίῳ, ἰνδικτιῶνος η'.

CIII. 7125—1616, декабрь инд. XV. Грамота вселенскаго патріарха Тимоѳея II и священнаго синода о присоединеніи митрополіи Каваллы къ митрополіи Филиппъ.

К. П. А., I, 78.

Περὶ τῆς Καβάλλας ἴσον τοῦ πατριαρχικοῦ γράμματος.

† Τιμόθεος ἐλέῳ Θεοῦ κτλ.

Ἐπειδὴ ἡ μητρόπολις Καβάλλα ἀπὸ χρόνου πολλοῦ ἠρημώθη εἰς τὸ παντελὲς καὶ ἐπιστάτην ἴδιον ἀρχιερέα οὐ δύναται ἔχειν εἰς εὐλογίαν καὶ ἁγιασμὸν τῶν ἐγκαταλειφθέντων ὀλίγων χριστιανῶν· τούτου χάριν ἡ μετριότης ἡμῶν ἀποφαίνεται, ἵνα ἡ Καβάλλα, ὡς εἴρηται, ὑπάρχῃ ἡνωμένη εἰς τὴν ἁγιωτάτην μητρόπολιν Φιλίππων, καὶ ἔχῃ ὁ αὐτὸς ἱερώτατος Φιλίππων κὺρ [Κλήμης], ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργός, ἀρχιερατεύειν ἐν αὐτῇ καὶ ἐκτελεῖν ἅπαντα τὰ ἀρχιερατικά, μετὰ καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, κρίνειν τε πᾶσαν ἐμπίπτουσαν ἐκκλησιαστικὴν ὑπόθεσιν καὶ εἰς τὸν τοῦ δικαίου τόπον ἀποκαθιστᾶν, παρ' οὐδενὸς ἐναντιούμενος ἐν ἀργίᾳ καὶ ἀφορισμῷ. Ὅθεν καὶ εἰς ἀσφάλειαν ἐδόθη καὶ τὸ παρόν. Ἐν ἔτει ,ζρκε', ἐν μηνὶ δεκεμβρίῳ, ἰνδικτιῶνος ιε'.

Ὁ Νικομηδείας Γαβριήλ — Ὁ Παλαιῶν Πατρῶν Θεοφάνης, ἔχων καὶ τὰς γνώμας τοῦ Θαυμακοῦ, τοῦ Κορίνθου, τοῦ Χριστιανουπόλεως καὶ τοῦ Δράμας — Ὁ Σερρῶν Τιμόθεος — Ὁ πρώην Μονεμβασίας Ἀχίλλειος — Ὁ Ξάνθης Γαβριήλ — Ὁ Ζιχνῶν Ἰάκωβος — Ὁ Νευροκόπου Δανιήλ — Ὁ πρώην . . . . . Ἱερεμίας.

CIV. 1632, февраль, инд. XV. Грамота патріарха Кирилла I Лукариса и священнаго синода о возведеніи епископіи Закинѳа и Кефаллиніи въ достоинство архіепископіи.

К. П. А., I., 229 [1]).

Κύριλλος κτλ.

Ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς καὶ οἱ [2]) λοιποὶ εὐ-

[1]) Варіанты: Miklosich et Muller, Acta et diplomata, V, 74—76. Vindobonae 1887 [2]) Нѣтъ.

λογημένοι χριστιανοὶ τῆς περιφανοῦς καὶ θεοσώστου ἐπαρχίας τῶν νήσων Ζακύνθου καὶ Κεφαλληνίας, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος. Ἡμεῖς μὲν θέλοντες τιμῆσαι τὴν ἐπαρχίαν ταύτην, ἐπισκοπὴν οὖσαν τὸ πρότερον, εἰς ἀρχιεπισκοπὴν προεβιβάσαμεν, ἀποφήναντες διὰ γράμματος πατριαρχικοῦ καὶ συνοδικοῦ ὀνομάζεσθαι αὐτὴν ἀρχιεπισκοπὴν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, καὶ τὸν ἐν αὐτῇ χρηματίσαντα ἀρχιερέα ἱερώτατον κὺρ Νικόδημον [1]), τὸν ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν ἀδελφὸν καὶ συλλειτουργὸν [2]) τῆς ἡμῶν μετριότητος, καλεῖσθαι καὶ λέγεσθαι ἀρχιεπίσκοπον Ζακύνθου καὶ Κεφαλληνίας, μηδενὶ ἄλλῳ ὑποκείμενον, εἰ μὴ τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ καὶ τῷ κατὰ καιροὺς οἰκουμενικῷ πατριάρχῃ, οὗ καὶ τοῦ ὀνόματος ὀφείλει [3]) μνημονεύειν, ὡς κανονικόν τε καὶ δίκαιον· ἤντινα προβίβασιν τοῦ θρόνου αὐτοῦ ἀποδεξαμένη καὶ ἡ γαληνοτάτη καὶ χριστιανικωτάτη ἀρχὴ τῶν Ἑνετῶν, ἐβεβαιώσατο καὶ ἐκυρώσατο, ἣν καὶ ἡμεῖς μένειν βουλόμεθα διὰ παντὸς ἀμετάπτωτον καὶ ἀδιάσειστον. Ἐπεὶ καὶ [4]) ὡς ἐμάθομεν καὶ ἐπιστώθημεν νῦν, ὁ ἐν τῇ Ζακύνθῳ εὑρισκόμενος πρωτοπαπᾶς, παρὰ τάξιν ἐκκλησιαστικὴν τὰ τῷ ἀρχιερεῖ ἀνήκοντα πράγματα μετερχόμενος, ἐναντίος φαίνεται τῷ ἱερωτάτῳ ὑμῶν ἀρχιεπισκόπῳ σὺν ἄλλοις τισὶ τοῖς ἄρχουσι [5]) καὶ ἰδιοποιεῖται τὰ τοῦ ἀρχιερέως προνόμια, διαζευγνύων ἀνδρόγυνα καὶ ἐπιδιδοὺς [6]) διαζύγια, παρέχων ἄδειαν πρὸς σύστασιν [7]) συνοικεσίων καὶ ἐκφώνησιν ἀφορισμῶν [8]), κρίνων τὰς τυχούσας ἐκκλησιαστικὰς κρίσεις, ἀργῶν καὶ ἀφορίζων ἱερωμένους καὶ λαϊκούς, ἀγνοῶν ὅτι ταῦτα πάντα ὑπ' οὐδενὸς ἄλλου διοικοῦνται καὶ κυβερνῶνται, εἰ μὴ [9]) παρὰ τοῦ κατὰ τόπον ἀρχιερέως κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν, τουτέστιν [10]) ἐξουσίαν τοῦ λύειν καὶ δεσμεῖν ἔχοντος, ὡς ἐν πάσαις ταῖς ἁπανταχοῦ ἐπαρχίαις, ὅπερ ἄτοπον καὶ παράλογον κατὰ τοὺς ἀποστολικοὺς νόμους καὶ πατρικοὺς [11]) κανόνας, καὶ συγχέει τοὺς πλείστους τοῖς παραλόγοις αὐτοῦ ἐπιχειρήμασι καὶ σκάνδαλα προξενεῖ τῷ γνησίῳ καὶ καθολικῷ ὑμῶν ἀρχιερεῖ εἰς τὸ ἐμπιστευθὲν αὐτῷ λογικὸν τοῦ Χριστοῦ ποίμνιον, τὰ ὑπὲρ τὴν ἀξίαν καὶ δύναμιν αὐτοῦ χαρίσματα τῆς ἀρχιερωσύνης, ἱερεὺς ὤν, μετέρχεσθαι βουλόμενος· οὗτινος τὴν ἀτοπίαν καὶ προπέτειαν συστεῖλαι βουλόμενοι καὶ ὑμᾶς πληροφορῆσαι τὴν προβίβασιν τοῦ θρόνου αὐτοῦ καλῶς γεγονέναι, γράφομεν διὰ τοῦ παρόντος, γνώμῃ συνοδικῇ τῶν παρευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουρ-

---

[1]) καὶ τὸν ἐν αὐτῇ χρηματίσοντα ἱερώτατον Νικόδημον [2]) Нѣтъ [3]) ὀφείλοντα [4]) Ἐπειδὴ δὲ [5]) τῶν ἀρχόντων [6]) ἐπιδοὺς [7]) εὐλόγησιν [8]) ἀφορισμοῦ [9]) ἢ [10]) τοῦ τὴν [11]) Κῶδ. πατριαρχικούς.

γῶν ἡμῶν, ἵνα, τοῦ προεκδοθέντος συνοδικοῦ γράμματος περὶ τῆς προβιβάσεως τοῦ θρόνου αὐτοῦ κεκυρωμένου μένοντος καὶ βεβαίου καὶ ἀμετατρέπτου εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα, ἡ μὲν ἐπαρχία αὕτη τῆς Ζακύνθου καὶ Κεφαλληνίας, ὡς ἀπὸ ἐπισκοπῆς τιμηθεῖσα, ᾖ [1]) καὶ λέγηται ἀρχιεπισκοπὴ κατὰ τὴν ἀπόφασιν τοῦ ἡμετέρου συνοδικοῦ γράμματος καὶ κατὰ τὴν διάταξιν καὶ βεβαίωσιν τῆς γαληνοτάτης ἀρχῆς τῶν Ἐνετῶν, μηδενὶ ἄλλῳ ὑποκειμένη, εἰ μὴ τῷ κατὰ καιροὺς πατριάρχῃ, ὡς δεδήλωται· καὶ ὁ ταύτης ἀρχιερεὺς ἱερώτατος κύριος Νικόδημος, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργός, καλῆται καὶ λέγηται ἀρχιεπίσκοπος Ζακύνθου καὶ Κεφαλληνίας, παρ' οὐδενὸς ἄλλου ἐπισκεπτόμενος, ἢ παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ [2]) Μεγάλης Ἐκκλησίας, ἐν πάσῃ χρείᾳ καὶ ἀνάγκῃ ἐκκλησιαστικῇ, μνημονεύων ἐν τῇ θείᾳ μυσταγωγίᾳ [3]) τοῦ πατριαρχικοῦ ὀνόματος, συνάγων καὶ καρπούμενος τὰ ἐκκλησιαστικὰ αὐτοῦ εἰσοδήματα τῶν συνοικεσίων, τῶν διαζυγίων καὶ τῶν λοιπῶν συνήθων τῷ τόπῳ [4]), κρίνων καὶ θεωρῶν πᾶσαν ἐμπίπτουσαν ἐκκλησιαστικὴν ὑπόθεσιν νομίμως καὶ κανονικῶς, καὶ εἰς τὸν τοῦ δικαίου τόπον ἀποκαθιστῶν, καὶ πάντα τὰ ἐκκλησιαστικὰ ἐκτελῶν, τὰ ἀρχιερατικὰ δηλαδὴ μετὰ [5]) καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καὶ τὰς χειροτονίας ποιῶν [6]) καὶ ἀργῶν καὶ ἀφορίζων τοὺς ἀπειθοῦντας τυχὸν ἱερωμένους καὶ λαϊκούς· ὁ δὲ πρωτοπαπᾶς, ὁ νῦν καὶ ὁ ἐσόμενος, τῇ πρωτοπαπαδικῇ ἐνεργείᾳ ἀρκούμενος, παύσηται πάσης αὐθαδείας, μηδεμίαν ἐξουσίαν ἔχων, παρόντος καὶ ἀπόντος τοῦ κατὰ τόπον ἀρχιερέως, δικαιώματα λαμβάνειν, ἢ διαζύγια διδόναι, ἢ ἄδειαν τῶν συνοικεσίων παρέχειν, ἢ ἐκφώνησιν ἀφορισμῶν [7]), ἢ κρίνειν τὰς ἐκκλησιαστικὰς κρίσεις, ἢ ἀργεῖν καὶ ἀφορίζειν τινάς [8]), ἢ ἄλλο τι πράττειν ἀρχιερατικῆς [9]) ἐξουσίας καὶ ἐπισκέψεως [δεόμενον] [10]), καὶ ἐναντίος φαινόμενος τῇ συνοδικῇ ταύτῃ ἀποφάσει καὶ τῇ τῆς ἀρχῆς τῶν Ἐνετῶν ἐπιτάξει [11]), καὶ ἄρξηται πάλιν τῶν προτέρων βουλόμενος παρ' ἐκκλησιαστικὴν τάξιν τὰ τῷ ἀρχιερεῖ ἀνήκοντα μετέρχεσθαι καὶ καταφρονεῖν τῶν ἐκκλησιαστικῶν νόμων τε καὶ κανόνων, αὐτός τε καὶ οἱ συναινοῦντες αὐτῷ ἱερεῖς [12]) καὶ λαϊκοὶ ἀφωρισμένοι ἔστωσαν παρὰ Θεοῦ παντοκράτορος [13]) καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ θάνατον ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ ταῖς ἀραῖς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν ἁγίων συνόδων ὑπεύθυνοι. Ὅσας δὲ ἀπὸ τοῦ νῦν ἐκκλησιαστικὰς ὑποθέσεις τολμήσας ἐπιχειρήσεται ἐκτελέσαι ἐκ τῶν προρρηθέντων, ἄκυροι καὶ ἀνίσχυροι ἔστωσαν καὶ ὡς μὴ γεγονυῖαι λογιζέσθωσαν, καὶ οἱ δι' ἐπιτάγματος τοῦ πρωτοπαπᾶ ἱερεῖς ἐκκλη-

---

[1]) εἴη [2]) τοῦ Θεοῦ [3]) ἀκολουθίᾳ [4]) τοῦ τόπου [5]) ἀνευ (sic) [6]) πάσας (sic) [7]) ἀφορισμοῦ [8]) τινὰ [9]) Нѣтъ [10]) οὐδ' ἄλλως ποιήσῃ [11]) ἐπιτεύξει [12]) ἱερωμένοι [13]) καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

σιαστικόν τι ὑπούργημα ἐκτελέσαι θελήσοντες τῇ ἀργίᾳ καὶ τῷ ἀπὸ Θεοῦ ἀλύτῳ ἀφορισμῷ ὑπόδικοι ἔστωσαν. Ἐπὶ γὰρ τούτῳ [1]) ἐγράφη καὶ τὸ παρὸν συνοδικὸν ἐπιβεβαιωτικὸν [2]) γράμμα καὶ ἐπεδόθη τῇ ἀρχιεπισκοπῇ Ζακύνθου καὶ Κεφαλληνίας εἰς δήλωσιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑξακοσιοστῷ τριακοστῷ δευτέρῳ, ἐν μηνὶ φεβρουαρίῳ, ἰνδικτιῶνος δεκάτης πέμπτης.

Ὁ Ἡρακλείας Νεόφυτος — Ὁ Κυζίκου Παρθένιος — Ὁ Ἀδριανουπόλεως Παρθένιος — Ὁ Σερρῶν Δανιήλ — Ὁ Διδυμοτείχου Λαυρέντιος — Ὁ Σηλυβρίας Λαυρέντιος — Ὁ Βιζύης Δαμασκηνὸς — Ὁ Βάρνης Παρθένιος — Ὁ Ἐλασσῶνος Ἰωάσαφ. — Ὁ Ῥαιδεστοῦ καὶ Πανίου Θεοφάνης. — Ὁ Γαγγρῶν καὶ Νεοκαισαρείας Μακάριος [3]).

CV. 1661. Сигиллій патріарха Парѳенія IV архіепископу Халдіи и Херіанъ Евѳимію о независимости его епархіи отъ притязаній Трапезунтскаго митрополита Филоѳея.

I. П. Б., CCLXXVI, 167α—168β.

Οὐ μόνον ἀξιόχρεον, ἀλλὰ καὶ ἀναγκαῖον ὄντως δοκεῖ τοῖς πραττομένοις ἀεὶ τῶν πραγμάτων κατὰ τὴν καθ' ἡμᾶς τοῦ χρόνου φορὰν γράμμασιν ἐντυποῦσθαι καὶ ὑπομνήμασι περισώζεσθαι τὰ προγεγονότα τοῖς ὀψιγόνοις ἀνδράσι, δι' ὧν ἀθανατίζεσθαί πως οἵδε τὰ πράγματα καὶ τὴν φθορὰν τῆς φορᾶς ἀποφεύγειν καὶ τὰ παρελθόντα τοῖς μεταγενεστέροις καθάπερ ἄρτι λαλοῦντα καὶ ζῶντα καὶ ἐνεργοῦντα καὶ οἱονεὶ παρόντα τελεῖν, ὅπερ καὶ μᾶλλον ἀναγκαῖον τῇ ἀληθείᾳ καθέστηκε τοῖς ἐν δικαστηρίοις γενέσθαι φθάσασι καὶ κρίσιν καὶ ἀπόφασιν εἰληφόσι περὶ οὑτινος οὖν φημι πράγματος· καὶ γὰρ εἰς τὰ τοιαῦτα, χρήζοντά τινος βεβαιώσεως, τέως ὀφείλουσι παριστᾶν τὴν κατὰ πᾶσάν ποτε περίστασιν περὶ αὐτῶν [4]) προβᾶσαν ἀπόφασιν, κατά τε τόπον καὶ χρόνον δηλαδὴ καὶ αἰτίαν καὶ τρόπον καὶ ὅσα ἄλλα κατά τε ῥήτορας καὶ δικαστὰς ἐξετάζεται. Ἐπειδὴ δὲ τοιγαροῦν ἐκινήθη καὶ ἤδη ἐνώπιον τῆς ἡμῶν μετριότητος, συνοδικῶς προκαθημένης, συνεδριαζούσης αὐτῇ καὶ τῆς ἐνδημούσης ἱερᾶς ἀρχιερατικῆς ὁμηγύρεως, ἀγωγή τις καὶ κρίσις περὶ τῆς ἐπαρχίας Χαλδείας, καὶ παρέστησαν ἡμῖν οἵ τε ἱερώτατοι μητροπολῖται Τραπεζοῦντος κὺρ Φιλόθεος καὶ ὁ Χαλδείας κὺρ Εὐθύμιος, ὁ μὲν ἀντιποιούμενος τῆς Χαλδείας καὶ σπεύδων αὐτὴν ὑποτάξαι τῇ μητροπόλει αὐτοῦ Τραπεζοῦντος, ὡς ἐπισκοπὴν αὐτῆς δῆθεν οὖσαν ἐκ τοῦ πάλαι ἀρχαίου, κατὰ τὰς φερομένας τῶν παλαιῶν καταλόγων ὑποτυπώσεις καὶ γράμμασί τισιν ἔτι ἐπερειδόμενος τῶν μεταγενε-

---

[1]) τοῦτο [2]) ἐπιβεβαιωτήριον [3]) У М.-М. подписи архіереевъ не совпадаютъ съ экземпляромъ К. П. А [4]) К. ἑαυτῶν.

στέρων, δι' ὧν κατὰ καιροὺς εὐαριθμήτους τὴν προσηγορίαν ταύτην τῆς ἐπισκοπῆς ἐπὶ τῆς Χαλδείας δεικνύουσιν ὁπωσδήπως ἐκφωνηθῆναι, οὐ μέντοι καὶ στερχθῆναι τὴν κλῆσιν ἐνδελεχίζουσιν, ἐπὶ τούτοις τε πᾶσι τὸ πλέον δικαιολογούμενος, ὅτι τὴν μητρόπολιν ἀνεδέξατο πρὸ ὀλίγου συντεταγμένην ἔχουσαν ἑαυτῇ καὶ ταύτην τὴν παλαιὰν αὐτῆς ἐπισκοπήν· ὁ δὲ Χαλδείας, ἁπάντων τοῖς λόγοις αὐτοῦ, οὐ μόνον καιρίαις ταῖς ἀποκρίσεσι, ἀλλὰ καὶ γεγραμμέναις ἐν ἰσχύι ταῖς ἀντιθέσεσιν ἐπετείνετο, γράμματά τε πάνυ πολλὰ τῶν προπάλαι ἀοιδίμων πατριαρχῶν εἰς μέσον ἐσώρευσεν, ἀναγνωσθέντα ἐπὶ συνόδου καὶ διατρανώσαντα τὴν ὑπόθεσιν, ὡς ἡ ἐπαρχία αὕτη πρὸ χρόνου ἔφθασε συχνῶν προσώπων αἰτίαις τισὶ καὶ ἀφορμαῖς ἀκαταγνώστοις κατὰ πάντα λόγον δικαιοπραγίας, ἅπαξ ἀποσπασθῆναι τῆς μητροπόλεως Τραπεζοῦντος καὶ ἀρχιεπισκοπικοῦ προτερήματος ἀξιωθῆναι καὶ ἀρχιεπισκοπὴν ἔκτοτε μέχρι τοῦ νῦν εἶναί τε καὶ ὀνομάζεσθαι καὶ τοὺς ἐν αὐτῇ χειροτονηθέντας ἀρχιερεῖς τοῖς ἀρχιεπισκόποις καταλέγεσθαι, αὐτεξουσίᾳ καὶ αὐτονομίᾳ συζήσαντας, μεθ' οὓς καὶ αὐτὸς ὁ κύρ Εὐθύμιος, ἀρχιεπισκοπὴν ταύτην λαβών, ἐπὶ τοιούτῳ βαθμῷ ἀρχιερεὺς ταύτης προεχειρίσθη καὶ ἀρχιεπίσκοπος ἀναντιρρήτως προεβλήθη καὶ ἐν τῇ χειροτονίᾳ αὐτοῦ τὴν θείαν ἐπίκλησιν τοῦ παναγίου καὶ τελεταρχικοῦ Πνεύματος διὰ τῆς θεσπεσίας ἐκείνης φωνῆς ἐπ' ὀνόματι ἀρχιεπισκόπον ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων ἐδέξατο καὶ ἀρχιεπίσκοπος διετέλει μέχρι τοῦ δεῦρο καλούμενος καὶ ἐπιγραφόμενος καὶ παντὶ τῷ ποιμνίῳ αὐτοῦ γνωριζόμενος καὶ σάκκον ἀμφιεννύμενος κατὰ τὰς ἱερὰς τελετὰς καὶ μηδενὶ ὑποκείμενος, εἰ μὴ μόνῳ τῷ πατριαρχικῷ τουτὶ καὶ οἰκουμενικῷ θρόνῳ. Ἐκείνων ἀμφοτέρων τοὺς λόγους ἐξακριβώσασι καὶ ἐσκεμμένως ζυγοστατήσασιν, ἄτοπον ὅλως ἡμῖν ἐφάνη καὶ ἀνακόλουθον ἀνατρέψαι, φημί, καὶ λόγους θείους καὶ χειροτονίας καὶ τρόπους μεμαρτυρημένης δικαιοπραγίας καὶ συνοδικὰς ἀποφάσεις καὶ γράμματα αἰδεσιμωτέρων, ὑπομνήματά τε καὶ χρονικὴν παράτασιν παραβλέψαι καὶ ἀναποδισμόν τινα ἐκτολμῆσαι πραγμάτων, ὥστε ἀπὸ προβεβηκότος βαθμοῦ εἰς ὑποδεεστέραν τάξιν ἀτάκτως καταβιβάσαι τὴν ἐπαρχίαν καὶ συνταράξαι τοὺς ἐκεῖσε φιλευσεβεῖς καὶ ὀχλοποιῆσαι τὰ τέως ἠρεμοῦντα πράγματα, καίτοι τὸ πρὸς οἰκοδομὴν πάντα ποιεῖν διδαχθέντες ὑπὸ τοῦ θεοκήρυκος Παύλου καὶ τὴν εἰρήνην ὑπὲρ πάντα διώκειν ὀφείλοντες, ὡς τοῦ εἰρηνάρχου καὶ εἰρηνοποιοῦ μαθηταί· εἰ γὰρ ὁ μακρὸς ἁπλῶς ἀεὶ χρόνος καὶ ἡ συνεχὴς ἕξις καὶ ἡ παρατεταμένη τοῦ καιροῦ συνήθεια εἰς φύσιν ἤντιναχοῦ ἄγειν οἴδασι τὰ πράγματα καὶ νόμου λόγον ἐσχήκασι καὶ ἀμετακίνητα συντηροῦσιν ἐκεῖνα, πόσῳ μᾶλλον ἐπιστηρίζουσι τῶν ὑποθέσεων τὰς προθέσεις, ὅταν τὸν λόγον καθηγεμόνα προπορευόμενον ἔχωσι καὶ δικαίαν αἰτίαν καὶ δικαστικὴν ψῆφον, ὡς συνοδικῆς ἀποφάσεως δύναμιν· πᾶν γὰρ τὸ τοιου-

τοτρόπως ἀρχαιότητι διαφέρον αἰδέσιμον πάντως καὶ ἔστι καὶ λέγεται κατὰ τὸν οὐρανοφάντορα θεῖον Βασίλειον. Ἔνθεν τοι συνοδικῶς ἐκρίθη μετὰ πολλῆς τῆς ἀκριβείας, ὡς δίκαιον καὶ εὔλογον καὶ ἁρμόδιον καὶ ἐνακόλουθον τὴν ἐπαρχίαν ταύτην τῆς Χαλδείας καὶ Χεριάνων εἰς τὴν ἑαυτῆς τάξιν ἐπιμεῖναι, ἐν ᾗ κατέστη ὑπὸ τῶν πρὸ ἡμῶν ἀοιδίμων πατριαρχῶν, λόγοις καὶ τρόποις δικαίοις τοῖς παρ' ἐκείνων τότε κριθεῖσι, καὶ μὴ συγχωρηθῆναι κατὰ τὰς ἡμέρας ἡμῶν νεωτερισμούς τινας ἀνωφελεῖς καὶ μυρίων ἀτοπημάτων αἰτίους, ὥστε τὰ φρικτὰ παικτὰ καταστῆσαι καὶ τὰς χειροτονίας καὶ ἐνεργείας τοῦ Πνεύματος πραγματείας τινὰς ματαιότητος δεῖξαι καὶ μυκτηρισμὸν καὶ χλεύην ἐπενεγκεῖν τοῖς φοβεροῖς καὶ ἀπροσίτοις καὶ θεότητος ἐπιπνέουσιν, ὧν τὴν ἀνατροπὴν ἀδύνατον ἤδη γνοὺς καὶ αὐτὸς ὁ ἱερώτατος μητροπολίτης Τραπεζοῦντος κὺρ Φιλόθεος συνεστάλη τῷ δέει τῆς εὐλαβείας καὶ ὅλαις χερσὶ καὶ γνώμαις παρῃτήσατο τῆς ἀκαίρου ἐκείνης διαγωγῆς καὶ ὑπεχώρησεν ὅλως τῇ δικαιοσύνῃ καί, συγκατανεύσας ἑκουσίως τῇ εὐλογοφανεῖ ἀποφάσει τῆς ὑπερτελοῦς συνόδου, διηλλάγη τῷ Χαλδείας κὺρ Εὐθυμίῳ, μηδέποτε μνησθῆναι προσειπὼν καλέσαι τὴν αὐτὴν ἐπαρχίαν τῆς Τραπεζοῦντος, ἥνπερ ἀπόφασιν καὶ διὰ γράμματος ἐκτρανῶσαι διέγνωμεν καὶ ἐπὶ πλέον κατασφαλίσαι. Τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς γνώμῃ καὶ τῶν παρευρισκομένων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα, πάντων τῶν ἐν χερσὶ τοῦ Τραπεζοῦντος φαινομένων ὅπωσδήπως γραμμάτων ἀκύρων ὄντων καὶ ἀνισχύρων καὶ εἰς οὐδὲν λογιζομένων, ἡ ἐπαρχία αὕτη Χαλδείας καὶ Χεριάνων εἴη κυρίως ἀρχιεπισκοπή, κατὰ τὰ γράμματα τῶν πρὸ ἡμῶν ἀεισεβεστάτων πατριαρχῶν, ἔχοντα τὸ κῦρος καὶ τὴν ἰσχὺν καὶ τὸ ἀδιάπτωτον μέχρις οὗ ὁ ἥλιος ἐπὶ γῆς ἀφορᾷ, καὶ ὁ διαληφθεὶς κὺρ Εὐθύμιος ἔχῃ τὸν βαθμὸν καὶ τὴν τάξιν αὐτοῦ καθὼς προεχειρίσθη καὶ ἐξ ἀρχῆς ἐχειροτονήθη, ἀρχιεπίσκοπος Χαλδείας ὢν καὶ ὀνομαζόμενος, γνήσιός τε καὶ νόμιμος καὶ κανονικὸς κατὰ τὰ προνόμια τῶν ἀρχιεπισκόπων γνωριζόμενος ἑκασταχοῦ καὶ ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ μνημονευόμενος οὕτω καὶ φημιζόμενος, σάκκον τε ἀμφιεννύμενος ἐν ταῖς ἱεραῖς τελεταῖς, ὡς τὸ πρότερον, καὶ μόνῳ τῷ πατριαρχικῷ καὶ οἰκουμενικῷ θρόνῳ ὑποτασσόμενος καὶ τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην γινώσκων ἀρχηγὸν αὐτοῦ καὶ προεστῶτα, ὡς καὶ οἱ λοιποὶ ἀρχιεπίσκοποι, καὶ παρέχων κατ' ἔτος τὰ ἐκκλησιαστικὰ δικαιώματα καὶ τὸ βασιλικὸν αὐτοῦ χαράτζιον πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν ἢ πρὸς τοὺς ἐκεῖσε πεμπομένους ἐξάρχους, μηδεμίαν μετοχὴν ἔχοντος τοῦ κατὰ καιροὺς μητροπολίτου Τραπεζοῦντος ἐν αὐτῇ τῇ ἀρχιεπισκοπῇ καὶ τῷ ταύτης ἀρχιεπισκόπῳ Χαλδείας καὶ Χεριάνων τὸ σύνολον· ὅς δ' ἂν ὀψέ ποτε βουληθῇ ἀνατρέψαι τὰς

τοιαύτας καὶ τοσαύτας ἀποφάσεις τὰς συνοδικὰς καὶ δικαίας καὶ τὴν ἀρχιεπισκοπὴν ταύτην εἰς ἐπισκοπὴν καταβιβάσαι, ὁποίου ἂν τύχοι βαθμοῦ καὶ τάξεως, ὁ τοιοῦτος ὑπόδικος εἴη ταῖς συνοδικαῖς καὶ πατριαρχικαῖς ἀραῖς καὶ κληρονόμος τῆς αἰωνίου κολάσεως καὶ τὸν Θεὸν καὶ Κύριον τῆς δόξης εὕροι ἀντίθετον καὶ ἀντιμαχόμενον αὐτῷ ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, καὶ ἡ μερὶς αὐτοῦ εἴη μετὰ τοῦ προδότου Ἰούδα καὶ τῶν σταυρωτῶν. Ὅθεν εἰς ἔνδειξιν ἐγράφη καὶ τὸ παρὸν ἐπιβεβαιωτήριον συνοδικὸν καὶ συγγιλλιῶδες γράμμα καὶ ἐνεχειρίσθη τῷ προδιαληφθέντι θεοφιλεστάτῳ ἀρχιεπισκόπῳ Χαλδείας καὶ Χεριάνων, τῷ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κὺρ Εὐθυμίῳ, εἰς διηνεκῆ τὴν ἀσφάλειαν. ,αχξα'.

Παρθένιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως καὶ οἰκουμενικὸς πατριάρχης.

Ὁ Τραπεζοῦντος Φιλόθεος στέργω τοῖς ἄνωθεν.

CVI. 1695, іюль, инд. III. Сигиллій патріарха Каллиника II о принадлежности селъ Гарасары къ Неокесарійской митрополіи.

I. П. Б., CCLXXVI, 165β—166β.

Τῶν ὅσα τῷ παρόντι συγκεκλήρωται βίῳ, τῆς οἰκείας ἔσθ' ὅτε τινὰ θέσεως ἐξοικιζόμενα, περιστάσεσιν ὅπως ποτέ τισι τοῦ καιροῦ, καθὼς εἴωθε φέρεσθαι τοῦ λοιποῦ καὶ ἀτάκτως ἄγεσθαι καὶ στάσιν οὐδέποτε ἐσχηκέναι μόνιμον, ὡς τοὺς προσφυεῖς τῆς σφῶν καταστάσεως ὅρους τέως ἀπολέσαντα, καὶ πῇ μὲν ᾗδε πῇ δ' ἐκεῖσε ἀντιθέτως καὶ ἀλλεξάλλως καθέλκεσθαι, στάσεις τε κατὰ καιροὺς καὶ φιλονεικίαι καὶ θόρυβος τοῖς τοιούτοις συνέπονται μεταξὺ πολλῶν τῶν ἰδιοποιεῖσθαι ταῦτα διισχυριζομένων [1]) ἐφευρολογιῶν ποικιλίαις καὶ προφάσεων· τό γε φθάσαν ἀποπεσεῖν τῆς πρὸς τὸν κτησάμενον εἰδικῆς καὶ διωρισμένης δεσποτείας, καὶ ταύτης ἐν ἀδήλοις ἀποκρυβείσης, τοῦ προκαταλαβόντος λοιπὸν πέφυκε γίνεσθαι μέχρις ἂν τὸν προσφυῆ καταλάβῃ τόπον καὶ ἐπὶ τὴν ἰδίαν ἀνακληθὲν ἐπανέλθῃ τάξιν τε καὶ κατάστασιν, κανόνι ποτέ τινι τῆς ἠκριβωμένης διαιτήσεως. Τοῦτο αὐτὸ συνέπεσέ πως ἐκ τῶν ἄνωθεν οὐκ ὀλίγῳ χρόνῳ καὶ μεταξὺ δύο τινῶν ἐπαρχιῶν, ἤγουν τῆς μητροπόλεως Νεοκαισαρείας καὶ τῆς ἀρχιεπισκοπῆς Χαλδείας, μακροὺς ἀγῶνας ἀμοιβαδὸν ἀναλαμβανόντων ἐπὶ τούτῳ κατὰ καιροὺς τῶν ἀρχιερατεύειν λαχόντων ἐν αὐταῖς ἄχρι καὶ σήμερον, περὶ ἀντιποιήσεως χωρίων τινῶν τῆς λεγομένης Γαρασάρης· ἅπαξ γάρ, οὐκ οἶδ' ὅπως, τῆς ἀρχαίας αὐτῶν μετακινηθέντων καταστάσεως, λήθης ἐκεῖθεν γνόφος κατέλαβε

[1]) К. διισχυριζόμενον.

περιπετείᾳ τοῦ χρόνου τὸν ἐκ πρώτης κατάρξεως ταῦτα ἐξουσιάσαντα, κἀντεῦθεν ἑκατέρων τῶν ἀρχιερέων ἀντιποιουμένων τῶν χωρίων, ὅλαις χερσὶ δικαιολογίαις διαφόροις, καί πως εὐπροσώποις ἐπιχειρήμασι, ποτὲ μὲν ὁ Νεοκαισαρείας ποτὲ δὲ ὁ Χαλδείας ἐξέλκοντες ὑπὸ τὴν ἰδίαν ἑκάτερος ἐξουσίαν ἐτίθετο, πατριαρχικοῖς καὶ συνοδικοῖς γράμμασιν ἐμπεδοῦντες παρ' ἑαυτοῖς τὴν ἐκείνων δεσποτείαν καὶ ἐπικράτειαν, οἷα φιλεῖ συμβαίνειν ἀεὶ σχεδὸν ἐν ἅπασι τοῖς ἀμφισβητουμένην ἔχουσιν ἐν ἑαυτοῖς τὴν τοῦ πράγματος ἀλήθειαν. Εἰς τέλος οὖν ἐγκρατὴς ἐγένετο τῶν διαλειφθέντων χωρίων ὁ πρὸ χρόνων εὐαριθμήτων χρηματίσας μητροπολίτης Νεοκαισαρείας κὺρ Κυπριανός, ὅστις ἐν ταῖς ἡμέραις αὐτοῦ μάλ' ἀπρεπῶς ἐξευρὼν ἐπίνοιαν φαυλεπιφαυλοτάτην ἀτεχνῶς ἐπώλησεν ἀργυρίοις ἱκανοῖς τὰ χωρία ταῦτα πρὸς τὸν τότε ἀρχιεπίσκοπον Χαλδείας κὺρ Γρηγόριον οἱονεί τινα ταῦτα κλῆρον εἶναι πατρῷον αὐτοῦ ἡγησάμενος· εἶτα μετὰ μικρὸν εἰς τὴν Καισαρείας Καππαδοκίας μητρόπολιν ἐκείνου μετατεθέντος προεχειρίσθη μητροπολίτης Νεοκαισαρείας ὁ νῦν ἀρχιερατεύων ἐν αὐτῇ κὺρ Ἰγνάτιος, ὅστις τὰ δίκαια τῆς ἐπαρχίας αὐτοῦ κανονικῶς σώζεσθαι βουλόμενος παρέστη ἐπὶ συνόδου καὶ κινήσας ἀγωγὴν ἐξήγγειλε τὴν χρηματικὴν πραγματείαν, ἣν ἐπραγματεύσαντο ἐν τοῖς αὐτοῖς χωρίοις, καὶ ταῦτα μεμορτυρημένην οὖσαν κοινῶς τ' ἐγνωσμένην καὶ πασίδηλον παρὰ ταῦτα ἀπόδειξιν σαφῆ καταστᾶσαν τοῦ μὴ ὑπάρχειν τὰ χωρία τοῦ Χαλδείας ἰδιόκτητα κυρίως, ἐπειδὴ δι' ἀγορᾶς ἠθέλησε ταῦτα κτήσασθαι, οὐδεὶς γὰρ οἶδεν ἀγοράζειν τὰ ἴδια, ἀλλὰ τὰ ἀλλότρια δι' ἀγορᾶς λαμβάνει καὶ δεσπότης αὐτῶν γίνεται, καθάπου μιᾷ φωνῇ πάντες σχεδὸν διαβεβαιοῦνται, τοῦτ' αὐτὸ δι' ἀκριβοῦς καὶ ἀσφαλοῦς κρίσεως καὶ περὶ τοῦ συμβολαίου ἐκείνου τοῦ πραγματευθέντος ὑπὸ τῶν διαληφθέντων δύο ἀρχιερέων ἐκείνων, ἠξίωσε μεθ' ὅσης δεήσεως κρίσιν ἐκκλησιαστικὴν γενέσθαι συνοδικῶς, ὅπως, εἰ μὲν εὔθετον φανῇ καὶ εὐάρεστον τῷ Κυρίῳ τὸ τοιοῦτον πρατήριον καὶ ἡ πρᾶσις εὔλογος καὶ εὐάρεστον τὸ συμβόλαιον, σιγᾶν αὐτὸν ἐντεῦθεν καὶ τῶν χωρίων ἀπέχειν καὶ σχολάζειν τῆς ἀγωγῆς, εἰ δ' ἄλλως ἀνένδεκτος ἐξ ἐναντίας ἐλεγχθῇ ἡ πώλησις καὶ ἀπρόσφορος, εἴ τι ἂν ἐπὶ τούτῳ κελεύσῃ ἡ σύνοδος ἐκεῖνο καὶ λάβῃ τὴν ἐπικύρωσιν, καὶ οὕτω, τῆς ὑπεθέσεως συνοδικῶς γυμνασθείσης, δέδεκται πάνυ δίκαιον εἶναι καὶ κανονικὸν τὸ ἀνασκευασθῆναι δι' ὅλου καὶ εἰς ἀμνηστείας καταπεμφθῆναι βυθοὺς τὴν παράλογον ἐκείνην ἀλλόκοτόν τε καὶ ἀνυπόστατον πρᾶσιν, ὡς πάντῃ ἀπόβλητον καὶ μηδεμίαν ἔχουσαν χώραν ἐν τῇ ἱερᾷ καταστάσει τῆς ἐκκλησίας οὐδὲ ὑποστάσεως σύστασιν· τὸ γὰρ ἀπεμπολεῖν καὶ πιπράσκειν τὸ φύσει ἄπρατον ἀδυνάτως ἐστὶν ἐπιχειρεῖν ἄντικρυς ὡς ἐπὶ τῶν ὑδάτων ἐλαύνειν ἅμαξαν καὶ μήτε ὁ πωλῶν ἤδη ἐπώλησέ τι μήτε ὁ ἀγοράζων ἠγόρασεν, ἀλλ' εἰς κενὸν ματαιά-

ζουσιν ἐξαπατῶντες ἀλλήλους καὶ φενακίζοντες, δὸς δ' εἰπεῖν τ' ἀληθέστερον πλανῶντες καὶ πλανώμενοι. Τούτου ἕνεκα γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, ἵνα ἡ μὲν παρὰ Κυπριανοῦ πώλησις ἐκείνων τῶν χωρίων πρὸς τὸν τότε ἀρχιεπίσκοπον Χαλδείας κὺρ Γρηγόριον, ὡς ἔργον ἔκφυλον καὶ τῆς Ἐκκλησίας ἀλλότριον, ὡς φροῦδον συμβόλαιον καὶ ἐξίτηλον ἐμπόρευμα καὶ κακούργως ἐξειργασμένον καὶ τὸ ὅλον παράνομον, ἄκυρον ὑπάρχῃ καὶ ἀνίσχυρον καὶ εἰς οὐδὲν λογιζόμενον· τὰ γὰρ κακῶς κριθέντα καὶ τυπωθέντα οὔτε νόμος οὔτε χρόνος οὔτε συνήθεια βεβαιοῖ, ῥητῶς ὁ θεῖος νόμος φησί· τὰ δὲ διαληφθέντα χωρία τῆς Γαράσπρης, ὡς ἀναφανέντα γνήσια τῆς μητροπόλεως Νεοκαισαρείας, ὑπάρχωσι τοῦ λοιποῦ προσκεκληρωμένα τῇ αὐτῇ μητροπόλει ἀναποσπάστως μέχρι παντός. καὶ μόνος ὁ νῦν ἱερώτατος μητροπολίτης Νεοκαισαρείας, ὑπέρτιμος καὶ ἔξαρχος Πόντου Πολεμωνιακοῦ, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Ἰγνάτιος, ὡσαύτως καὶ οἱ μετ' αὐτὸν ἀρχιερατεύσοντες ἔχωσιν εἰς τὴν δεσποτείαν καὶ ἐξουσίαν αὐτῶν τὰ χωρία ταῦτα ὡς ἐνοριακὰ τῆς αὐτῆς ἐπαρχίας, ἀρχιερατεύοντες ἐν αὐτοῖς ἀναμφιβόλως καὶ εὐλογοῦντες καὶ ἁγιάζοντες τοὺς ἐνοικοῦντας ἐν αὐτοῖς χριστιανούς, καρπούμενοί τε καὶ νεμόμενοι τὰ παρ' αὐτῶν ἐκκλησιαστικὰ δικαιώματα· καὶ πάντες οἱ τῶν αὐτῶν χωρίων χριστιανοί, ἱερωμένοι καὶ λαικοί, τὸν ἱερώτατον μητροπολίτην Νεοκαισαρείας γινώσκωσιν ἀρχιερέα καὶ ποιμένα πνευματικὸν αὐτῶν γνήσιον καὶ νόμιμον καὶ κανονικὸν καὶ μνημονεύωσι τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς, πειθόμενοι καὶ ὑποτασσόμενοι αὐτῷ κατὰ τὸ πρέπον καὶ δίκαιον, παρέχοντες ἀπροφασίστως τὰ ἀνήκοντα αὐτῷ ἐκκλησιαστικὰ δικαιώματα, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ. Ὅθεν εἰς ἔνδειξιν ἐξεδόθη αὐτῷ καὶ τὸ παρὸν συγγιλλιῶδες γράμμα. ,αχϟε' μηνὶ ἰουλίῳ, ἰνδικτιῶνος γ'.

Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κων/πόλεως καὶ οἰκουμενικὸς πατριάρχης.

CVII. 1698, октябрь, инд. VII. Сигиллій патріарха Каллиника II и священнаго синода о соединеніи патріаршей экзархіи Керасунта съ митрополіей Трапезунта.

I. П. Б., CXXIV, 87[3]—89[a].

† Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Τῶν περὶ τὴν ἐκκλησιαστικὴν εὐκοσμίαν τεταγμένων πραγμάτων, παροικιῶν, φημί, τινῶν καὶ ἄλλων παρομοίων, ὅσα, κατὰ καὶ

ροὺς ἐναρξάμενα καὶ ταῖς ἐκείνων φοραῖς καθυποκύπτειν λαχόντα, διαφόρως εἴωθε διεξάγεσθαι παρὰ τῶν θεόθεν τὴν προστασίαν τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἐγχειρισθέντων, κατὰ τὴν ἀπαίτησιν τῶν τοῦ καιροῦ καλεσμάτων, πῇ μὲν οὕτως, πῇ δ' ἄλλως ἀνεπιλείπτως μεταφερόμενα καὶ μεταττόμενα, πρὸς τὸ εὔθετον τῆς ἀποστολικῆς ἐντολῆς προοδοποιούσης τὰς ὑποθέσεις, ἅτε πρὸς οἰκοδομὴν τὰ πάντα γίνεσθαι προτρεπούσης. Ἔνθεντοι καὶ κατὰ τὸ παρόν, ἀναγγείλας ἡμῖν συνοδικῶς ὁ ἱερώτατος μητροπολίτης Τραπεζοῦντος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λαζικῆς, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Νεκτάριος, ἐδεήθη συναρμοσθῆναι τῇ αὐτοῦ ἐπαρχίᾳ τὴν πατριαρχικὴν ἐξαρχίαν Κερασοῦντος καὶ συνυπαχθῆναι τῇ αὐτοῦ προστασίᾳ καὶ ἐξουσίᾳ, οὔτε διὰ πλεονεξίαν, φησί, τινὰ δεόμενος ταύτης τυχεῖν, οὔτε διὰ φιλοδοξίαν ἢ ἄλλην αἰτίαν ἕωλον, ἣν ὑπονοήσειέ τις τυχόν, ἀλλ' ἐξ ἀνάγκης ὥς τι κρυσφύγετον ἐζήτησεν ἔχειν αὐτήν, ὅπως, ἀποκλίνων ἐνίοτε δηλαδὴ τὰς τῶν δυναστευόντων ἐπηρείας, ὑφ' ὧν ἐνοχλεῖται κατὰ τόπον (πολλὴ γάρ τις ἐπιπολάζει παφλάζουσα τοῖς ἐκεῖσε μέρεσιν ἡ τυραννικὴ δριμύτης) μεταβαίνῃ ἐκεῖσε πρὸς μικρὰν ἄνεσιν καὶ πάλιν μετὰ μικρὸν ἐπανακάμπτῃ, δοκῶν πως ἀνακουφίζεσθαι τῷ τρόπῳ τούτῳ καὶ εὑρίσκειν ἐλάφρωσιν τῶν δεινῶν διὰ τῆς τῶν τόπων ἐναλλαγῆς· περὶ οὗ συνετελέσθη διάγνωσις συνοδικὴ καὶ συνεωράθη κοινῶς εὔλογον ὑπάρχειν τὴν αἴτησιν αὐτοῦ καὶ δικαίας ἐχομένην αἰτίας, χρεόν τε πάντως εἶναι τὸν ἀρχιερέα τυχεῖν τῆς ἐκκλησιαστικῆς ἀντιλήψεως, ἀνεπηρέαστον χαριζομένης αὐτῷ καὶ ἀσφαλεστέραν ἐνδιαίτησιν ἐπὶ κατεπειγούσαις ἀνάγκαις· καὶ οὕτως ἐγνωμοδοτήθη κοινῶς, ἑνωθῆναι τέως τὴν ἐξαρχίαν Κερασοῦντος μετὰ τῶν ἀνέκαθεν ὑποκειμένων αὐτῇ χωρίων τῇ μητροπόλει Τραπεζοῦντος, ὥστε συνημμένην ταύτῃ διατελεῖν τοῦ λοιποῦ ἀδιαιρέτως καὶ ἀδιασπάστως καὶ μίαν μόνην ἐπαρχίαν εἶναί τε καὶ λογίζεσθαι, δεσποζομένην καὶ ἐξουσιαζομένην ὑπό τε τοῦ νῦν καὶ τοῦ κατὰ καιροὺς μητροπολίτου Τραπεζοῦντος, ὡς ἐνοριακὴ καὶ γνησία αὐτοῦ χώρα ἀναμφισβητήτως καὶ ἀνεπικωλύτως. Ἐπὶ δὲ τούτοις διέγνωσται, ὅπως ὀφείλῃ παρέχειν κατ' ἔτος μόνον τὸ ἐτήσιον, ὅπερ ὑπῆρχε διωρισμένον λαμβάνειν ἐξ αὐτῆς τοὺς λαχόντας ἔχειν ταύτην ἐξαρχικῶς τιμιωτάτους κληρικοὺς τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἤτις κατὰ τὸ ἐνεστὸς ἐξαρχία τελεῖ τοῦ τιμιωτάτου καὶ λογιωτάτου πρωτεκδίκου τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κυρίου Σπαντωνῆ, υἱοῦ κατὰ πάντα ἀγαπητοῦ τῆς ἡμῶν μετριότητος, καὶ αὐτὸς ἔχει παραλαμβάνειν ταύτης τὸ ἐτήσιον ἀνελλιπῶς· ἂν δ' ὀψέποτε φανῇ ἀπαναινόμενος τὴν δόσιν τοῦ αὐτοῦ ἐτησίου ὁ κατὰ καιροὺς μητροπολίτης Τραπεζοῦντος ἐκπίπτειν τὴν Κερασοῦντα ταύτην τῆς ἐξουσίας αὐτοῦ καὶ ἀποσπᾶσθαι τῆς μητροπόλεως Τραπεζοῦντος καὶ εἰς τὴν

προτέραν αὐτῆς ἀντικαθίστασθαι τάξιν. Τούτου χάριν καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς, ἵνα ἡ διαληφθεῖσα ἐξαρχία Κερασοῦντος μετὰ τῶν ὑποκειμένων αὐτῇ χωρίων Τριπόλεως καὶ Κορυλῶν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑπάρχῃ συνηνωμένη τῇ μητροπόλει Τραπεζοῦντος μετὰ πάντων τῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτῆς, κινητῶν τε καὶ ἀκινήτων, ἀδιαιρέτως καὶ ἀναποσπάστως μία καὶ μόνη ἐπαρχία ἐξ ἀμφοτέρων ὑπάρχουσα, ὡς γνησία καὶ ἐνοριακὴ χώρα τῆς μητροπόλεως Τραπεζοῦντος γνωριζομένη τε καὶ ἐξουσιαζομένη ὑπό τε τοῦ νῦν ἱερωτάτου μητροπολίτου Τραπεζοῦντος κὺρ Νεκταρίου καὶ πάντων τῶν μετ' αὐτὸν ἀρχιερατευσόντων ἐν αὐτῇ, ἰθυνομένη τε καὶ διεξαγομένη ἀρχιερατικῶς, ἔχοντος ἐπ' ἀδείας ποιμαίνειν πνευματικῶς τὸν ἐν αὐτῇ τοῦ Κυρίου λαὸν καὶ διεξάγειν καὶ ποδηγετεῖν πρὸς ὁδοὺς σωτηρίας, εὐλογεῖν τε καὶ ἁγιάζειν αὐτὸν καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν κατὰ τὴν περίληψιν τῆς πράξεως αὐτοῦ καὶ καρποῦσθαι καὶ νέμεσθαι τὰ ἐξ αὐτῆς ἐκκλησιαστικὰ δικαιώματα ἀναντιρρήτως καὶ ἀνεμποδίστως. Ὀφείλει μέντοι ὅτε νῦν μητροπολίτης Τραπεζοῦντος κὺρ Νεκτάριος καὶ οἱ μετ' αὐτὸν ἀρχιερατεύσοντες ὁμοίως πληροῦν, ὡς διείληπται, πρὸς τὸν διαληφθέντα τιμιώτατον καὶ λογιώτατον πρωτέκδικον τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κὺρ Σπαντωνῆν κατ' ἐνιαυτὸν τὸ εἰρημένον ἐτήσιον ἀνὰ τριάκοντα γρόσια ἀπροφασίστως. Τοῖς δὲ ταύτην οἰκοῦσι τὴν Κερασοῦντα, ἱερωμένοις καὶ λαϊκοῖς, ἐντελλόμεθα, ἵνα τὸν ἱερώτατον μητροπολίτην Τραπεζοῦντος κὺρ Νεκτάριον γινώσκωσιν ἀπὸ τοῦ νῦν ἀρχιερέα καὶ προστάτην αὐτῶν καὶ ποιμένα πνευματικὸν καὶ μνημονεύωσι τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς ἀεὶ τελεταῖς, εὐλογοῦντα καὶ ἁγιάζοντα αὐτοὺς καὶ ποιμαίνοντα πνευματικῶς καὶ διεξάγοντα ἀρχιερατικῶς, τιμῶντες καὶ ἀγαπῶντες αὐτὸν καὶ πειθόμενοι καὶ ὑποτασσόμενοι αὐτῷ κατὰ τὸ πρέπον καὶ δίκαιον καὶ παρέχοντες εἰρηνικῶς καὶ εὐπειθῶς τὰ ἀνήκοντα ἐκκλησιαστικὰ δικαιώματα, κανονικά, φημί, συνοικέσια, πανηγύρεις, ζητείας, ἐμβατίκια καὶ εἴ τι ἄλλο σύνηθες τῷ τόπῳ, μηδενὸς ἐναντιουμένου αὐτῷ ἢ ἀντιλέγοντος ἢ παρεμποδίζοντος, ἱερωμένου ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ τοῦ ἀπὸ Θεοῦ παντοκράτορος. Ὅθεν εἰς ἔνδειξιν, ἀπελύθη καὶ τὸ παρὸν ἐνωτικὸν πατριαρχικὸν συνοδικὸν συγγιλλιῶδες ἐν μεμβράναις γράμμα.

,αχϟη', ὀκτωβρίῳ, ἰνδικτιῶνος ζ'.

CVIII. 1708. Прошеніе христіанъ, работавшихъ въ рудникахъ въ предѣлахъ Халдіи, Трапезунта, Гьюртунія, Θеодосіополя и Амиды, представленное вселенскому патріарху Кипріану I относительно подчиненія ихъ Трапезунтскому митрополиту.

I. П. К., CXXIV, 90β—91α.

Γράμματα πατριαρχικὰ περὶ μαντενίων τῶν δουλευόντων ἐν τοῖς ὁρίοις Χαλδείας, Τραπεζοῦντος, Γκιουρτουνίου, Θεοδοσιουπόλεως καὶ Ἀμίδης.

Παναγιώτατε, σοφώτατε, ἡμῶν δὲ αὐθέντα καὶ δέσποτα καὶ οἰκουμενικὲ πατριάρχα, τὸ ὕψος τῆς ὑμετέρας παναγιότητος ἀξιοχρέῳ προσκυνήσει προσκυνεῖται παρ' ἡμῶν τῶν ἐν Τραπεζοῦντι συναθροισθέντων χριστιανῶν μικρῶν μεγάλων, ἧς καὶ τὴν ἁγίαν δεξιὰν εἰλικρινεῖ προσπτυσσόμεθα εὐλαβείᾳ. Ὀξέως ἀντιβολοῦντες τὸν πάντων πρύτανιν ἕνα μόνον τρισυπόστατον Θεὸν οὐρανίωνα ἐπὶ μακρὰς ἀνελίξεις χρόνων διαφυλάξαι[1]) τῇ σῇ παναγιότητι τὸ πατριαρχικὸν ἀγλάισμα ἐν τῇ ὑπ' οὐρανόν, αἰτοῦμεν καὶ τὰς ἁγίας αὐτῆς χαρισθῆναι ἡμῖν διὰ βίου παντὸς εὐχάς. Τὴν ὑμετέραν πατριαρχικὴν αὐθεντίαν[2]) παρακαλοῦμεν συνήθως ἀκοῦσαι καὶ τῶν ἡμετέρων αὐτῇ δουλικῶν λόγων. Ὁρίζει σου ἡ παναγιότης διὰ γράμματος αὐτῆς πατριαρχικοῦ, ἵνα ὁ ἅγιος ἀρχιεπίσκοπος Χαλδείας ἀπολάβῃ πάλιν τὸ Γκιουρτοῦνι ἀντὶ τῆς ἐπικρατείας τοῦ ἡμετέρου δεσπότου, τοῦ μητροπολίτου Τραπεζοῦντος, καὶ νὰ τὸ ὑποτάξῃ τελείως εἰς τὸν θρόνον ἐκεῖνον, ὅπως, χωρισθέντες παντελῶς τῆς ἐκεῖθεν ἀγέλης, ἐχεμυθήσωμεν ἡμεῖς μὲν ἀφαιρεθέντες τῆς συντρόφου νομῆς τῶν γνησίων ἀδελφῶν θρεμμάτων, καὶ ὁ ἡμέτερος οὗτος δεσπότης ὁ μητροπολίτης αὖθις Τραπεζοῦντος προσέτι ὅπως ἵσταται μὲν ἐντὸς τῆς αὐτοῦ διοικήσεως, ἀργὸς δὲ ὅλως ἦ αὐθεντῆσαι ὡς ἀρχιερεὺς ἢ ἁγιάσαι ἢ κρῖναι τοὺς ἐνδημοῦντας μεταλλωρυχεῖς[3])· ὅτι, ἐάν τινες αὐτῶν ἐργάζωνται[4]) συνήθως τὰ μέταλλα ἐντὸς τῆς διοικήσεως αὐτοῦ ἢ μακρὰν ἢ πλησίον ἢ καὶ κατ' αὐτὸ τὸ τεῖχος ὀρυχθῇ, χάριν λόγου, μετάμελος τοῦ ἄστεως, κἀκεῖσε ὑπηρετῶσιν οἱ Χαλδαῖοι μαΐστορες, τὴν φροντίδα τὴν ἐκκλησιαστικὴν καὶ τὴν ἐπιμέλειαν ποιήσει ὁ Χαλδείας, καὶ ὅπου ἐὰν ὦσιν οὗτοι οἱ τῶν μετάλλων ὀρυχεῖς, τὸν ἴδιον αὐτῶν ἀρχιεπίσκοπον ἐφ' ἑαυτῶν ἔχωσιν ἐπιστάτην, ὅπως μή, κατὰ τὸ εὐαγγέλιον, ἀλλοτρίῳ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασιν τῶν ἀλλοτρίων τὴν φωνήν, καὶ ἀρχιερέως παρόντος καὶ ποιμένος ὀρθοδόξου, οὗ ἡ ἀρχιερωσύνη ἐπὶ πάντα τὰ ὅρια τῆς γῆς αὐτοῦ πλήρης, πῶς ἡ Ἐκκλησία ἐκείνη, ἡ ἀπὸ Χαλδείας τυχαίνει, δέσποτα παναγιώτατε, νὰ παρρησιάζηται[5]) εἰς πάντα τόπον τῶν ὁρίων τοῦ Τραπεζοῦντος; Τότε ἐκενώθη τὸ εὐαγγέλιον, ὅτι ἐάν, κατὰ τὸ εὐαγγέλιον, οἵ τε ἀπόστολοι ἐκήρυξαν, αἱ σύνοδοι συνηθροίσθησαν, οἱ ποιμένες ἔλαβον

---

[1]) K. διαφυλᾶξαι [2]) αὐθεντείαν [3]) μεταλλορυχεῖς [4]) παρασιάζηται [5]) ἐργάζονται.

τὰς ἐκκλησίας αὐτῶν, ἡ χάρις διδάσκεται, ποῦ εὑρέθη τοῦτο. οἱ ἀρχιερεῖς νὰ μὴ ὁρίζουν ὡς αὐθέντται ἐντὸς τῆς διοικήσεως αὐτῶν, κατὰ τὸ εὐαγγέλιον; Καὶ μικρῶν καὶ μεγάλων καὶ ξένων καὶ ἀποδήμων καὶ παντὸς χριστιανικοῦ πληρώματος εἴ τις ἀσεβῶς τολμήσει μή, παρὰ τὸ εὐαγγέλιον, δεηθῆναι εἰρήνην, δὲν εἶνε τοῦ ἀναθέματος; δὲν εἶναι γοῦν οἱ χριστιανοὶ οὗτοι οἱ Χαλδαῖοι καὶ ὁ ἀρχιερεὺς αὐτῶν ἐναντίοι τοῦ εὐαγγελικοῦ κηρύγματος; Ἀποξενοῦντες δὲ τοὺς κατὰ τὸ εὐαγγέλιον ἱερομύστας τῆς αὐτῶν εὐλογίας καὶ προφάσει ἀθλίων μετάλλων, πατοῦντες ξένην αὐλὴν οὐ χριστιανικῶς πράττουσι τοῦτο, ἀλλὰ παραβαίνοντες εἰς αὐτὸν τὸν ἕνα μονογενῆ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν τὴν ἐξουσίαν τῆς ἀκαταλήπτου ἁγιωσύνης ἀπὸ περάτων ἕως περάτων τοῖς ἀρχιερεῦσι δι' ἑαυτοῦ χαρισάμενον, καὶ χορὸν αὐτῆς κλῆρον ἐν τοῖς ἀποστόλοις αὐτοῦ διδάξαντα. Πῶς γοῦν ὁ τοῦ ἁγίου Χαλδείας κλῆρος μετὰ τῶν βαναύσων ματεμτζίδων πᾶσαν παροικίαν περιοδεύσει καὶ πῶς ὁ τοῦ Βενιαμὶν κλῆρος ἐν τῷ κλήρῳ σκηνώσει τοῦ Ἐφραίμ; πῶς γοῦν οὗτος ὁ Χαλδείας σκηνώσει ὡς ἀρχιερεὺς ἐπὶ τὸν κλῆρον τοῦ ἡμετέρου ποιμένος καὶ δεσπότου τοῦ μητροπολίτου Τραπεζοῦντος; ὄχι μοναχὰ πῶς οἱ ματεμτζίδες ἑαυτοῦ εἰσιν, ἀλλ' ἐὰν καὶ μεταβῇ ὅλη ἐκείνη ἡ περίχωρος τοῦ Χαλδείας σὺν γυναιξὶ καὶ τέκνοις εἰς τὸν κλῆρον Τραπεζοῦντος, διαθεντηθήσονται σὺν γυναιξὶ καὶ τέκνοις ὑπὸ τοῦ κατὰ τόπον τούτου ἀρχιερέως· καὶ εἰ ἐκεῖνοι δεσπόζονται, πολλῷ μᾶλλον ἡ γῆ, ἐξ ἧς τὸ μέταλλον· ἡ γὰρ οἰκεία γῆ ὑπὸ τοῦ οἰκείου ἁγίου καὶ εὐλογηθήσεται καὶ τὸν ἁγιασμὸν αὐτῆς λαμβάνει ἁγίως· ἡ τοῦ τοιούτου γοῦν νόμου, παναγιώτατε, καταφανὴς καταφρόνησις καὶ ἡ παροῦσα ἐκβροντησία ἐν τῷ ἀποστολικῷ καὶ οἰκουμενικῷ αὐτῆς θρόνῳ πῶς ἕξει χώραν; καὶ τίνι λόγῳ προστάσσεται τὸ τοιοῦτον ὑπὸ τῆς ἀνεπιλήπτου αὐτῆς καὶ θαυμασίας ὑπολήψεως; Βαβαί, πῶς κινδυνεύομεν καὶ τῶν καταφρονούντων ἡμᾶς ἐθνῶν χείρονες ὀφθῆναι, μὴ τὸ θεῖον καὶ ὑπεράγιον τῆς ἀμεταπτώτου ἁγιωσύνης κρίνοντες χρῖσμα! Ἐξ ὑποθέσεως γάρ, εἰ τὸ χρίσμα τῆς ἁγιωσύνης Τραπεζοῦντος οὐχ ἱκανεῖ εὔξασθαι ὑπὲρ τῶν ματεμτζίδων, οὔτε μὴν ὅλως τοῦ Χαλδείας ἀληθεύσει [1]), ἁγιωσύνης ἀδελφικῆς ἔξαρνον καθιστάμενον. Ἡμεῖς γοῦν ὅλοι βοῶμεν καὶ δὴ πέπλους ῥηγνύομεν ἔμπροσθεν τοῦ οἰκουμενικοῦ κριτηρίου καὶ τῶν συνεδρευόντων πανιερωτάτων μητροπολιτῶν καὶ παρακαλοῦμεν νὰ θεωρηθῇ τὸ εὔλογον, νὰ διαμένῃ τὸ φρόνημα τῆς ἡμετέρας θρησκείας καὶ πολιτείας ἀδιαλώβητον. Τὰ ἐξ ἀρχῆς καὶ ἄνωθεν δεδομένα χωρία τοῦ Γκιουρτουνίου τῷ τοῦ Τραπεζοῦντος θρόνῳ μὴ παρεγγράπτως τοῖς Χαλδαίοις συνδεθῶσιν· ὅλοι ἡμεῖς οἱ μένοντες ἀφ' ἑκάστου ἤθους καὶ ἐπιτηδεύματος τῆς πολιτείας ὅλης δοῦλοί σας χριστιανοὶ ἠξεύρομέν το καὶ γινώσκομέν το καὶ μαρτυροῦμέν το, ὡς αὐτὰ πρόπαλαι ἐδεσπόζοντο ὑπὸ τῶν μακαρίων

[1]) Κ. ἀληθεύση.

μητροπολιτῶν Τραπεζοῦντος, ὧν ἡμεῖς τὴν πεῖραν ἴσμεν, τοῦ κὺρ Λαυρεντίου καὶ τῶν πρὸ αὐτοῦ, τοῦ κὺρ Ἰωαννικίου, τοῦ κὺρ Νεκταρίου· οὗτος, φιλασθενῶν καὶ κλινήρης κατακείμενος, βαρυνθεὶς ὑπὸ ποδάγρας ὀψὲ καὶ μόλις ἐξεπώλησεν αὐτὰ τῷ ἁγίῳ Χαλδείας, τὰ μὴ ἀνήκοντα αὐτῷ πωλῆσαι. Ἀλλὰ δὲν εἶνε τοῦτο τοῦ νόμου κανὼν ἀσφαλής, παναγιώτατε, οὐδὲ ὁ κὺρ Νεκτάριος ἔγνω καλῶς περὶ τῶν ὁρωμένων αὐτῷ, ὅτι ξένην γῆν πωλεῖ· διὰ τοῦτο ἐπὶ τῶν ἡμερῶν τοὺ κὺρ Γαβριήλ, τοῦ προπατριαρχεύσαντος, ἀπόφασις ἐξηνέχθη συνοδικὴ νὰ τὰ λάβῃ ὁ Τραπεζοῦντος πάλιν, ἐκκλησιαστικῷ θεσμῷ στείχοντος, καὶ νὰ μείνῃ ἡ πρᾶσις αὐτῶν ἄκυρος, ὅτι ὁ κὺρ Νεκτάριος δὲν ἦτον τοπάρχης, ἀλλὰ μητροπολίτης καὶ μὲ τὸ νὰ βουληθῇ ἐκεῖνος μόνος νὰ παραιτηθῇ τὸν κόσμον ἐκεῖνον ἀπὸ τὴν χαλεπότητά του, ἀλλ' οἱ μετ' ἐκεῖνον πῶς ἔχουσι ὑπομένειν τοῦτο; καὶ πόθεν ὁ θρόνος οὗτος νὰ διακυβερνηθῇ ὁποῦ ἔχει ὑπὲρ τοὺς ἄλλους δοσίματα πάμπολλα, ὁποῦ εἰς καθ' ἕξ μῆνας νέος πασιᾶς καθίζει· ἀγάδες ἀριθμοῦνται, ὁποῦ δουλεύουν τετρακόσιοι καὶ ὅλοι θέλουν ταγίσματα· εἰς τοσαῦτα καὶ τοιαῦτα ὑποκείμενος ὁ θρόνος οὗτος βαρέματα πόθεν νὰ πάρῃ πέντε — δέκα ἄσπρα νὰ οἰκονομηθῇ; ἔπειτα νὰ πληρώνῃ καὶ τὰ τῆς Μεγάλης Ἐκκλησίας, ὅταν τὰ προσοδήματα ἄλλυδις ἄλλῃ μετέπεσον εἰς ξένας χεῖρας; Ἀλλὰ καὶ διὰ τὰ μαντένια, παναγιώτατε, ἔχομεν γνώμας τῶν πάλαι πατριαρχευσάντων ἀοιδίμων ἀρχιερέων, τοῦ κὺρ Καλλινίκου, καὶ κὺρ Γαβριήλ, φανερωτήρια γράμματα, ῥητῶς διδάσκοντα ὡς τὸν ἅγιον ἀρχιεπίσκοπον Χαλδείας δεῖ λαμβάνειν ἐκ τῶν ἐνδημούντων τρωγλοδυτῶν ματεμτζίδων τὰ δώδεκα ἄσπρα τῆς πάτριαρχικῆς αὐτοῦ ζητείας καὶ τὰ δώδεκα τῆς κανονικῆς, τὰ δὲ τοῦ ἁγιασμοῦ αὐτῶν ἀπονέμονται σῶα τῷ κατὰ χώραν ἱεραρχοῦντι μητροπολίτῃ. Ἀλλ' ἐπειδὴ καὶ ἐν ἄλλῳ σκοπῷ αἰτιᾶσθε τὸν μητροπολίτην ἡμῶν, παναγιώτατε, διατὶ νὰ ξετρέξῃ τὸν ἅγιον Χαλδείας ἐξωτερικῇ χειρί· ἐξ ἀνάγκης καὶ ἀμηχανίας τοῦτο ἐγένετο· πρότερον γὰρ τοῦ ἔστειλε γραφὰς εἰρηνικὰς παρακαλῶντάς τον, νὰ ἀποδημήσῃ πλησιέστερον ἤγουν εἰς κανένα μοναστήριον τοῦ σύνεγγυς, ἢ καὶ ἐδῶ εἰς Τραπεζοῦντα φιλίως νὰ συντυχηθῇ ἡ ἀμφισβητήσιμος καταλλαγὴ αὕτη ἐπὶ παρόντων προσώπων χριστιανῶν ἐξ ἀμφοτέρων τῶν μερῶν, καὶ ἔτζη ἔμελλε νὰ γένῃ κάποια ἐκ γειτόνων συγκατάθεσις διαφυλάττουσα εἰς ἡμερότητα ἀμφότερα τὰ μέρη, ἀλλ' ἀφροντιστήσας ὁ ἅγιος Χαλδείας καὶ κενῶν καὶ ἐμπαικτικῶν αὐτοῦ λόγων σημειώσας ἐπιστολήν, ἀκαταδέκτως ἀντεπιστείλας καὶ γνωσθεὶς ἀνανσέ, ἐπροχώρησε τὸ πρᾶγμα εἰς τὸ καὶ μὴ θέλοντα βίᾳ ἑλκυσθῆναι καὶ δοῦναι λόγον τῷ ἐξουσιάζοντι πασᾷ, κατὰ τὴν ἐνσημασθεῖσαν ἐν τῷ αὐτῷ κώδικι περιβολὴν τῶν ὁρίων ἡμῶν ἀπὸ τῶν ἑτέρων, καὶ διαφυγὼν τὰς χεῖρας τὰς κρινούσας αὐτὸν λιπαρεῖ τὴν ὑμετέραν παναγιότητα, ἐλθὼν αὐτόθι, ὅπερ

καὶ ἐγένετο· ἀλλ' ἐάν, παναγιώτατε, ἐλυπήθητε ἐκεῖνον προφασισάμενον κακῶς ἔχειν, πολλῷ μᾶλλον φείσασθε τοῦ θρόνου τουτουί, ὅτι ὑπέρμετρα κατηναλώθησαν εἰς ταύτην τὴν ἐκδρομὴν τῷ μητροπολίτῃ τῷ ἡμετέρῳ καὶ ζημία πολλὴ καὶ κίνδυνος, ἅφες ὅσα ὀφείλει, καὶ διὰ τοῦτο ἐλέῳ κινούμενος κρίνατε δικαίᾳ ψήφῳ τὸ σπουδαζόμενον, καὶ ἀποφήνατε καθ' ἡμῶν τὸ εὔλογον, παρακαλοῦμεν ἁπαξάπαντες. Δέονται ὑμῶν καὶ οἱ τοῦ μέρους ἐκείνου ἐπιχώριοι Γκιουρτούνιοι νὰ ἦνε καλῶς ὑποδεσπόσυνοι εἰς τὴν παλαιάν τους μερίδα. Ὅθεν εἰς πλείονα πίστωσιν καὶ βεβαίωσιν ὑπογραφαῖς καὶ σφραγῖσι βεβαιώνομεν ἡμᾶς αὐτοὺς προσκυνητῶς τῷ οἰκουμενικῷ δεσπότῃ καὶ τῷ θειοτάτῳ συνεδρίῳ τὴν ἐπιστολὴν ταύτην καὶ ἀναφορὰν ἀναπετεννύντες. Οἱ τῶν παναγίων ὑμῶν εὐχῶν ἐπιδεεῖς, ἃς ἔχοιμεν ἐν βίῳ παντί· ἀμήν.

Ἐν ἔτει ,αψ'.

Ὁ καθηγούμενος τῆς βασιλικῆς μονῆς τοῦ Σουμελᾶ, Ἐφραὶμ ἱερομόναχος μάρτυς ἐν τοῖς ἄνωθεν ταπεινός.

Μωυσῆς ἱερεὺς οἰκονόμος μάρτυς.

Δανιὴλ ἱερεὺς μάρτυς.

Γεώργιος τοῦ Νικόλα Ταστζόγλους μάρτυς.

Θεοδόσιος προσκυνητὴς μάρτυς.

Μπαλάσης Ἀλεξάνδρου.

Ἡγούμενος τοῦ ἁγίου Γεωργίου τοῦ Περιστερᾶ Ἱερόθεος ἱερομόναχος μάρτυς ἐν τοῖς ἄνωθεν.

Γρηγόριος ἱερεὺς σκευοφύλαξ μάρτυς.

Ἀσλάνης χαρτοφύλαξ μάρτυς.

Φίλιππος τοῦ Ἰωάννου μάρτυς.

Νεόφυτος Πρόξιμος μάρτυς.

Παρασκευᾶς προσκυνητὴς καὶ δοῦλος τῆς παναγιότητός της.

Θεόδωρος ἱερεὺς δευτερεύων μάρτυς.

Κωνσταντῖνος πρωτέκδικος καὶ πρωτομάστωρ χρυσοπράτων μάρτυς.

Ἀλέξιος μάρτυς.

Γεώργιος δομέστικος μάρτυς.

Ἀντώνιος τοῦ Συμεὼν μάρτυς.

Ὁ καθηγούμενος τοῦ Βαζελοῦ Μακάριος ἱερομόναχος μάρτυς ἐν τοῖς ἄνωθεν.

Στέφανος ἱερεὺς σακελλάριος μάρτυς.

Ἄνθιμος ἱερεὺς σακελλίων μάρτυς.

Λάζαρος διδάσκαλος Ἀποστόλου καὶ πρωτομαΐστωρ τῶν ῥαπτῶν μάρτυς.

Γεώργιος ῥήτωρ μάρτυς.

Σπυρίδων προσκυνητὴς μάρτυς.
Ἀλέξιος μάρτυς.
Θεοφύλακτος τοῦ Σαβούλη μάρτυς.
Ἰωάννης Γεωργίου μάρτυς.
Ἰωάννης τοῦ Γεωργίου μάρτυς.
Γεώργιος τοῦ Ἰορδάνου.

CIX. 1704, февраль, инд. XII. Сигиллій патріарха Гавріила IV объ учрежденіи каѳедры епископа Врестены въ монастырѣ Успенія Богородицы.

I. П. Б., CCLXXVI, 208[3]—210[3].

Γαβριὴλ ἐλέῳ Θεοῦ.

Τῆς πολυστρόφου τῆς ὑπὸ χρόνου πραγμάτων φορᾶς πολυειδεῖς ἐσὶν ὅτε περιστάσεις κινούσης ἄλλοτε ἄλλως εἴωθε μεταπίπτειν καὶ διαφόρως ἐξαλλάσσεσθαι αὐτὰ δὴ ταῦτα τὰ πράγματα, ὃ δὴ κοινὸν ἐναργῶς ἰδεῖν ἐστι τὸ ἰδίωμα τοῖς τε κατὰ φύσιν ἐπιφυόμενον, δηλαδὴ συμπεριφερομένοις τῷ φέροντι, καὶ τοῖς ἀνθρωπίναις ἰθυνομένοις προνοίαις, ἀνθ' ὅτου καὶ ὀφείλουσιν οἱ κατὰ καιροὺς τὴν τῶν πραγμάτων ἐπιστασίαν λαχόντες καταλλήλως οἰκονομεῖν τὰ συμπίπτοντα καὶ μηδέποτε, καιροῦ καλοῦντος, ἀμελεῖν τοῦ ἐπαγάγειν εἰς τὴν ἀνήκουσαν αὐτοῖς κατάστασιν τὰ ὅπωςδήπως αὐτῆς ἐκπεσόντα διὰ καιρικὴν περίστασιν· κατὰ ταὐτὰ δὲ καὶ τῶν ἐκκλησιαστικῶν ἄνωθεν φερομένων πραγμάτων, εὔροι τις ἂν πολλάκις μέρη τινων παροικιῶν, ναὶ μὴν καὶ ὅλας αὐτὰς παροικίας, πῇ μὲν εὐνομουμένας καὶ αὐξανομένας, πῇ δὲ ἔμπαλιν ἐλαττουμένας καὶ δυσπραγούσας, ἃς οἱ τῆς ἐκκλησιαστικῆς καταστάσεως τὴν προστασίαν ἐμπιστευθέντες ὑπὸ Θεοῦ, προνοίαις ταῖς προσηκούσαις, διευθετεῖν οὐκ ὤκνησαν, καὶ πρόσφορον τὴν θεραπείαν αὐταῖς ἐπιφέρειν κατὰ τὴν τοῦ καιροῦ κυβέρνησιν. Ἐπειδὴ τοιγαροῦν, διὰ σπουδῆς ποιούμενοι τὰς ἐλέει Θεοῦ ἔτι σωζομένας παροικίας καὶ ἐπαρχίας τῷ καθ' ἡμᾶς ἀποστολικῷ πατριαρχικῷ τε καὶ οἰκουμενικῷ τούτῳ θρόνῳ τῆς Κων/πόλεως προσηκόντως διακυβερνᾶν ἐν Θεῷ συλλήπτορι καὶ μηδὲν ἄλλο προὐργιαίτερον καὶ περισπουδαστότερον τιθέμενοι ἢ τὰ κανονικῶς αὐταῖς ἀρχῆθεν ἀπονενεμημένα προνόμια διαμένειν ἀμετάπτωτα. ὡς ὑπὸ τῶν ἱερῶν πατέρων τῆς Ἐκκλησίας διωρίσθησάν τε καὶ διετάχθησαν, κατελάβομεν τὴν κατὰ τὴν Πελοπόννησον ἀγιωτάτην ἐπισκοπὴν Βρεστένης, κεκτημένην ἄνωθεν καὶ ἐξ ἀρχῆς καθέδραν ἀρχιερατικὴν τὸ ὑποκείμενον αὐτῇ ἱερὸν καὶ σεβάσμιον μοναστήριον τῆς ὑπεραγίας Κοιμήσεως τῆς παναχράντου δεσποίνης Θεοτόκου, ἐν ᾧ ἐνδιαιτώμενος καὶ παρουσιάζων ὁ κατὰ καιροὺς αὐ-

τῆς ἐπίσκοπος ἐπεσκέπτετο κατὰ χρέος τὸ ἐμπιστευθὲν αὐτῷ λογικὸν τοῦ Χριστοῦ ποίμνιον αὐτῆς ταύτης τῆς ἐπαρχίας αὐτοῦ καὶ τὸ ἱερὸν αὐτὸ μοναστήριον, ὅπερ καὶ ἐπισκοπὴ καλεῖσθαι ἐπεκράτησε, διὰ τὴν ἐν αὐτῷ τοῦ ἀρχιερέως ἐνοίκησιν καὶ διατριβήν· ὕστερον δέ, περιπετείᾳ καιροῦ, ἀπεστέρηται τῶν προτέρων καλῶν σὺν τῷ μοναστηρίῳ καὶ τῇ τοποθεσίᾳ, ἐν ᾗ τὸ ἱερὸν αὐτὸ ἔκειτο μοναστήριον, κἀντεῦθεν ὑπὸ ἀνάγκης μὴ δυνάμενος διακυβερνᾶσθαι, ἀπέστη ἐκεῖθεν ὁ ἐπίσκοπος καταλιπὼν τὴν καθέδραν αὐτοῦ, καὶ μὴ ἔχων ἄλλην τοποθεσίαν εὔθετον καὶ ἁρμοδίαν εἰς ἀρχιερατικὸν ἐνδιαίτημα ἤρξατο πλανᾶσθαι καὶ περιέρχεσθαι τῇδε κἀκεῖσε ἀπ' ἄλλου εἰς ἄλλο μέρος τῆς ἐπαρχίας αὐτοῦ συνεχῶς μεθιστάμενος, ὅπερ οὐ μικρὸν αὐτῷ ἐμποιεῖ τὸ ἐμπόδιον, ἡσυχίαν καὶ ἀνάπαυσιν παντελῶς μὴ ἐσχηκότι, εἰς προσήκουσαν ἐπιμέλειαν καὶ πρόνοιαν τῆς ὅλης αὐτοῦ ἐπαρχίας, καὶ διετέλεσε τοῦτο ἐφ' ἱκανὸν καιρόν· ἤδη δὲ αὖθις, Θεοῦ ἐλεοῦντος, ἐπανῆλθεν εἰς καλὴν κατάστασιν ἡ ἐπισκοπικὴ αὕτη καθέδρα καὶ τὸ διαληφθὲν ἱερὸν μοναστήριον ἀνεκαινίσθη καὶ τὰ κελλία αὐτοῦ ἐκ βάθρων ἀνηγέρθησαν ὑπὸ τοῦ ὁσιωτάτου ἐν μοναχοῖς γέρο-Ἰωακείμ, διὰ τὸν ἔνθεον αὐτοῦ ζῆλον καὶ τὴν χριστιανικὴν εὐλάβειαν, ὥστε καὶ ἔδοξεν εὔλογον καὶ ἁρμόδιον ἐπανελθεῖν πάλιν τὴν ἀρχιερατικὴν καθέδραν τῆς ἐπισκοπῆς ταύτης εἰς τὴν προτέραν αὐτῆς τάξιν· συνοδικῇ γὰρ διασκέψει προεβλήθη τὸ ποιητέον ὑπὲρ αὐτῆς καὶ ἐπιμελῶς ἐξετασθέντος τοῦ πράγματος ἐδικαιώσαμεν τέως μετὰ τῆς περὶ ἡμᾶς θείας καὶ ἱερᾶς συνόδου γενέσθαι τοῦτο εὐλόγως καὶ ἐπαναλαβεῖν τὴν προτέραν αὐτῆς τάξιν τὴν ἐξ ἀρχῆς τῆς ἐπισκοπῆς ταύτης καθέδραν, ὥστε ἐνδιαιτᾶσθαι ἐν αὐτῇ καὶ εὑρίσκεσθαι ὡς καὶ πρότερον τὸν ἀρχιερέα, τοὐτέστι ἐν τῷ εἰρημένῳ σεβασμίῳ μοναστηρίῳ, φροντίζοντα καὶ προνοούμενον κανονικῶς καὶ θεαρέστως ὑπὲρ τῆς ἐπιδόσεως καὶ συστάσεως αὐτοῦ τε τοῦ ἱεροῦ μοναστηρίου καὶ ὅλης τῆς ἐπαρχίας αὐτοῦ, ἀρχαῖον καὶ κανονικὸν γνόντες τοῦτο διάταγμα, μηδενὶ ἐξεῖναι δηλαδὴ ἐπισκόπῳ μεταπίπτειν ἀπὸ τῆς πρωτοτύπου καθέδρας αὐτοῦ εἰς ἄλλην καθέδραν ἐπισκοπῆς αὐτοῦ ἢ εἰς ἐκκλησίαν παροικίας αὐτοῦ, οὗ ἕνεκα καὶ διάφοροι ἀρχιερεῖς τὸ πάλαι πτωχὰς μὲν ἐκκλησίας καὶ καθέδρας ἔχοντες, πλουτοῦντες δὲ παροικίαις πολυανθρώποις καὶ πλουσίαις καὶ ζητήσαντες τοῦτο οὐκ εἰσηκούσθησαν. Τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ διαληφθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον τῆς Κοιμήσεως τῆς ὑπεραγίας ἡμῶν Θεοτόκου ὑπάρχῃ καὶ γινώσκηται ὡς καὶ πρότερον ἀρχιερατικὸν ἐνδιαίτημα καὶ καθέδρα τῆς ἁγιωτάτης ἐπισκοπῆς Βρεστένης, ὀφείλοντος τοῦ τε νῦν θεοφιλεστάτου ἐπισκόπου Βρεστένης ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῦ ἡμῶν

ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ . . . . καὶ τῶν μετ' αὐτὸν ἀρχιερατευσόντων ἐν τῇ αὐτῇ ἐπισκοπῇ κεχρῆσθαι τούτῳ καθέδρᾳ γνησίᾳ τῆς αὐτῆς ἐπισκοπῆς καὶ ἐνδιαιτᾶσθαι ἐν αὐτῷ κατὰ λόγον καὶ τόπον καθέδρας ἀπροφασίστως καὶ ἀναντιρρήτως, ἀλλὰ μὴ πλανᾶσθαι καὶ περιέρχεσθαι ἔνθεν κἀκεῖθεν ἀκαίρως, ἢ ποιῆσαι καὶ καταστῆσαι ἄλλην ἐκκλησίαν καὶ ἄλλο μέρος τῆς ἐπισκοπῆς ταύτης διὰ καθέδραν, παρὰ τὴν κανονικὴν διάταξιν· οὐ μὴν ἀλλὰ καὶ ἐπιμελεῖσθαι προθύμως καὶ φροντίζειν ἀόκνως καὶ ἀδιαλείπτως τῆς βελτιώσεως καὶ αὐξήσεως καὶ καλλιεργείας στερεώσεώς τε καὶ διαμονῆς τοῦ αὐτοῦ ἱεροῦ μοναστηρίου καὶ κατ' οὐδένα τρόπον ἀμελεῖν τῆς ἐπωφελοῦς αὐτοῦ διοικήσεως καὶ καταστάσεως, ὥσπερ καὶ τῆς λοιπῆς ἐπαρχίας. Ὅθεν εἰς ἔνδειξιν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν βεβαιωτήριον συγγιλλιῶδες ἐν μεμβράναις γράμμα.

Ἐν ἔτει ,αψδ', κατὰ μῆνα φεβρουάριον, ἰνδικτιῶνος ιβ'.

CX. 1708, іюль, инд. I. Сигиллій патріарха Кипріана I и священнаго синода о присоединеніи нѣкоторыхъ селъ Халдійской архіепископіи къ Трапезунтской митрополіи.

I. П. Б., CXXIV, 92³—93³.

† Κυπριανὸς ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Τῶν ἀναγκαίων ἐστὶν ἑκάστης ἐπαρχίας τὰ δίκαια σώζεσθαι καὶ διατηρεῖσθαι ἀπαράτρεπτα καὶ ἀπαρασάλευτα, καθὼς τῇ ἐκκλησιαστικῇ θεσμοθεσίᾳ καὶ τοῖς ἱεροῖς καὶ θείοις κανόσι τῶν οἰκουμενικῶν συνόδων νενομοθέτηται, ἄλλως γὰρ τὸ παρορᾶσθαι ὀλιγώρως τὰ τῶν ἐπαρχιῶν δίκαια προφανῶς ἀδικεῖσθαί ἐστιν ἐκείνας, ἔξω τῶν ἱερῶν κανόνων καὶ νόμων· τὸ δ' ἂν ἀδικουμένας παραβλέπειν αὐτὰς οὐ μικρὸν πάντως ὑπάρχει πλημμέλημα, τὸ γὰρ ἄδικον οὐκ εὐλογεῖταί ποτε οὔτε μὴν συγχώρησιν ἐπιδέχεται ἀδιόρθωτον ἐπεμεῖναν. Ἔνθεν τοι πρὸς τοῖς ἄλλοις τῶν ἐκκλησιαστικῶν καὶ νομίμων πραγμάτων καὶ ὑποθέσεων, ὧν τὴν φροντίδα ἐπάναγκες ἔχειν τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, καὶ τοῦτο δέπου μετὰ πάσης ἐπιμελείας σπουδάζεται, τὸ ἀνακαλεῖσθαι ἀεὶ δηλαδὴ πρὸς τὴν ἀρχαίαν τάξιν τε καὶ κατάστασιν, εὐλόγοις τρόποις, εἴ τινά ποτε ταύτης παραλόγως ἐξεποιήθησαν καιρικαῖς τισι περιπετείαις ἢ ἐπηρείαις ἀκαθέκτων ἠθῶν ἢ καὶ ῥαθυμίαις προϊσταμένων τινῶν καὶ παντοίαις ἄλλαις ἀμελείαις καὶ περιστάσεσιν ἄλλο πρὸς ἄλλο μεταφέρειν πεφυκυίαις τὰ πράγματα· ὀφειλόμενον καὶ γάρ ἐστι τοῦτο τοῖς

ἐκκλησιαστικοῖς προστάταις καὶ κηδεμόσι κατὰ λόγον ἀπαραίτητον ἀποκαθιστάναι διηνεκῶς τὸ δίκαιον εἰς τὸν τόπον αὐτοῦ. Ἐπειδὴ τοιγαροῦν καὶ τὰ καλούμενα χωρία τοῦ Γκιουρτουνίου, Σουμσεκλὶ δηλονότι, Δέσμενα, Γουργάενα καὶ λοιπὰ σὺν αὐτοῖς μετὰ τῶν ἐν αὐτοῖς μαντενίων ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐνοριακὰ ἦσαν τῆς Κερασοῦντος καὶ οἱ ἐν ἐκείνοις τοῖς χωρίοις χριστιανοὶ διὰ κοινῆς αὐτῶν ἀναφορᾶς, ταῖς ὑπογραφαῖς καὶ σφραγῖσιν αὐτῶν κατησφαλισμένης, ἐδηλοποίησαν ἡμῖν τοῦτο, ἀνθ' ὅτου καὶ οἱ τὴν ἐπιστασίαν ταύτης τῆς Κερασοῦντος ἐξαρχικῶς κατὰ καιροὺς λαμβάνοντες εἶχον ὑπὸ τὴν ἐπίσκεψιν αὐτῶν καὶ τὰ εἰρημένα χωρία τοῦ Γκιουρτουνίου, συνάγοντες καὶ τὰ ἐτήσια αὐτῶν ἐκκλησιαστικὰ δικαιώματα, μετέπειτα δὲ πρὸ ὀλίγων χρόνων, ἐνωθείσης τῆς αὐτῆς πατριαρχικῆς ἐξαρχίας Κερασοῦντος τῇ ἁγιωτάτῃ μητροπόλει Τραπεζοῦντος, συνοδικῇ ἐπικρίσει καὶ ἀποφάσει, ἐγένοντο καὶ τὰ προρρηθέντα χωρία ταύτης ἐνοριακὰ καὶ ὑποκείμενα τῇ αὐτῇ μητροπόλει Τραπεζοῦντος, ἐπιστατούμενα καὶ διοικούμενα ὑπὸ τοῦ κατὰ τόπον ἀρχιερέως ἱερωτάτου μητροπολίτου Τραπεζοῦντος, συνάγοντος κατ' ἔτος τὰ ἐκκλησιαστικὰ τῶν αὐτῶν χωρίων εἰσοδήματα ὡς καὶ τῶν λοιπῶν χωρίων τῆς αὐτοῦ μητροπόλεως. Ἀλλ' ὁ τελευτήσας μητροπολίτης Τραπεζοῦντος Νεκτάριος, οὐκ οἶδ' ὅπως φιλογρηματίας πάθει ἡττηθείς, ἐπώλησε τὰ διαληφθέντα χωρία τοῦ Γκιουρτουνίου πρὸς τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον Χαλδείας καὶ Χεριάνων κὺρ Φιλόθεον διὰ γροσίων ἑκατὸν τριάκοντα, πρᾶγμα τολμήσας ποιῆσαι ἄτοπον καὶ παράλογον πάντῃ καὶ τοῖς ἱεροῖς κανόσιν ἀντίθετον τὰ γὰρ κτήματα καὶ ἀφιερώματα τὰ ἐκκλησιαστικὰ καὶ ἐπισκοπικὰ οὔτε πωλοῦνται οὔτε ἀγοράζονται οὔτε ἀποξενοῦνται οὔτε ἀλλοτριοῦνται τῆς ἰδίας τάξεως μέχρι καὶ τῶν μικροτέρων· ἄλλως γὰρ καὶ ὁ πωλῶν καὶ ὁ ἀγοράζων μάταια καὶ κενὰ μετέρχονται καὶ χωρὶς γνώσεως πραγματεύονται τὴν πρᾶσιν καὶ ἀγορασίαν κατὰ τό, ὁ μὴ ἔχων ἐπώλει καὶ ὁ μὴ φρονῶν ἠγόραζεν· ὁ γὰρ ἐπίσκοπος ἐπιτηρητὴς καὶ ἐπιστάτης ἐστὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων καὶ κτημάτων, ἀλλ' οὐχὶ πωλητής, οὐ γὰρ ἴδιόν ἐστι κτῆμα τούτου, ἀλλὰ τῆς ἐπαρχίας ἀφιερωμένον Θεῷ καὶ ἀναπόσπαστον· καὶ ἐξουσιάζει μὲν αὐτοῦ ὁ ἐπίσκοπος κατὰ χρῆσιν πρὸς αὔξησιν καὶ βελτίωσιν καὶ διαμονήν, οὐκ ἔχει δὲ ἄδειαν μήτε πωλῆσαι τὰ ἐπισκοπικὰ μήτε χαρίσθαί τινι μήτε ἀποξενῶσαι κατ' οὐδένα τρόπον, καὶ ὅστις ὀψέποτε φανῇ τοιοῦτος παραβάτης τῆς ἐκκλησιαστικῆς τάξεως καὶ ἐπιχειρήσει ἀπεμπολῆσαι ἢ κατά τινα τρόπον ἐκποιῆσαι καὶ ἀποξενῶσαί τι τῶν ὑποκειμένων τῇ ἐπισκοπῇ καταδικάζεται μεγάλως ὡς ἱερόσυλος καὶ κατηγχυμμένος ἀποπέμπεται, ἐκπίπτων τῆς ἀξίας καὶ ἡ πρᾶσις μένει ἄκυρος καὶ ἀνυπόστατος κατὰ τὸν δωδέκατον κανόνα τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου, ῥητῶς περὶ τούτου ἀποφαινόμενον· «ἐπίσκοπος ἐκποιῶν τι

τῶν εὐπροσόδων αὐτουργῶν, τῆς ἐπισκοπῆς ἐκδιωκέσθω καὶ ἡ πρᾶσις ἄκυρος μενέτω». Τανῦν δὲ ὁ ἱερώτατος μητροπολίτης Τραπεζοῦντος ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λαζικῆς ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Παΐσιος, οὗτινος τῇ μητροπόλει ἥνωται ἡ Κερασοῦς μετὰ πάντων τῶν αὐτῆς χωρίων καὶ κτημάτων, ὡς εἴρηται, καὶ δὴ τῶν καλουμένων χωρίων τοῦ Γκιουρτουνίου, μὴ φέρων τὴν στέρησιν τῶν ῥηθέντων χωρίων καὶ τὴν τούτων ἀπαλλοτρίωσιν ἀπό τε τῆς Κερασοῦντος, ταὐτὸν εἰπεῖν, καὶ τῆς μητροπόλεως αὐτοῦ, μία καὶ γὰρ ἐπαρχία ἐστί τε καὶ λογίζεται ἤδη ἡ Τραπεζοῦς μετὰ τῆς Κερασοῦντος καὶ πάντων τῶν ἐκείνης χωρίων, παραστὰς ἐπὶ συνόδου καὶ προσκλαιόμενος ἀνήγγειλε τὴν παράλογον καὶ παρὰ κανόνας δεσποτείαν καὶ ἐξουσίαν τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Χαλδείας καὶ Χεριάνων κὺρ Φιλοθέου, ἣν ἔχει ἐν τοῖς εἰρημένοις χωρίοις τοῦ Γκιουρτουνίου, πρὸς τὴν ἱερὰν σύνοδον, ἐπὶ τῷ ἀνακληθῆναι εἰς τὸν τόπον αὐτοῦ καὶ ἀποκατασταθῆναι πάλιν τὰ χωρία τοῦ Γκιτουρουνίου εἰς τὴν προτέραν αὐτῶν τάξιν τε καὶ κατάστασιν, καθὼς οἱ ἱεροὶ καὶ θεῖοι κανόνες διακελεύουσιν. Τούτου χάριν τὴν ἀξίωσιν αὐτοῦ, εὔλογον καὶ δικαίαν οὖσαν καὶ τοῖς ἱεροῖς κανόσι συνᾴδουσαν, ἀποδεξάμενοι προσηνῶς, κατὰ τὸ ἀπαραίτητον ἐν ἡμῖν χρέος τοῦ φροντίζειν περὶ τῆς εὐνομίας καὶ εὐταξίας τῶν ἑκασταχοῦ ἐπαρχιῶν καὶ παροικιῶν καὶ τὸ δίκαιον πάντων τῶν ἄλλων ἐπίπροσθεν ἄγοντες, κατενεύσαμεν γενέσθαι τὸ ποιητέον κατὰ τὴν κανονικὴν διακέλευσιν. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἐκείνη μὲν ἡ φαυλοτάτη πρᾶσις, ἣν πεποίηκεν ὁ τελευτήσας μητροπολίτης Τραπεζοῦντος Νεκτάριος κακῶς καὶ παρανόμως τῶν λεχθέντων χωρίων τοῦ Γκιουρτουνίου πρὸς τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον Χαλδείας καὶ Χεριάνων κὺρ Φιλόθεον, ὑπάρχῃ ἄκυρος τελείως καὶ ἀπόβλητος καὶ λελυμένη καὶ εἰς οὐδὲν λογιζομένη καὶ ὁ κὺρ Φιλόθεος Χαλδείας καὶ Χεριάνων μακρὰν ἀπέχῃ τῆς διακατοχῆς καὶ κυριεύσεως καὶ ἐξουσίας τῶν εἰρημένων χωρίων τοῦ Γκιουρτουνίου, ὡς ἀμέτοχος τούτων καὶ ξένος καὶ ἀλλότριος· τὰ δὲ χωρία ταῦτα μετὰ τῶν ἐν αὐτοῖς μαντενίων ὡς καὶ τὰ λοιπὰ πάντα τῆς Κερασοῦντος ὑπάρχωσιν ὑπὸ τὴν ἐξουσίαν καὶ δεσποτείαν τοῦ τε νῦν ἱερωτάτου μητροπολίτου Τραπεζοῦντος κὺρ Παϊσίου καὶ τῶν μετ' αὐτὸν μελλόντων χρηματίσαι ἀρχιερέων ἐν τῇ μητροπόλει Τραπεζοῦντος, καὶ μόνον ὁ κατὰ καιροὺς μητροπολίτης Τραπεζοῦντος δεσπόζῃ καὶ κυριεύῃ τούτων, ὡς ἐνοριακῶν κτημάτων τῆς μητροπόλεως αὐτοῦ, καρπούμενος καὶ νεμόμενος τὸ παρ' αὐτῶν εἰσόδημα, κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ νομοθεσίαν τῆς Ἐκκλησίας ἀναφαιρέτως καὶ ἀναποσπάστως. Τοῖς δὲ εὑρισκομένοις ἐν τοῖς

χωρίοις τούτοις τοῦ Γκιουρτουνίου ἱερωμένοις καὶ λαϊκοῖς χριστιανοῖς ἐντελλόμεθα, ἵνα τὸν ἱερώτατον μητροπολίτην Τραπεζοῦντος κὺρ Παΐσιον γινώσκωσιν ἀρχιερέα καὶ προστάτην αὐτῶν καὶ πνευματικὸν ποιμένα καὶ μνημονεύωσι τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς τελεταῖς, εὐλογοῦντα καὶ ἁγιάζοντα αὐτοὺς καὶ ποιμαίνοντα πνευματικῶς καὶ διεξάγοντα ἀρχιερατικῶς, καὶ τιμῶσι καὶ ἀγαπῶσιν αὐτὸν καὶ πείθωνται καὶ ὑποτάσσωνται κατὰ τὸ πρέπον καὶ δίκαιον, ἀπονέμοντες τῇ αὐτοῦ ἱερότητι εἰρηνικῶς καὶ εὐπειθῶς τὰ ἀνήκοντα ἐκκλησιαστικὰ δικαιώματα, κανονικά, συνοικέσια, πανηγύρεις, ζητείας καὶ εἴ τι ἄλλο σύνηθες τῷ τόπῳ, μηδενὸς ἐναντιουμένου αὐτῷ ἢ ἀντιλέγοντος ἢ παρεμποδίζοντος, ἱερωμένου ἢ λαϊκοῦ, ἐξ ἀποφάσεως· ὃς δ' ἂν κακοβούλως διανοηθῇ παραβλάψαι καὶ ἀθετῆσαι τὴν συνοδικὴν καὶ κανονικὴν ἡμῶν ἀπόφασιν ταύτην, καὶ ἄλλως ποιήσῃ παρὰ τὰ ἐν τῷ παρόντι γεγραμμένα καὶ ἀποσπάσῃ τὰ χωρία τοῦ Γκιουρτουνίου τῆς δεσποτείας τοῦ μητροπολίτου Τραπεζοῦντος, ὁ τοιοῦτος, ὡς ἀπεναντίας φερόμενος τῆς ἐκκλησιαστικῆς καὶ κανονικῆς διατάξεως, ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ προκοπὴν οὐ μὴ ἴδῃ πώποτε καὶ τῆς πατριαρχικῆς καὶ συνοδικῆς ἀρᾶς ὑπόδικος· ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ ἀσφάλειαν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν γράμμα, ἐπιβραβευθὲν τῇ ἁγιωτάτῃ μητροπόλει Τραπεζοῦντος.

,αψη', ἐν μηνὶ ἰουλίῳ, ἰνδικτιῶνος α'.

Ὁ Κυζίκου Κύριλλος — Ὁ Νικομηδείας Παρθένιος — Ὁ Χαλκηδόνος Κωνστάντιος — Ὁ Ἀδριανουπόλεως Ἀθανάσιος — Ὁ Φιλιππουπόλεως Νεόφυτος — Ὁ Ναυπάκτου καὶ Ἄρτης Νεόφυτος — Ὁ Δέρκων Νικόδημος.

Ὁ Κυζίκου Κύριλλος μαρτυρῶ τὸ παρὸν εἶναι τοῦ πρωτοτύπου.

Ὁ Νικομηδείας Παρθένιος μαρτυρῶ ἴσον εἶναι.

Ὁ Χαλκηδόνος Κωνστάντιος μαρτυρῶ.

CXI. 1708, іюль, инд. I. Грамота патріарха Кипріана I и священнаго синода жителямъ нѣкоторыхъ селъ Халдійской архіепископіи, присоединенныхъ къ Трапезунтской митрополіи.
I. П. Б., CXXIV, 93β—94α.

† Κυπριανὸς ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Εὐλαβέστατοι ἱερεῖς καὶ ὁσιώτατοι ἱερομόναχοι, χρήσιμοι γέροντες καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοὶ τῶν ὑποκειμένων τῇ Κερασοῦντι, ταὐτὸν εἰπεῖν τῇ μητροπόλει Τραπεζοῦντος χωρίων

τοῦ Γκιουρτουνίου, Σουμσεκλὶ δηλαδή, Δέσμενα, Γαργάενα καὶ τῶν λοιπῶν σὺν αὐτοῖς μετὰ τῶν ἐν αὐτοῖς μαντενίων, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παρ' ἡμῶν δὲ εὐχὴ εὐλογία καὶ συγχώρησις. Τὴν κοινὴν ὑμῶν ἀναφορὰν ταῖς ὑπογραφαῖς ὑμῶν καὶ βούλλαις κατησφαλισμένην ἐδεξάμεθα, διὰ τῆς ὁποίας δηλοποιεῖτε καὶ ἀναγγέλλετε ἡμῖν, ὅτι τὰ χωρία ὑμῶν ταῦτα τοῦ Γκιουρτουνίου μετὰ τῶν ἐν αὐτοῖς μαντενίων ἄνωθεν καὶ ἐξ ἀρχῆς ἦσαν ἐνοριακὰ τῆς Κερασοῦντος καὶ Τριπόλεως, τὸ ὁποῖον τοῦτο καὶ ἡμεῖς οὕτω γινώσκομεν· μεταπεσούσης καὶ γὰρ τῆς αὐτῆς Κερασοῦντος ἐν ὑστέροις τοῖς χρόνοις ἀπὸ μητροπόλεως εἰς πατριαρχικὴν ἐξαρχίαν, οἱ τὴν ἐπιστασίαν ταύτης κατὰ καιροὺς ἐξαρχικῶς λαμβάνοντες εἶχον ὑπὸ τὴν ἐπίσκεψιν αὐτῶν καὶ τὰ χωρία ταῦτα τοῦ Γκιουρτουνίου συνάγοντες τὰ ἐτήσια αὐτῶν ἐκκλησιαστικὰ εἰσοδήματα, πρὸ ὀλίγων δὲ χρόνων, ἑνωθείσης τῆς Κερασοῦντος ταύτης τῇ μητροπόλει Τραπεζοῦντος ἐγένοντο καὶ τὰ χωρία ταῦτα τοῦ Γκιουρτουνίου ὑποκείμενα τῇ αὐτῇ μητροπόλει Τραπεζοῦντος, καὶ ὁ κατὰ καιροὺς μητροπολίτης Τραπεζοῦντος, ἐδέσποζε τούτων, ὡς ἐνοριακῶν τῆς μητροπόλεως αὐτοῦ, συνάγων κατ' ἔτος τὰ ἐκκλησιαστικὰ αὐτῶν δικαιώματα. Ὕστερον δέ, οὐκ οἶδ' ὅπως, ὁ τελευτήσας μητροπολίτης Τραπεζοῦντος Νεκτάριος, διὰ φιλοχρηματίαν καὶ αἰσχροκέρδειαν, ἐπώλησε ταῦτα τὰ χωρία κακῶς καὶ παρανόμως πρὸς τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον Χαλδείας καὶ Χαιριάνων κὺρ Φιλόθεον, ὅπερ οὐκ εἶχεν ἐξουσίαν ποιῆσαι καὶ ἀποξενῶσαι τὰ χωρία ταῦτα τῆς Κερασοῦντος, καὶ τῆς μητροπόλεως Τραπεζοῦντος, ἀνθ' ὅτου καὶ ἡ πώλησις αὕτη τῶν χωρίων αὐτῶν ὑπάρχει ἄκυρος καὶ ἀνυπόστατος καὶ παρὰ κανόνας. Κἀντεῦθεν, ἀναγγείλαντος ἡμῖν συνοδικῶς τὴν ὑπόθεσιν ταύτην τοῦ ἱερωτάτου νῦν μητροπολίτου Τραπεζοῦντος κὺρ Παισίου, ἐξεδόθη ἡμέτερον πατριαρχικὸν συνοδικὸν γράμμα ἀποφαινόμενον, ὅπως τὰ χωρία ταῦτα τοῦ Γκιουρτουνίου ὑπάρχωσι πάλιν ὑπὸ τὴν δεσποτείαν καὶ ἐξουσίαν τοῦ αὐτοῦ ἱερωτάτου μητροπολίτου Τραπεζοῦντος κὺρ Παισίου, ὁ δὲ κὺρ Φιλόθεος ἀρχιεπίσκοπος Χαλδείας καὶ Χαιριάνων μακρὰν ἀπέχῃ τῆς διακατοχῆς καὶ κυριεύσεως καὶ ἐξουσίας τῶν αὐτῶν χωρίων, ὡς ξένος καὶ ἀλλότριος καὶ μηδεμίαν μετοχὴν ἔχων ἐν τούτοις τοῖς χωρίοις. Τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα πάντες ὑμεῖς οἱ χριστιανοὶ τῶν χωρίων τούτων τοῦ Γκιουρτουνίου, ἱερωμένοι καὶ λαϊκοί, τὸν ἱερώτατον μητροπολίτην Τραπεζοῦντος, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Λαζικῆς, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτουργὸν κὺρ Παΐσιον, γινώσκητε ἀρχιερέα ὑμῶν

καὶ πνευματικὸν ποιμένα καὶ προστάτην καὶ μνημονεύητε τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς, εὐλογοῦντα καὶ ἁγιάζοντα ὑμᾶς καὶ ποιμαίνοντα καὶ διεξάγοντα ἀρχιερατικῶς, καὶ τιμᾶτε καὶ ἀγαπᾶτε αὐτόν, καὶ διευλαβῆσθε καὶ πείθησθε καὶ ὑποτάσσησθε αὐτῷ κατὰ τὸ πρέπον καὶ δίκαιον, παρέχοντες τῇ αὐτοῦ ἱερότητι εἰρηνικῶς καὶ εὐπειθῶς τἀνήκοντα ἐκκλησιαστικὰ δικαιώματα, κανονικά, συνοικέσια, πανηγύρεις, ζητείας καὶ εἴ τι ἄλλο σύνηθες τῷ τόπῳ, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος αὐτῷ ἢ παρεμποδίζοντος ἱερωμένου ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ. Οὕτω γενέσθω ἐξ ἀποφάσεως, ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μετὰ πάντων ὑμῶν.

,αψη', ἐν μηνὶ ἰουλίῳ, ἰνδικτιῶνος α'.

Ὁ Κυζίκου Κύριλλος — Ὁ Νικομηδείας Παρθένιος—Ὁ Χαλκηδόνος Κωνστάντιος — Ὁ Ἀδριανουπόλεως Ἀθανάσιος—Ὁ Φιλιππουπόλεως Νεόφυτος — Ὁ Ναυπάκτου καὶ Ἄρτης Νεόφυτος.

CXII. 1710. Каталогъ епархій Константинопольской церкви.

I. П. Б., CCLXXVI, 47ᵃ—49ᵇ.

Οἱ νῦν κατὰ τὸ ,αψι' ἔτος εὑρισκόμενοι ἀρχιερεῖς ὑπὸ τὸ κλῖμα τοῦ Κωνσταντινουπόλεως.

α' † Ὁ Καισαρείας Καππαδοκίας πρωτόθρονος, ὑπέρτιμος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Ἀνατολῆς.

β' † Ὁ Ἐφέσου ὁ καὶ β-ος ἐν τῇ τάξει, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀσίας.

γ' † Ὁ Ἡρακλείας καὶ Ῥαιδεστοῦ γ-ος τῇ τάξει, πρόεδρος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Θράκης καὶ Μακεδονίας, ἔχει καὶ ἐπισκοπάς· τὸν Καλλιουπόλεως καὶ Μαδύτων, τὸν Μυριοφύτου καὶ Περιστάσεως, τὸν Μετρῶν καὶ Ἀθύρων καὶ τὸν Τυρολόης καὶ Σερεντζίου ἢ Σερεντίων.

δ' † Ὁ Ἀγκύρας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Γαλατίας.

ε' † Ὁ Κυζίκου, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Ἑλλησπόντου.

ς' † Ὁ Νικομηδείας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βιθυνίας.

ζ' † Ὁ Νικαίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βιθυνίας.

η' † Ὁ Χαλκηδόνος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βιθυνίας.

θ' † Ὁ Θεσσαλονίκης, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας· οὗτος λέγεται καὶ ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ μόνον παναγιώτατος, ἔξω δὲ πανιερώτατος. Ἔχει καὶ ἐπισκοπὰς ὀκτώ· τὸν Κύτρους ἢ Κύτρου ἢ Κίτρου, τὸν Καμπανίας, τὸν Πλαταμῶνος, τὸν Σερβίων, τὸν Πολυανῆς, ἢ Πολιανῆς,

τὸν Πέτρας, τὸν Ἀρδαμερίου καὶ τὸν Ἱερισσοῦ καὶ ἁγίου Ὄρους.

ι′ † Ὁ Τυρνόβου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βουλγαρίας, ἔχει καὶ ἐπισκοπὰς τρεῖς· τὸν Τζερβενοῦ, τὸν Λοβτζοῦ καὶ τὸν Πρεσλάβας.

ια′ † Ὁ Ἀδριανουπόλεως, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Αἱμιμόντου, ἔχει ἕνα ἐπίσκοπον· τὸν Ἀγαθοπόλεως.

ιβ′ † Ὁ Ἀμασείας, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Εὐξείνου Πόντου.

ιγ′ † Ὁ Προύσης. Μουντανίων καὶ Τριγλίας, ὑπέρτιμος.

ιδ′ † Ὁ Νεοκαισαρείας καὶ Ἰνέου, ὑπέρτιμος καὶ ἔξαρχος Πόντου Πολεμωνιακοῦ.

ιε′ † Ὁ Ἰκονίου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λυκαονίας.

ις′ † Ὁ Βερροίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας.

ιζ′ † Ὁ Πισιδίας, ὑπέρτιμος καὶ ἔξαρχος Σίδης, Μύρων καὶ Ἀτταλείας.

ιη′ † Ὁ Ἀθηνῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλάδος, ἔχει καὶ ἐπισκοπὰς δ′· τὸν Ταλαντίου καὶ Διαυλίας ἢ Διαυλείας, τὸν Σκύρου, τὸν Σάλωνος καὶ τὸν Μεδηνίτζης.

ιθ′ † Ὁ Κρήτης ὑπέρτιμος καὶ ἔξαρχος Εὐρώπης, ἔχει καὶ ἐπισκοπὰς ιβ′· τὸν Γορτύνης, τὸν Κνωσσοῦ, τὸν Ἀρκαδίας, τὸν Χερρονήσου, τὸν Λυλοποτάμου, τὸν Ῥηθύμνης, τὸν Κυδωνιῶν, τὸν Λάμπης, τὸν Πέτρας, τὸν Σιτείας, τὸν Ἱερᾶς καὶ τὸν Κισσάμου.

κ′ † Ὁ Τραπεζοῦντος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λαζικῆς.

κα′ † Ὁ Λαρίσσης, ὑπέρτιμος καὶ ἔξαρχος δυτικῆς Θετταλίας καὶ πάσης Ἑλλάδος, ἔχει καὶ ἐπισκοπὰς θ′· τὸν Δημητριάδος, τὸν Σταγῶν, τὸν Λιτζᾶς καὶ Ἀγράφων, τὸν Σκιάθου καὶ Σκοπέλου, τὸν Γαρδικίου, τὸν Ῥαδοβιτζίου, τὸν Λοιδορικίου, τὸν Θαυμακοῦ καὶ τὸν Ζητουνίου.

κβ′ † Ὁ Μολδοβλαχίας, ὑπέρτιμος καὶ ἔξαρχος Πλαγηνῶν, ἔχει καὶ ἐπισκοπάς· τὸν Ῥωμανίας, τὸν Ῥαδαουτζίου, καὶ τὸν Χουσίου.

κγ′ † Ὁ Οὐγκροβλαχίας, ὑπέρτιμος καὶ ἔξαρχος Πλαγηνῶν, ἔχει καὶ ἐπισκοπὰς δύο· τὸν Ῥιμνίκου καὶ τὸν Μποζέβου.

κδ′ † Ὁ Ναυπάκτου καὶ Ἄρτης, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Αἰτωλίας.

κε′ † Ὁ Φιλιππουπόλεως, ὑπέρτιμος καὶ ἔξαρχος Θράκης Δρογοβιτίας.

κς′ † Ὁ Ῥόδου, ὑπέρτιμος ταὶ ἔξαρχος πασῶν τῶν Κυκλάδων νήσων.

κζ′ † Ὁ Σερρῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Μακεδονίας.

κη′ † Ὁ Φιλίππων καὶ Δράμας, ὑπέρτιμος καὶ ἔξαρχος Μακεδονίας.
κθ′ † Ὁ Σμύρνης, ὑπέρτιμος καὶ ἔξαρχος Ἀσίας.
λ′ † Ὁ Μιτυλήνης, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λέσβου.
λα′ † Ὁ Ἰωαννίνων, ὑπέρτιμος καὶ ἔξαρχος Κερκύρας ἢ πάσης Κερκύρας, ἔχει καὶ ἐπισκοπὰς δ′· τὸν Δρυϊνουπόλεως καὶ Ἀργυροκάστρου, τὸν Βελλᾶς, τὸν Βοθρωτοῦ καὶ Γλυκέως, τὸν Χειμάρρας καὶ Δελβίνου.
λβ′ † Ὁ Διδυμοτείχου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ῥοδόπης.
λγ′ † Ὁ Φιλαδελφείας, ὁ καὶ πρόεδρος τῆς Βενετίας ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λυδίας.
λδ′ † Ὁ Μελενίκου, ὑπέρτιμος.
λε′ † Ὁ Νέων Πατρῶν, ὑπέρτιμος.
λς′ † Ὁ Θηβῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βοιωτίας.
λζ′ † Ὁ Αἴνου, ὑπέρτιμος.
λη′ † Ὁ Μεθύμνης, ὑπέρτιμος καὶ ἔξαρχος Λέσβου.
λθ′ † Ὁ Παροναξίας, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Αἰγαίου Πελάγους.
μ′ † Ὁ Μεσημβρίας, ἔξαρχος Μαύρης Θαλάσσης.
μα′ † Ὁ Βιδύνης, ὑπέρτιμος.
μβ′ † Ὁ Δρύστρας, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς [1]) Παραδουνάβου.
μγ′ † Ὁ Εὐρίπου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Εὐβοίας
μδ′ † Ὁ Σοφίας, ὑπέρτιμος.
με′ † Ὁ Βιζύης, ὑπέρτιμος.
μς′ † Ὁ Μηδείας, ὑπέρτιμος.
μζ′ † Ὁ Ἁγχιάλου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Μαύρης Θαλάσσης.
μη′ † Ὁ Βάρνης, ὑπέρτιμος.
μθ′ † Ὁ Προϊλάβου καὶ Τομαρόβου, ὑπέρτιμος.
ν′ † Ὁ Μαρωνείας, ὑπέρτιμος καὶ ἔξαρχος Ῥοδόπης.
να′ † Ὁ Σηλυβρίας, ὑπέρτιμος.
νβ′ † Ὁ Σωζουπόλεως, ὑπέρτιμος.
νγ′ † Ὁ Ξάνθης καὶ Περιθωρίου, ὑπέρτιμος.
νδ′ † Ὁ Γάνου καὶ Χώρας, ὑπέρτιμος.
νε′ † Ὁ Γοτθίας καὶ Καφᾶ, ὑπέρτιμος.
νς′ † Ὁ Χίου, ὑπέρτιμος.
νζ′ † Ὁ Λήμνου, ὑπέρτιμος.
νη′ † Ὁ Ἴμβρου, ὑπέρτιμος.
νθ′ † Ὁ Δέρκων καὶ Νεοχωρίου, ὑπέρτιμος.

---

[1]) Κ. παντί.

Οἱ μητροπολῖται τῆς Πελοποννήσου·

ξ′ † Ὁ Κορίνθου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου, ἔχει ἐπισκοπάς· τὸν Δαμαλᾶ [καὶ τὸν Πολυφέγγους]· οὗτός ἐστι πρωτόθρονος τῶν ἐν Πελοποννήσῳ μητροπολιτῶν.

ξα′ † Ὁ Μονεμβασίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου, ἔχει ἐπισκοπάς· τὸν Κυθηρίας, τὸν Ἔλους, τὸν Μαΐνης καὶ τὸν Ῥέοντος· οὗτος λέγεται καὶ παναγιώτατος ἐν μόνῃ τῇ ἐπαρχίᾳ αὐτοῦ, ἔξω δὲ πανιερώτατος· ἔχει καὶ τὸν τόπον τοῦ Ἱεροσολύμων.

ξβ′ † Ὁ Παλαιῶν Πατρῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀχαΐας, ἔχει ἐπισκοπὰς δ′· τὸν Ὠλένου, τὸν Κερνίκης, τὸν Κορώνης καὶ τὸν Μεθώνης.

ξγ′ † Ὁ Λακεδαιμονίας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου, ἔχει ἐπισκοπὰς τρεῖς· τὸν Ἀμυκλῶν, τὸν Καριουπόλεως, τὸν Βρεστένης.

ξδ′ † Ὁ Χριστιανουπόλεως, ὑπέρτιμος.

ξε′ † Ὁ Ναυπλίου, ὑπέρτιμος.

Οἱ ἀρχιεπίσκοποι οἱ ὑποκείμενοι τῷ Κωνσταντινουπόλεως θρόνῳ.

α′ † Ὁ Προικοννήσου.

β′ † Ὁ Λιτίτζης· [οἱ ὁποῖοι] γράφονται ἱερώτατοι ἀρχιεπίσκοποι παρὰ τοῦ πατριάρχου, ὡς καὶ οἱ μητροπολῖται, οἱ δὲ λοιποὶ θεοφιλέστατοι.

γ′ † Ὁ Σαντορίνης [1]).

δ′ † Ὁ Ἐλασσῶνος.

ε′ † Ὁ Σάμου καὶ Ἰκαρίας.

ς′ † Ὁ Κώου.

ζ′ † Ὁ Φαναρίου καὶ Νεοχωρίου.

η′ † Ὁ Χαλδείας καὶ Χεριάνων.

θ′ † Ὁ Τζίας καὶ Θερμῶν.

ι′ † Ὁ Κασσανδρείας.

ια′ † Ὁ Μήλου καὶ Κιμωλίου.

ιβ′ † Ὁ Σίφνου.

ιγ′ † Ὁ Ἄνδρου.

ιδ′ † Ὁ Αἰγίνης.

ιε′ † Ὁ Πωγωνιανῆς.

ις′ † Ὁ Καρπάθου καὶ Κάσσου.

ιζ′ † Ὁ Λευκάδος καὶ ἁγίας Μαύρας.

[1]) Κ. Σατρίνης.

ιη' † Ὁ Φαρσάλων.
ιθ' † Ὁ Ῥέοντος καὶ Ηραστοῦ.
κ' † Ὁ Κεφαλληνίας καὶ Ζακύνθου.

CXIII. 1713. Грамота патріарха Кирилла IV и священнаго синода, данная митрополиту Θеодосіополя Азаріи по поводу спора съ архіепископомъ Халдіи и Херіанъ Филоθеемъ относительно христіанъ изъ епархіи послѣдняго, работавшихъ въ рудникахъ на территоріи епархіи Θеодосіопольской.

I. H. B., CXXIV, 53r—54r.

Περὶ τοῦ μνημοσύνου τῶν ἀρχιερέων τοῦ θρόνου μας εἰς τα ραντένια Καπὰν καὶ Ἄργανα.

† Κύριλλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ἐστρώθη εἰς τὸν κώδικα τὸν νέον.

Φυλάττεσθαι μὲν ἐν πᾶσι τὰ δίκαια διὰ παντὸς ἀπαράθραυστα πᾶσι τρόποις ἐπὶ τὴν προσήκουσαν τάξιν ἐμμένοντα καὶ κατάστασιν οὐ μόνον εὔλογον, ἀλλὰ καὶ ἀναγκαῖον ὑπέρ τι ἄλλο καθέστηκεν· ἀποκρούεσθαι δὲ μακρὰν τὸ ἄδικον ὡς ὀλέθριον καὶ ἀποτρόπαιον καὶ θείας μοίρας ἀλλότριον. Τὸ γὰρ ἄδικον οὐκ εὐλογεῖταί, φησίν, ὡς εὐλογίας καὶ ὁσιότητος ἀνεπίδεκτον· ἐξ ὑπερπλέου δὲ μᾶλλον ἐν ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσι δέον ἐστὶν ὑπὸ τῶν ἐμπιστευθέντων τὰς ἐκκλησιαστικὰς προστασίας διενεργεῖσθαι τὰ δίκαια καὶ μακρὰν τὸ ἄδικον ἀπορραπίζεσθαι· ἂν δ' ὀφέποτε σύγχυσίς τις καὶ ἀμφιβολία συμπέσῃ, οἷα φιλεῖ συμβαίνειν τοῖς ἐν τῷδε τῷ κόσμῳ πράγμασι, ποικίλαις ὑποκειμένοις περιστάσεσι, χρεών ἐστιν ὅλαις δυνάμεσι καὶ ἐπιμελείαις διευθετεῖν καὶ ἐξομαλίζειν δεόντως τοὺς τὰ τοιαῦτα κρίνειν λαχόντας καὶ προνοεῖσθαι τῆς κοινῆς εὐταξίας κατὰ τὸ δίκαιον, ἄλλως τὰ παραθεωρούμενα συγκεχυμένως καὶ ἀμφιβόλως ἔχοντα, ταῦτα μὲν εἰς δυσπραγίαν κατενεχθέντα οὐκ ἀγαθὸν ἕξουσι τὸ τέλος, οἱ δὲ τῆς αὐτῶν κατολιγωροῦντες διορθώσεως εὐθύνας ἀναντιρρήτως ὑφέξουσιν· ὅτου χάριν κατ' ὀφειλὴν τὸ δίκαιον διώκοντες οἱ κατὰ καιροὺς τὴν κοινὴν προστασίαν θεόθεν ἐμπιστευθέντες τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, τῶν ἐπὶ τὴν πατριαρχικὴν περιωπὴν τούτου τοῦ καθ' ἡμᾶς πατριαρχικοῦ, ἀποστολικοῦ τε καὶ οἰκουμενικοῦ θρόνου ἀναφερομένων τὰ μὲν καλῶς καὶ δικαίως ἔχοντα συνιστῶσί τε καὶ ἐπιβραβεύουσιν, ὡς εἰκός, εἰς ἐπικρατεστέραν ἀσφάλειαν, τὰ δὲ κατὰ τὰς ἡμέρας αὐτῶν ταραττόμενα γνωρισθέντα καὶ δεόμενα διορθώσεως διεκδικοῦσιν ἐνθέσμως καὶ πρὸς τὸ δίκαιον μεταρρυθμίζουσιν. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ ἱερώτατος μητροπολίτης

Θεοδοσιουπόλεως, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Ἀζαρίας, ἐλθὼν πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν ἀνήγγειλεν ἐπὶ συνόδου τὰ κατ' αὐτόν, δηλοποιῶν, ὅτι συνέπεσε μετ' αὐτοῦ καὶ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Χαλδείας καὶ Χεριάνων, τοῦ ἐν ἁγίῳ Πνεύματι ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν κὺρ Φιλοθέου, διαφορά τις, ἀφ' ἧς καὶ προσέδραμε τῷ οἰκουμενικῷ θρόνῳ ἐπὶ τῷ διορθῶσαι τὰς δήπως συμπεσούσας μεταξὺ αὐτῶν διαφοράς, καθ' ὅσον αὐτὸς οὗτος ὁ καθ' ἡμᾶς πατριαρχικὸς καὶ ἀποστολικὸς θρόνος ὁ οἰκουμενικὸς ἔχει διὰ κανονικῶν προνομίων τὸ ἐξαίρετον ἀξίωμα τοῦτο κρίνειν καὶ διακρίνειν τὰς πανταχόθεν προβαλλομένας ὑποθέσεις αὐτῷ παρὰ τῶν ἐκασταχοῦ ἐπαρχιῶν καὶ ἐκκλησιῶν τοῦ Θεοῦ καὶ ὡς κοινὸν ἰατρεῖον ταῖς τοῦ παντουργοῦ Πνεύματος ἐνεργείαις οἶδεν ἐπιβραβεύειν ἀεὶ τὰς θεραπείας ἑκάστῳ τῶν δεομένων, ἀφαιρεῖν τε τὰς ἔριδας καὶ στάσεις καὶ ἀντεισάγειν εἰρήνην, τὴν θεραπεύουσαν τὰ πάθη ψυχικά τε πάντα καὶ σωματικὰ καὶ διορθοῦν ἅπαντα κατὰ τάξιν καὶ ἡμεροῦν τὰ ἐξηγριωμένα καὶ συμβιβάζειν τὰ ἀντιπίπτοντα· οὕτινος τοὺς λόγους ἀκροασάμενοι καὶ ἐξετάσαντες αὐτοὺς ἔγνωμεν τὸν τρόπον τῆς διορθώσεως αὐτῶν, οὐ πάντῃ δυσχερῆ ὄντα κατὰ τὰ προβαλλόμενα· ἦσαν γὰρ οἱ λόγοι αὐτοῦ, ὅτι οἱ ἐπαρχιῶται χριστιανοὶ τῆς ἀρχιεπισκοπῆς Χαλδείας γκιουμιχαμάλιδες καὶ μαντετζίδες, οἱ δουλεύοντες τὴν μεταλλικὴν τέχνην, μεταβαίνουσιν ἐκεῖθεν καὶ ἔρχονται καὶ διατρίβουσιν εἰς τὰ μαντένια, τὰ ὄντα ἐν τῇ ἐνορίᾳ καὶ ἐπαρχίᾳ αὐτοῦ τοῦ Θεοδοσιουπόλεως, πέμπει δὲ πρὸς τοὺς χριστιανοὺς ἡ αὐτοῦ ἱερότης καὶ ἱερεῖς ἐκτελοῦντας αὐτοῖς τὰ ἱερατικά, παραλαμβάνοντας δὲ ἐξ αὐτῶν καὶ πάντα τὰ ἐκκλησιαστικὰ εἰσοδήματα καὶ δικαιώματα· κἀντεῦθεν διαμένει ἡ αὐτοῦ ἱερότης ὁ Θεοδοσιουπόλεως δηλαδὴ ἐστερημένος καὶ ἀμέτοχος τῶν ἐκτελουμένων ἱερατικῶν ἐν τῇ ἐνορίᾳ τῆς ἐπαρχίας αὐτοῦ καὶ τῶν ἀνηκόντων αὐτῷ δικαίων. Περὶ ὧν ἐγνωμοδοτήθη καὶ ἐκρίθη κοινῇ καὶ συνοδικῇ διασκέψει καὶ ἐπικρίσει ἀποδοθῆναι ἑκατέρῳ μέρει τὸ κατάλληλον καὶ ἁρμόδιον δίκαιον· ἔχειν μὲν τὸν Θεοδοσιουπόλεως τὸ μνημόσυνον τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις παρὰ τῶν ἱερέων τοῦ Χαλδείας καὶ Χεριάνων, τῶν διατριβόντων καὶ ἱερουργούντων ἐν τοῖς μαντενίοις τοῖς οὖσιν ἐν τοῖς ὁρίοις τῆς ἐπαρχίας αὐτοῦ τοῦ Θεοδοσιουπόλεως, παραλαμβάνειν δὲ παρ' ἑκάστου τῶν αὐτῶν ἱερέων καὶ φιλότιμον κατ' ἔτος ἀνὰ ἓν χρυροῦν φλωρίον, τὸν δὲ ἀρχιεπίσκοπον Χαλδείας καὶ Χεριάνων παραλαμβάνειν καὶ καρποῦσθαι καὶ νέμεσθαι παρὰ τῶν εἰρημένων μαντετζίδων χριστιανῶν, ὡς ἐπαρχιωτῶν αὐτοῦ καὶ ἰδίου ποιμνίου, τὰ λοιπὰ ἐκκλησιαστικὰ δικαιώματα, πατριαρχικήν, φημί, καὶ τοπικὴν ζητείαν καὶ οὕτως εἰρηνεύειν ἑκάτερον μέρος, καὶ μηκέτι διαφέρεσθαι· ἂν δὲ οἱ ἱερεῖς τοῦ Χαλ-

δείας δυσαρεστούμενοι οὐ θέλουσι διδόναι τῷ Θεοδοσιουπόλεως λόγῳ φιλοτίμου τὸ εἰρημένον ἀνὰ ἓν φλωρίον κατ' ἔτος, ἔχειν ἄδειαν τὸν Θεοδοσιουπόλεως πέμπειν ἰδίους αὐτοῦ ἱερεῖς πρὸς τοὺς ῥηθέντας μαντετζίδες καὶ ἐπαρχιώτας τοῦ ἀρχιεπισκόπου Χαλδείας, ἐπὶ τῷ παραλαμβάνειν, ἐκτὸς τῆς πατριαρχικῆς καὶ τοπικῆς ζητείας παρὰ τῶν ἰδίων αὐτοῦ ἐπαρχιωτῶν, τὰ ἐπίλοιπα ἐκκλησιαστικὰ δικαιώματα, εὐχέλαιον δηλονότι, ἁγιασμούς, λείψανα καὶ λοιπὰ συνήθη τῷ τόπῳ, ἔχοντος, ὡς προείρηται, τοῦ αὐτοῦ Θεοδοσιουπόλεως καὶ τὸ μνημόσυνον τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος. Τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα κατὰ τὴν γνωμοδοτηθεῖσαν εὐλογοφανῆ συνοδικὴν ἐπίκρισιν καὶ ἀπόφασιν, ὁ μὲν ἱερώτατος μητροπολίτης Θεοδοσιουπόλεως ἔχῃ τὸ μνημόσυνον τοῦ κανονικοῦ ὀνόματος αὐτοῦ ἐν ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις παρὰ τῶν ἱερέων τοῦ Χαλδείας, τῶν διατριβόντων καὶ ἱερουργούντων ἐν τοῖς μαντενίοις, τοῖς ἐν τοῖς ὁρίοις τῆς ἐπαρχίας αὐτοῦ, παραλαμβάνειν δὲ παρὰ τῶν αὐτῶν ἱερέων καὶ φιλότιμον ἀνὰ ἓν φλωρίον κατ' ἔτος. Εἰ δὲ μὴ ἐθέλουσιν οἱ ἱερεῖς τοῦ Χαλδείας διδόναι τὸ φλωρίον τοῦτο ἐμβατίκιον, ἔχει ἄδειαν ὁ αὐτὸς Θεοδοσιουπόλεως πέμπειν ἐκεῖσε ἱερεῖς, ὡς διείληπται, εἰς τὸ παραλαμβάνειν, ἐκτὸς τῆς πατριαρχικῆς καὶ τοπικῆς ζητείας, καὶ τῶν ἐμβατικίων, τὰ ἐπίλοιπα ἐκκλησιαστικὰ δικαιώματα, εὐχέλαιον, ἁγιασμούς, λείψανα καὶ λοιπά, ὁ δὲ θεοφιλέστατος ἀρχιεπίσκοπος Χαλδείας καὶ Χεριάνων παραλαμβάνῃ καὶ αὐτὸς παρὰ τῶν ἐπαρχιωτῶν αὐτοῦ καὶ τοῦ ἰδίου ποιμνίου τὸ ἀνῆκον αὐτῷ ἐκκλησιαστικὸν δικαίωμα, πατριαρχικήν, φημί, ζητείαν καὶ τοπικήν. Οὕτω γενέσθω ἐξ ἀποφάσεως, καὶ μὴ ἄλλως, μηδενὸς τολμῶντος ἀντειπεῖν ἢ ἀντιπράξαι τοῖς εὐλογοφανῶς τούτοις ἀποφανθεῖσιν, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ ἀσφάλειαν ἀπελύθη τὸ παρὸν πατριαρχικὸν συνοδικὸν τοῦτο γράμμα καὶ ἐδόθη τῷ ἱερωτάτῳ τούτῳ μητροπολίτῃ Θεοδοσιουπόλεως.

,αψιγ'.

CXIV. 1731, іюнь, инд. IX. Грамота патріарха Паисія II о принадлежаемости селъ Гюьюртунія къ Трапезунтской митрополіи.

I. П. Б., CXXIV, 94[3]—95[4].

† Παΐσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κων/πόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Εὐλαβέστατοι ἱερεῖς καὶ ὁσιώτατοι ἱερομόναχοι, χρήσιμοί τε γέροντες καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοὶ τῶν ὑποκειμένων

τῇ Κερασοῦντι, ταὐτὸν εἰπεῖν τῇ μητροπόλει Τραπεζοῦντος, χωρίων τοῦ Γκιουρτουνίου, Σουμσεκλὶ δηλαδή, Δέσμενα, Γαργάενα καὶ τῶν λοιπῶν σὺν αὐτοῖς μετὰ τῶν ἐν αὐτοῖς μαντενίων, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, παρ' ἡμῶν δὲ εὐχή, εὐλογία καὶ συγχώρησις. Ἐπειδὴ προσεκομίσθησαν ἤδη καὶ ἐνεφανίσθησαν τῇ ἡμῶν μετριότητι, συνοδικῶς προκαθημένῃ, γράμματα πατριαρχικὰ συνοδικὰ προελθόντα ἐπὶ τοῦ προχρηματίσαντος ἀοιδίμου πατριάρχου κὺρ Κυπριανοῦ καὶ διαλαμβάνοντα, ὅτι τὰ χωρία ὑμῶν ταῦτα τοῦ Γκιουρτουνίου μετὰ τῶν ἐν αὐτοῖς μαντενίων ἄνωθεν καὶ ἐξ ἀρχῆς ἦσαν ἐνοριακὰ τῆς Κερασοῦντος, ὅπου ἦτο μητρόπολις τὴν ἀρχὴν καὶ ἐν ὑστέροις τοῖς χρόνοις μετέπεσεν ἀπὸ μητροπόλεως εἰς πατριαρχικὴν ἐξαρχίαν, καὶ διὰ τοῦτο οἱ τὴν ἐπιστασίαν ταύτης ἐξαρχικῶς κατὰ καιροὺς λαμβάνοντες εἶχον ὑπὸ τὴν ἐπίσκεψιν αὐτῶν καὶ τὰ χωρία ταῦτα τοῦ Γκιουρτουνίου, συνάγοντες τὰ ἐτήσια αὐτῶν ἐκκλησιαστικὰ εἰσοδήματα, ἀλλὰ πρὸ ὀλίγων χρόνων τότε, ἐνωθείσης τῆς Κερασοῦντος ταύτης τῇ μητροπόλει Τραπεζοῦντος, ἐγένοντο καὶ τὰ χωρία ταῦτα τοῦ Γκιουρτουνίου ὑποκείμενα τῇ αὐτῇ μητροπόλει Τραπεζοῦντος, καὶ ὁ κατὰ καιροὺς μητροπολίτης Τραπεζοῦντος ἐδέσποζε τούτων, ὡς ἐνοριακῶν τῇ μητροπόλει αὐτοῦ, συνάγων κατ' ἔτος τὰ ἐκκλησιαστικὰ αὐτῶν δικαιώματα, μετὰ δὲ ταῦτα ὁ τελευτήσας μητροπολίτης Τραπεζοῦντος Νεκτάριος, διὰ φιλοχρηματίαν καὶ αἰσχροκέρδειαν ἐπώλησε ταῦτα τὰ χωρία κακῶς καὶ παρανόμως πρὸς τὸν κατ' ἐκεῖνο καιροῦ ἀρχιεπίσκοπον Χαλδείας καὶ Χεριάνων κὺρ Φιλόθεον, πρᾶγμα τολμήσας ἄτοπον καὶ παράλογον καὶ ἔξω τῆς κανονικῆς θεσμοθεσίας, διότι τὰ κτήματα καὶ ἀφιερώματα τὰ ἐκκλησιαστικὰ καὶ ἐπισκοπικὰ οὔτε πωλοῦνται οὔτε ἀγοράζονται, οὔτε ἀποξενοῦνται καὶ ἐξίστανται τῆς ἰδίας τάξεως μέχρι καὶ τῶν μικροτέρων, καὶ ὁ ἐπίσκοπος καὶ κατὰ καιροὺς ἀρχιερεὺς εἶνε ἐπιστάτης καὶ ἐπιτηρητὴς τῶν ἐκκλησιαστικῶν πραγμάτων καὶ κτημάτων οὐ μὴν δὲ πωλητής, ἐπειδὴ καὶ δὲν εἶνε ἴδιον κτῆμα ἰδικόν του, ἀλλὰ τῆς ἐπαρχίας ἀναπόσπαστον καὶ τὰ ἐξουσιάζει κατὰ χρῆσιν πρὸς αὔξησιν καὶ βελτίωσιν καὶ διαμονήν, δὲν ἔχει δὲ ἄδειαν οὔτε πωλῆσαι οὔτε χαρίσασθαι, οὔτε ἀποξενῶσαι αὐτὰ κατ' οὐδένα τρόπον. Ὅθεν καὶ σταλθείσης τότε κοινῆς ἀναφορᾶς παρὰ τῶν χριστιανῶν τῶν εἰρημένων χωρίων τοῦ Γγιουρτουνίου, κατησφαλισμένης ὑπογραφαῖς καὶ σφραγῖσι τῶν αὐτῶν χριστιανῶν πρὸς τὴν τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν ἐπὶ τῶν ἡμερῶν τοῦ ῥηθέντος πατριάρχου κὺρ Κυπριανοῦ καὶ φανερωθείσης τῆς ὑποθέσεως ταύτης περὶ τῶν αὐτῶν χωρίων, κατὰ τὸν εἰρημένον τρόπον, ὅτι ἄνωθεν μὲν καὶ ἐξ ἀρχῆς ἦσαν τῆς Κερασοῦντος καὶ μετὰ τὸ ἑνωθῆναι αὐτὴν τῇ Τραπεζοῦντι ἐγένοντο τῆς Τραπεζοῦντος ἐνορι-

ακὰ καὶ ὅτι παραλόγως καὶ παρὰ κανόνας ἀπεξενώθησαν τῆς αὐτῆς μητροπόλεως, καὶ ἐπωλήθησαν ὑπὸ τοῦ ῥηθέντος Τραπεζοῦντος Νεκταρίου πρὸς τὸν διαληφθέντα Χαλδείας Φιλόθεον, ἡ μὲν πώλησις αὕτη ὡς ἀσύστατος καὶ παράλογος καὶ ἐναντία τοῖς ἱεροῖς κανόσι ἀνῃρέθη καὶ ἀνετράπη διὰ συνοδικῆς ἐκκλησιαστικῆς ἀποφάσεως καὶ ἐγένετο ἄκυρος καὶ ἀνυπόστατος καὶ ἀνενέργητος, καὶ γὰρ ὁ μὴ ἔχων ἐπώλει καὶ ὁ μὴ φρονῶν ἠγόραζε καὶ μάταια καὶ κενὰ ἐπραγματεύσαντο, αὐτὰ δὲ ταῦτα τὰ χωρία ἐδιωρίσθησαν, προσεκληρώθησάν τε καὶ ἀπεδόθησαν ἔκτοτε συνοδικῇ διαγνώσει διὰ τῶν εἰρημένων πατριαρχικῶν καὶ συνοδικῶν γράμμάτων τῇ μητροπόλει Τραπεζοῦντος καὶ τῷ κατ' ἐκεῖνο καιροῦ ἀρχιερατεύοντι ἐν αὐτῇ Ἡαϊσίῳ καὶ ἔμενον καὶ εὑρίσκοντο ὑπὸ τὴν δεσποτείαν καὶ ἐξουσίαν καὶ ἐπίσκεψιν αὐτοῦ, ὡς ἐνοριακα καὶ ὑποκείμενα τῆς μητροπόλεως αὐτοῦ ἀποδειχθέντα, χωρὶς νὰ ἔχῃ μετοχὴν τινα ὅλως ἐν αὐτοῖς καὶ ἐξουσίαν καὶ κυριότητα ὁ ῥηθεὶς ἀρχιεπίσκοπος Χαλδείας Φιλόθεος, ὡς ξένος καὶ ἀλλότριος τῶν χωρίων τούτων ἀναφανείς, τὴν ὁποίαν ταύτην προγεγονυῖαν ἐκκλησιαστικὴν καὶ συνοδικὴν ἀπόφασιν διὰ τῶν ἐμφανισθέντων ἡμῖν, ὡς εἴρηται, πατριαρχικῶν καὶ συνοδικῶν γραμμάτων περὶ τῶν διαληφθέντων χωρίων τοῦ Γκιουρτουνίου εὔλογον, καὶ δικαίαν οὖσαν καὶ κατὰ κανόνας ἐκκλησιαστικοὺς γεγενημένην, ἐδεήθη νὰ ἐπιβεβαιωθῇ καὶ παρ' ἡμῶν τανῦν ὁ ἤδη ἱερώτατος μητροπολίτης Τραπεζοῦντος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λαζικῆς, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Ἀνανίας δι' ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ γράμματος· οὗτινος τὴν δέησιν, εὔλογον καὶ δικαίαν οὖσαν, εὐμενῶς ἀποδεξάμενοι γράφομεν διὰ τοῦ παρόντος καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὰ μὲν ῥηθέντα χωρία τοῦ Γκιουρτουνίου, Σουμσεκλὶ δηλαδή, Δέσμενα, Γαργάενα καὶ λοιπὰ μετὰ τῶν ἐν αὐτοῖς μαντενίων, ὡς ἐνοριακὰ καὶ ὑποκείμενα ὑπάρχοντα καὶ γεγονότα τῆς μητροπόλεως Τραπεζοῦντος μετὰ τὸ ἑνωθῆναι αὐτῇ τὴν ἐξαρχίαν τῆς Κερασοῦντος, νὰ εἶνε καὶ εἰς τὸ ἑξῆς ὑπὸ τὴν ἐξουσίαν καὶ διοίκησιν τῆς αὐτῆς μητροπόλεως Τραπεζοῦντος καὶ τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος ἀναπόσπαστα καὶ ἀναφαίρετα καὶ ἀνεκποίητα εἰς αἰῶνα τὸν ἅπαντα, χωρὶς νὰ ἔχῃ μετοχὴν τινα ὅλως ἐν τοῖς χωρίοις τούτοις ὁ ἀρχιεπίσκοπος Χαλδείας ἢ νὰ τολμήσῃ πώποτε νὰ ἀντιποιῆται τῶν χωρίων αὐτῶν ἐπὶ τῇ παραλόγῳ καὶ παρανόμῳ προφάσει τῆς προγεγονυίας ἐκείνης παρὰ κανόνας ἀσυστάτου καὶ ἀκύρου πωλήσεως. Ἐσεῖς δὲ ἁπαξάπαντες οἱ χριστιανοὶ τῶν χωρίων τούτων τοῦ Γκιουρτουνίου, ἱερωμένοι καὶ λαϊκοί, νὰ γινώσκητε ἀρχιερέα ὑμῶν καὶ πνευματικὸν ποιμένα καὶ προστάτην τὸν ῥηθέντα ἱερώτατον μητροπολίτην Τραπεζοῦντος καὶ συνάδελφον ἡμῶν κὺρ

Ἀνανίαν καὶ νὰ μνημονεύητε τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ τιμᾶτε καὶ ἀγαπᾶτε αὐτὸν καὶ διευλαβῆσθε εὐλογοῦντα καὶ ἁγιάζοντα ὑμᾶς καὶ ποιμαίνοντα καὶ διεξάγοντα ἀρχιερατικῶς καὶ πείθησθε καὶ ὑποτάσσησθε αὐτῷ κατὰ τὸ πρέπον καὶ δίκαιον καὶ παρέχητε τῇ αὐτοῦ ἱερότητι εἰρηνικῶς καὶ εὐπειθῶς πάντα τὰ ἀνήκοντα ἐκκλησιαστικὰ δικαιώματα, κανονικά, συνοικέσια, πανηγύρεις, ζητείας καὶ εἴ τι ἄλλο τῷ τόπῳ σύνηθες, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος αὐτῷ ἢ παρεμποδίζοντος, ἱερωμένου ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ. Ὅστις δὲ τολμήσει ποτὲ ἀθετῆσαι τὴν συνοδικὴν καὶ κανονικὴν ἡμῶν ἀπόφασιν ταύτην καὶ ἀποσπάσαι τὰ χωρία ταῦτα τῆς δεσποτείας τοῦ Τραπεζοῦντος, ὁ τοιοῦτος, ὁποῖος ποτ' ἂν ᾖ, ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ ταῖς πατριαρχικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος. Ὑμεῖς δὲ ποιήσατε ὡς γράφομεν, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις εἴη μετὰ πάντων ὑμῶν.

,αψλα', ἐν μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος θ'.

Ὁ Καισαρείας Νεόφυτος — Ὁ Νικαίας Καλλίνικος — Ὁ Νικομηδείας Παρθένιος — Ὁ Χαλκηδόνος Νικόδημος — Ὁ Προύσης Μακάριος — Ὁ Ῥόδου Νεόφυτος — Ὁ Μυτιλήνης Κωνστάντιος — Ὁ Βιζύης Μακάριος — Ὁ Δέρκων Νικόδημος — Ὁ Προικοννήσου Θεόκλητος — Ὁ Λιτίτζης Μεθόδιος.

CXV. 1735, іюля 13. Грамота вселенскаго патріарха Серафима I Писидійскому митрополиту Космѣ о совершеніи священныхъ рукоположеній въ Алеппской митрополіи.

I. П. Б., CXXIV, 177β.

Σεραφείμ κτλ.

Ἡ μετριότης ἡμῶν διὰ τῆς παρούσης αὐτῆς πατριαρχικῆς ἐκδόσεως ἐπιτρέπεται καὶ ἄδειαν δίδωσί σοι, τῷ ἱερωτάτῳ μητροπολίτῃ Πισιδίας, ὑπερτίμῳ καὶ ἐξάρχῳ Σίδης, Μυρέων καὶ Ἀτταλείας καὶ ἡμετέρῳ πατριαρχικῷ ἐξάρχῳ, ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος κὺρ Κοσμᾷ, ὅπως, διερχόμενος τὸ Χαλέπιον καὶ τὰ ὑποκείμενα αὐτῷ χωρία χάριν ἐλεημοσύνης τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἔχῃς ἄδειαν ἀκωλύτως καὶ ἀνεμποδίστως χειροτονίας ὑποδιακόνων, ἱεροδιακόνων καὶ ἱερέων ἐκτελεῖν, ὡς ὑποκειμένου τοῦ ῥηθέντος Χαλεπίου τῷ καθ' ἡμᾶς οἰκουμενικῷ πατριαρχικῷ θρόνῳ· προσέτι καὶ εἰς ὅσα ἡμέτερα πατριαρχικὰ σταυροπηγιακὰ μοναστήρια ἀπέλθῃς, κείμενα

εἰς ἥντινα οὖν μητρόπολιν ἢ ἀρχιεπισκοπὴν ἢ ἐπισκοπήν, ὑποκειμένας τῷ οἰκουμενικῷ θρόνῳ, παρέχομέν σοι ἄδειαν κἀκεῖσε ὑποδιακόνους, ἱεροδιακόνους καὶ ἱερεῖς ἀνεμποδίστως χειροτονεῖν· ἐπὶ τούτῳ γάρ σοι ἐδόθη καὶ ἡ παροῦσα ἡμῶν πατριαρχικὴ ἔκδοσις εἰς ἔνδειξιν. ,αψλε', Ἰουλίου ιγ'.

Ὁ Κωνσταντινουπόλεως Σεραφείμ.

CXVI. 1735. Посланіе патріарха Серафима I христіанамъ патріаршей экзархіи Керасунта и селъ Триполи и Коралъ о назначеніи Писидійскаго митрополита Космы мѣстнымъ епитропомъ.

I. П. Б., CXXIV, 177ª.

† Σεραφεὶμ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ἐντιμότατοι κληρικοὶ καὶ εὐλαβέστατοι ἱερεῖς τῆς ἡμετέρας πατριαρχικῆς ἐξαρχίας τῆς Κερασοῦντος μετὰ τῶν συνημμένων αὐτῇ χωρίων τῆς Τριπόλεως καὶ τῶν Κοράλων, καὶ χρήσιμοι ἄρχοντες καὶ γέροντες καὶ λοιποὶ ἁπαξάπαντες εὐλογημένοι χριστιανοί, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ. Γνωστὸν ὑμῖν ἔστω, ὡς ὁ καθολικὸς ὑμῶν ἔξαρχος τιμιώτατος καὶ σοφολογιώτατος μέγας ἐκκλησιάρχης τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας διδάσκαλος κὺρ Κριτίας, ὁ κατὰ πνεῦμα υἱὸς ἀγαπητὸς τῆς ἡμῶν μετριότητος, ἀποκατέστησεν ἤδη ἐπίτροπον εἰς τὴν ἐξαρχίαν αὐτοῦ ταύτην τὸν εἰς τὰ αὐτόθι εὑρισκόμενον ἱερώτατον μητροπολίτην Πισιδίας, ὑπέρτιμον καὶ ἔξαρχον Σίδης, Μυρέων καὶ Ἀτταλείας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτουργὸν κὺρ Κοσμᾶν, καὶ δέδωκε τὴν ἐπιστασίαν αὐτῆς τῇ αὐτοῦ ἱερότητι κατὰ τὴν ἐνεστῶσαν ἐνδεκάτην ἰνδικτιῶνα ἐπὶ τῷ ἐπισκέπτεσθαι καὶ ποιμαίνειν καὶ κυβερνᾶν ἀρχιερατικῶς καὶ πνευματικῶς πάντας ὑμᾶς τοὺς ἐν τῇ ἐξαρχίᾳ ταύτῃ χριστιανούς, ἱερωμένους καὶ λαϊκούς, καὶ συνάγειν καὶ λαμβάνειν πάντα τὰ συνήθη καὶ διωρισμένα ἐκκλησιαστικὰ εἰσοδήματα καὶ δικαιώματα αὐτῆς. Τούτου χάριν γράφοντες ἐντελλόμεθα καὶ παραγγέλλομέν σας, ὅπως, γινώσκοντες τὸν ῥηθέντα ἱερώτατον μητροπολίτην Πισιδίας καὶ συνάδελφον ἡμῶν κὺρ Κοσμᾶν ἐπίτροπον τοῦ καθολικοῦ ὑμῶν ἐξάρχου διδασκάλου κὺρ Κριτίου, τιμᾶτε καὶ ἀγαπᾶτε αὐτὸν καὶ διευλαβῆσθε καὶ ὑποτάσσησθε αὐτῷ κατὰ τὸ πρέπον καὶ δίκαιον, ἔχοντι ἄδειαν καὶ ἐξουσίαν παρ' ἡμῶν εὐλογεῖν καὶ ἁγιάζειν ὑμᾶς ἀρχιερατικῶς καὶ κρίνειν καὶ ἀνακρίνειν πᾶσαν συμπίπτουσαν ἐκκλησια-

στικὴν ὑπόθεσιν νομίμως καὶ κανονικῶς καὶ εἰς τὸν τοῦ δικαίου τόπον ἀποκαθιστᾶν καὶ ἀργεῖν καὶ ἀφορίζειν καὶ παιδεύειν, ὡς εἰκός, πάντα ἄτακτον καὶ ἀπειθῆ φαινόμενον εἰς αὐτόν, ἱερωμένον καὶ λαικόν, καὶ παρέχητε εἰς χεῖρας τῆς αὐτοῦ ἱερότητος εὐπειθῶς καὶ εὐγνωμόνως πάντα τὰ συνήθη καὶ διωρισμένα ἐκκλησιαστικὰ εἰσοδήματα καὶ δικαιώματα, οἱ ἱερεῖς τὰ κανονικά, οἱ λαικοὶ τὰ συνοικέσια, πανηγύρεις, ζητείας καὶ εἴ τι ἄλλο τῷ τόπῳ σύνηθες, καὶ δεικνύητε τὴν ὀφειλομένην εὐπείθειαν καὶ ὑποταγὴν καὶ αἰδῶ καὶ εὐλάβειαν τῇ αὐτοῦ ἱερότητι· καὶ εἴ τις οὐ θελήσει [1]) πληρῶσαι μετὰ καλοῦ τρόπου τὰ διωρισμένα τῆς ἐξαρχίας ταύτης δικαιώματα, ἱερεὺς μὲν ὢν ἀργὸς μενέτω πάσης ἱεροπραξίας καὶ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος καὶ δικαιώματος, παρ' οὐδενὸς συμφορούμενος ἢ συλλειτουργούμενος ἢ τὴν χεῖρα ἀσπαζόμενος ἢ ὡς ἱερεὺς τιμώμενος ἢ εἰσόδημα ἐκκλησιαστικὸν πολὺ ἢ ὀλίγον λαμβάνων, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ, λαικὸς δὲ ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ ἔξω τῆς Χριστοῦ Ἐκκλησίας. Ὑμεῖς δὲ ποιήσατε ἅπαντες ὡς γράφομεν, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος καὶ ἡ εὐχὴ καὶ ἡ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετὰ πάντων ὑμῶν. Ἐν ἔτει σωτηρίῳ ,αψλε'.

CXVII. 1731, май. Грамота Антіохійскаго патріарха Сильвестра относительно Алеппской митрополіи.

Антіохійскій Патріаршій Архивъ.

Ἴσον ἀπαράλλακτον τοῦ πρωτοτύπου γράμματος, ὁποῦ δεδώκαμεν τῷ παναγιωτάτῳ δεσπότῃ κυρίῳ Παισίῳ.

Σίλβεστρος ἐλέῳ Θεοῦ πατριάρχης τῆς μεγαλουπόλεως Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς ἐνυπογράφου καὶ ἀποδεικτικοῦ γράμματος δηλοποιεῖ, ὅτι τὰ ἐτήσια τῆς ἐπαρχίας καὶ μητροπόλεως Χαλεπίου, ἤτοι τὰ πεντακόσια γρόσια, ὁποῦ ἐλάμβανε κατ' ἔτος ὁ παναγιώτατος καὶ σεβασμιώτατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης κύριος κύριος Παΐσιος, ὁ ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, διὰ τὴν πρὸ ὀλίγου καιροῦ γενομένην οἰκονομικῶς ἕνωσιν τῆς αὐτῆς μητροπόλεως πρὸς τὸν αὐτὸν οἰκουμενικὸν πατριάρχην, αὐτὰ ταῦτα τὰ ἐτήσια ἡ αὐτοῦ σεβασμιωτάτη παναγιότης, φυλάττουσα τὸ δίκαιον καὶ γινώσκουσα καλῶς τὴν οἰκονομίαν τοῦ πράγματος, γενομένην παρὰ τῆς Ἐκκλησίας πρὸς ἀπάντησιν τῆς βιαίας καταδρομῆς καὶ ἐπαναστάσεως καθ' ἡμῶν τῶν

[1]) Κῶδ. καὶ οὐ θελήσει.

* *

τῆς ἐποχῆς ἐκείνης χριστιανῶν, καὶ μὴ θέλουσα ἀδικηθῆναι καὶ ζημιωθῆναι τὴν ἡμῶν μετριότητα, καθὼς ἐξ ἀρχῆς φιλαδέλφως ὑπέσχετο, [ἔγνω] τὴν ἐπαρχίαν ἤτοι τὸ Χαλέπι ἀποκαταστῆσαι αὖθις εἰς τὸν ἡμέτερον θρόνον δι' ἀναφορᾶς τῆς αὐτοῦ παναγιότητος πρὸς τὴν κραταιὰν βασιλείαν. Διὰ δὲ τὰ ἐτήσια, ὁποῦ ἐλάμβανεν, ἔδωκεν ἡμῖν καθαρὸν λογαριασμόν, καὶ τὰ μὲν ἐξ αὐτῶν εἶχε καταναλώσει εἰς ἀναγκαίας χρείας καὶ καταδρομὰς τῶν ἐναντίων τῆς μητροπόλεως ταύτης, τὰ δὲ εἰς χρείας ἡμῶν, καὶ μόνος αὐτὸς εἶχε δώσει [λογαριασμὸν] εἰς ἡμᾶς. Ὅθεν ἀποκαταστήσασα ἡ αὐτοῦ παναγιότης τὸ δίκαιον εἰς τὸν τόπον, καὶ ἡ μετριότης ἡμῶν λαβοῦσα καὶ πληρωθεῖσα παρὰ τῆς αὐτοῦ παναγιότητος τήν τε ἐπαρχίαν καὶ τὰ ἐτήσια ἀνελλιπῶς, ὁμολογεῖ διὰ τοῦ παρόντος, ὡς ἐξώφλησε περὶ πάντων κατὰ τέλειον συμβιβασμὸν καὶ ἐξώφλησιν, καὶ ὅτι οὐκ ἔμεινε πολὺ ἢ ὀλίγον τι δίκαιον αὐτῆς ἀπὸ τῶν ἐτησίων τοῦ Χαλεπίου, τῶν δοθέντων τῇ αὐτοῦ παναγιότητι, καὶ εἰς ἔνδειξιν τῆς τελείας ἐξοφλήσεως ταύτης ἐδόθη τῇ αὐτοῦ παναγιότητι καὶ τὸ παρὸν ἡμέτερον ἐξοφλητικὸν καὶ παραστατικὸν τῆς διορθώσεως ταύτης γράμμα. Ἐν ἔτει ,αψλα'. μαΐου.

† Ἐλέῳ Θεοῦ πατριάρχης Ἀντιοχείας Σίλβεστρος βεβαιοῖ.

CXVIII. 1731. Грамота вселенскаго патріарха Паисія II, обращенная къ духовенству и мірянамъ Алеппской митрополіи по поводу избранія митрополита Григорія.

А. П. А.

Ἴσον ἀπαράλλακτον τοῦ πρωτοτύπου γράμματος πατριαρχικοῦ, ὁποῦ ἐδόθη χάριν οἰκονομίας τῷ μητροπολίτῃ Χαλεπίου κὺρ Γρηγορίῳ.

Παΐσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

